

Κύριε ἐλέησον. τὸ κύριε ἐλέησον λέγε ιβ.

Ὁ Ἐν παντὶ καιρῷ καὶ πάσῃ ὥρᾳ ἐν οὐρανῷ καὶ ἐπὶ γῆς προσκυνούμενος καὶ δοξαζόμενος, Χριστὸς ὁ θεὸς ὁ μακρόθυμος ὁ πολυέλεος, ὁ τοὺς δικαίους ἀγαπῶν, καὶ τοὺς ἁμαρτωλοὺς ἐλεῶν. ὁ πάντας καλῶν πρὸς σωτηρίαν, διὰ τὰς ἐπαγγελίας τῶν μελλόντων ἀγαθῶν. αὐτὸς κύριε πρόσδεξαι καὶ ἡμῶν ἐν τῇ ὥρᾳ ταύτῃ τὰς ἐντεύξεις. καὶ ἴθυνον τὴν ζωὴν ἡμῶν. πρὸς τὰς ἐντολάς σου. τὰς ψυχὰς ἡμῶν ἁγίασον. τὰ σώματα ἅγνισον. τοὺς λογισμοὺς διόρθωσον. τὰς ἐννοίας κάθαρον, καὶ ῥῦσαι ἡμᾶς, ἀπὸ πάσης θλίψεως, κακῶν καὶ ὀδύνης. τείχισον ἡμᾶς ἁγίοις ἀγγέλοις σου. ἵνα τῇ παρεμβολῇ αὐτῶν φρουρούμενοι, καὶ ὁδηγούμενοι, καταντήσωμεν εἰς τὴν ἑνότητα τῆς πίστεως, καὶ εἰς τὴν ἐπίγνωσιν τῆς ἀπροσίτου σου δόξης. ὅτι εὐλογητὸς εἶ. εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν.

Τὴν τιμιωτέραν τῶν χερουβὶμ. καὶ ἀπόλυσις. Τοῦτο τὸ μεσονύκτιον λέγουσιν οἱ μοναχοὶ, ὅταν ὁδοιποροῦσιν, ἐν δὲ τοῖς μοναστηρίοις ἐν τῷ χορῷ τὸ ἴδιον τοῦ τυπικοῦ.

Εὐχὴ λεγομένη, ἐν τῷ τέλει τοῦ ὄρθρου, τοῦ ἑσπερινοῦ, καὶ ἀποδείπνου πάτερ ἡμῶν.


Χαῖρε δέσποινα μῆτερ ἐλέους. ζωή. γλυκύτης, καὶ ἐλπὶς ἡμῶν χαῖρε. πρὸς σὲ βοῶμεν οἱ τῆς Εὔας ἐξόριστοι παῖδες. πρὸς σὲ ἀτενίζομεν στενάζοντες, καὶ θρηνοῦντες ἐν τῇ δὲ τῇ τοῦ κλαυθμῶνος κοιλάδι. ἄγε δὴ συνήγορε ἡμῶν τοῖς εὐσπλάγχνοις σου ὀφθαλμοῖς ἐφ' ἡμᾶς ἐπίστρεψον. καὶ Ἰησοῦν τὸν εὐλογημένον καρπὸν τῆς κοιλίας σου, μετὰ τὴν ὑπερορίαν ταύτην ἡμῖν ἀνάδειξον. ὦ ἐπιεικής. ὦ εὔσπλαγχνε. ὦ ἡδεῖα παρθένε Μαρία. Εὔχου ὑπὲρ ἡμῶν ἁγία θεοτόκε. ὑποκρ. Ὅπως ἀξιωθῶμεν τῶν ἐπαγγελιῶν τοῦ Χριστοῦ. Ἀμήν. Εὐχή.

Παντοκράτωρ ἀΐδιε θεέ. ὁ τῆς ἐνδόξου παρθενομήτορος Μαρίας σῶμά τε, καὶ ψυχὴν, ὥστ' ἐπάξιον τοῦ υἱοῦ σου κατασκήνωμα. γενέσθαι συνεργείᾳ τοῦ ἁγίου πνεύματος προετοιμάσας. παράσχου, ἵν' ἧς τῇ μνήμῃ χαίρωμεν, ταύτης τῇ εὐσπλάγχνῳ μεσιτείᾳ ἀπὸ τῶν ἐπικειμένων δεινῶν, καὶ τοῦ αἰωνίου θανάτου ῥυσθῶμεν δι' αὐτοῦ Χριστοῦ τοῦ κυρίου ἡμῶν. ἀμήν.

ΤΕΛΟΣ.

ρον παραδέδωκεν ἡμῖν τὸ πάσχα τὸ οἰκεῖον. Τὸν γὰρ ἄρτον λαβὼν καθηγίασε. Τοῦτο λέγων ὑπάρχει τὸ σῶμά μου. καὶ τὸ ποτήριον ὁμοίως ηὐλόγησε. καὶ μαθηταῖς μεταχεῖν ἐπιδέδωκεν. ἡμεῖς δὲ τοῦτο μετασχόντες βοῶμεν. δόξα ἐν ὑψίστοις θεῷ καὶ ἐπὶ γῆς εἰρήνη ἐν ἀνθρώποις εὐδοκία. Δοξολογία μεγάλη τὰ λοιπὰ καὶ ἀπόλ.

Τέλος τοῦ πεντηκοσταρίου. τῷ θεῷ χάριτας.



Μεσονύκτιον ψαλλόμενον ὑπὸ τῶν μοναχῶν τοῦ ἁγίου βασιλείου τοῦ μεγάλου. Εὐλογητὸς ὁ θεὸς ἡμῶν. Δόξα σοι Ἰησοῦ Χριστὲ ὁ θεὸς ἡμῶν δόξα σοι. Βασιλεῦ οὐράνιε. ζήτει εἰς τὴν γ΄. ὥραν. Τὸ τρισάγιον. Τὸ παναγία τριάς. Τὸ πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστιν. δεῦτε προσκυνήσωμεν γ΄. ὁ ν΄. εἶτα τὰ τροπ. ταῦτα, ἢ τοῦ κατὰ τὴν ἡμέραν ἁγίου.

Ἐλέησον ἡμᾶς κύριε ἐλέησον ἡμᾶς. πάσης γὰρ ἀπολογίας ἀποροῦντες, ταύτην σοι τὴν ἱκεσίαν ὡς δεσπότῃ, οἱ ἁμαρτωλοὶ προσφέρομεν, ἐλέησον ἡμᾶς.

Κύριε ἐλέησον ἡμᾶς, ἐπὶ σοὶ γὰρ πεποίθαμεν. μὴ ὀργισθῇς ἡμῖν σφόδρα, μηδὲ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν. ἀλλ᾽ ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαγχνος, καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. σὺ γὰρ εἶ θεὸς ἡμῶν, καὶ ἡμεῖς λαός σου. πάντες ἔργα χειρῶν σου, καὶ τὸ ὄνομά σου ἐπικαλούμεθα.

Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν εὐλογημένη θεοτόκε. ἐλπίζοντες εἰς σὲ μὴ ἀστοχήσωμεν ῥυσθείημεν διὰ σοῦ τῶν περιστάσεων. σὺ γὰρ εἶ σωτηρία τοῦ γένους τῶν χριστιανῶν.

Πολλὰ τὰ πλήθη τῶν ἐμῶν θεοτόκε πταισμάτων. πρὸς σὲ κατέφυγον ἁγνὴ σωτηρίας δεόμενος. ἐπίσκεψαι τὴν ἀσθενοῦσάν μου ψυχὴν, καὶ πρέσβευε τῷ υἱῷ σου καὶ θεῷ ἡμῶν δοθῆναί μοι τὴν ἄφεσιν, ὧν ἔπραξα δεινῶν μόνη εὐλογημένη.

Παναγία θεοτόκε τὸν χρόνον τῆς ζωῆς μου μὴ ἐγκαταλίπῃς με. ἀνθρωπίνῃ προστασίᾳ μὴ κατὰ πίσδώσῃς με, ἀλλ᾽ αὐτὴ ἀντιλαβοῦ, καὶ ἐλέησόν με.

Ἡ ἐλπὶς τῶν ἀπηλπισμένων ἡ ζωὴ τῶν ἀπεγνωσμένων, ἡ ἀντίληψις τῶν εἰς σὲ προστρεχόντων ἁγία δέσποινα θεοτόκε. τὴν βοήθειάν σου, κατάπεμψον ἡμῖν.

Τὴν πᾶσαν ἐλπίδα μου εἰς σὲ, ἀνατίθημι, μήτηρ τοῦ θεοῦ φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

βίου καθαροῦ ἡμῶν τῆς κτίσης, ἵνα τοῦτο σῶμα, καὶ τὸ τίμιον αἷμα δέξη, ὡς περ ἴαμα σὲ ἀθανατοῦντα καὶ ζώσῃ εἰς αἰῶνας. Καρδίαν κτίσον ἐν ἐμοὶ, καθαρὰν ὡς ἀγαθὸς σωτὴρ τοῦ κόσμου, καὶ τὸ θεῖον σου πνεῦμα ἐγκαίνισον τοῖς ἐμοῖς ἐγκάτοις ὡς εὔσπλαγχνος, ἵνα καθ᾽ ἑκάστην δοξάζωσε τὸν κτίστην. θ'.

Ὁ θεῖος ἄρτος τῆς ζωῆς, ἐν γαστρί σου ἀληθῶς θεογεννήτορ, ἐξ οὗ ὤφθη φυλάξας ἀδιαλώβητον, τὴν νηδύν σου τὴν παναμώμητον, ὅθεν ὡς τροφόν σε ὑμνοῦμεν εἰς αἰῶνας.

ᾠδὴ θ'. Ἀνάρχου γεννήτορος.

Ἁγίασον κύριε, συνέτισον, καὶ στήριξον, τὰς καρδίας τῶν πίστει τὸ θεῖον σῶμα σου, ὑποδεχομένων φόβῳ, σὺν τῷ σεπτῷ αἵματι, καὶ δεῖξον, πληροῦντας τὸν λόγον σου, καὶ υἱοὺς τῆς βασιλείας σου. Ἡγίασας δέσποτα. ἡμῶν τὸν νοῦν ὡς εὔσπλαγχνος, τὴν ψυχὴν καὶ τὸ σῶμα ἐπιφοιτήσει σου, διὰ τοῦ ἀχράντου σου λόγου σώματος, διὸ σε δοξάζομεν καὶ πῶς δοξολογοῦμεν σε. Ἠξίωσας δέσποτα κἀμὲ τὸ θεῖον σῶμα σου, καὶ τὸ τίμιον αἷμα χερσὶ καὶ χείλεσι, ῥερυπωμένοις σωτήρ μου δέξασθαι, νῦν τί σοι προσενέγκω, ἀντάξιον κύριε, τῇ πολλῇ μακροθυμίᾳ σου. θ'.

Θεὸν τὸν ἀσώματον, γαστρί σου σωματώσασα, ἀπεκύησας τοῦτον, διπλοῦν ταῖς φύσεσι, καὶ τοὺς ἐκτακέντας τῇ δίψῃ μήτηρ ἁγνή, ἁγία πεινῶντας, ἐνέπλησας δέσποινα, μεγαλύνομεν τὸν τόκον σου.

Ἐξαποστειλ. [illegible]

Φρικτῆς οἰκονομίας σου, Χριστὲ τελῶν μυστήρια, σῶμα καὶ αἷμα τὸ θεῖον, προτέθεικας δαψιλείαν, ἧς μεταχὼν Ἰούδας, καὶ προδότης οὐκ ἔδυσεν, ἑκουσίως θυόμενον. ἀλλὰ τῆς τούτου με ῥῦσαι, φιλαργυρίας οἰκτίρμον. ἄλλο.

Τὸν ἐκ πατρὸς ἀμήτορα, καὶ ἐκ μητρὸς ἀπάτορα, σοῦ τὸ σωτήριον πάθος, σὺν τῇ ἐγέρσει δοξάζω, συνέγειρον δυναστείαν, καὶ ἐλθὲ εἰς τὸ σῶσαι με, τὸ ἐμοῦ πρεσβεύουσαν, τὴν σὲ κυήσασαν ἔχων, ὁ ἀνάστας ἐκ τοῦ τάφου.

Εἰς τοὺς αἴνους πᾶσα πνοὴ στιχηρὰ ἦχος β'. Οἶκος τοῦ Ἐφραθᾶ, γίνονται ς'.

Ἀνάμνησιν ποιοῦ, ἐκτελοῦντες τοῦ δείπνου, τοῦ μυστικοῦ συμφώνως, τὸ δόξα ἐν ὑψίστοις, θεῷ ἀναβοήσωμεν, Τοῖς μύσταις ὁ Χριστὸς, συνεσθίων τὸ πάσχα, λαβὼν ἄρτον καὶ κλάσας, τούτοις παρέσχε φήσας, τοῦτο ἐστὶ τὸ σῶμα μου. Ποτήριον λαβὼν, Χριστὸς τοῖς μύσταις ἔφη, πίετε τοῦτο πάντες, τοῦ ποτηρίου φίλοι, τοῦτο ἐστὶ τὸ αἷμα μου. Συνοῦσα τῷ υἱῷ ἡ πανάγνος καὶ μήτηρ, καὶ τὸ τοῦ δείπνου ξένον μυστήριον ἀθροῦσα, ἀγαλλομένη ἐθαύμαζε.

Δόξα καὶ νῦν. ἦχος β'.

Σήμερον ὁ Χριστὸς τοῖς μύσταις καθεσθεὶς συνδειπνῆσαι. σήμερον

καὶ πανάχραντον αἷμα καὶ τίμιον. Τὰς δὲ χαριστηρίους θείας σοὶ δέσποτα, προσάγομεν φωνὰς οἱ δοῦλοί σου, ὅτι ἡμᾶς ἠξίωσας μεταχεῖν τοῦ τιμίου σου σώματος. θ΄. Ἡ σκηνὴ ἡ ἁγία, σὺ πέφυκας δέσποινα πανάμωμε, ἐν σοὶ γὰρ κύριος, σωματωθεὶς ἀνέπεσεν, ὥσπερ ἄρτος τῷ κόσμῳ καλούμενος.

Κοντάκιον ἦχος β΄. Τὰ ἄνω ζητῶν.

Τὸν ἄρτον λαβὼν, εἰς χεῖρας ὁ προδότης, κρυφίως αὐτὰς ἐκτείνει, καὶ λαμβάνει τὴν τιμὴν τοῦ πλάσαντος οἰκείαις χερσὶ τὸν ἄνθρωπον, καὶ ἀδιόρθωτος ἔμεινεν Ἰούδας ὁ δοῦλος καὶ δόλιος. ὁ οἶκος. Τῇ μυστικῇ τραπέζῃ, φόβῳ προσεγγίσαντες πάντες καθαραῖς ταῖς ψυχαῖς τὸν ἄρτον ὑποδεξώμεθα, συμπαραμένοντες τῷ διδασκάλῳ, ἴδωμεν καὶ τοὺς πόδας πῶς ἀπονίπτει τῶν μαθητῶν, καὶ ποιήσωμεν ὥσπερ κατίδωμεν, ἀλλήλων τοὺς πόδας νίπτειν, ὅπως φίλοι κυρίου γενώμεθα. Χριστὸς γὰρ οὕτως ἐδίδαξε τοὺς αὐτοῦ μαθητάς. ἀλλ᾽ οὐκ ἤκουσεν Ἰούδας ὁ δοῦλος καὶ δόλιος.

ᾠδὴ ζ΄. ὁ εἱρμός. Τὰ χερουβὶμ μιμούμενοι.

Κρυφῶς ὁ θεὸς ἡμῶν, ὁ κατὰ μόνας πάντας τοὺς νεφροὺς ἡμῶν, καὶ τὰς καρδίας κύριε γινώσκων, διὰ τὸ ἀσθενὲς τῆς σαρκὸς, μὴ μνησθῇς φιλάνθρωπε ἡμῶν, διὰ τὰς ἁμαρτίας ἃς ὑπράγαθος. Γ Ἴσοι προσέλθωμεν, φόβῳ προσπέσωμεν, ἵνα ἀξιωθῶμεν ἀκατακρίτως προσψαῦσαι, τοῦ θείου σώματος τοῦ Χριστοῦ, καὶ τοῦ αἵματος τοῦ τιμίου αὐτοῦ. πηγὴ γὰρ ζωῆς, καὶ ἀδαπάνητος βρῶσις, καὶ πόσις ἁγιασμοῦ ἐστὶ τὸ τελούμενον. Οἱ κατηχούμενοι τάχος προσέλθετε, οὓς ὁ ἱερεὺς προτρέπει μὴ διαλέγεσθαι πρὸς ἀλλήλους, ἐνθάδε. φρικτὰ γὰρ ἀδελφοὶ, καὶ φοβερὰ ὡς ἀληθῶς, τὰ τελούμενα ἐστὶ, προσέχωμεν αὐτοῖς, φόβῳ συγχούμενοι. θ΄. Ἐνδόξῳ ἐν μήτρᾳ σου παρθενομῆτορ, λόγον τοῦ προανάρχου πατρὸς, καὶ ἐσωμάτωσας· ὡς αὐτὸς ηὐδόκησε, καὶ πάντας δέσποινα, τοῦ αὐτοῦ ἀξίωσον, σαρκὸς μεταχεῖν πανάμωμε.

ᾠδὴ η΄. Τὸν ἐν καμίνῳ τοῦ.

Πάτερα κράζεις καὶ βοᾷς, παρεστῶσα ὦ ψυχὴ τῷ παντεπόπτῃ, μηδαμῶς ἐκπληροῦσα αὐτοῦ τὸ πρόσταγμα, υἱὸς γὰρ γνήσιως ταλαίπωρε, ὥσπερ λέγεις, μὴ καταδικασθήσῃ. Χριστὸς ἐντέλλεται ἡμῖν, καὶ διδάσκει ἀδελφοὶ ἀλλήλους πάντας ἀγαπᾶν, καὶ φοβεῖσθαι ἀεὶ τὸν θάνατον, καὶ πίστει αὐτοῦ τὸ πανάχραντον σῶμα, καὶ τὸ αἷμα δέχεσθαι εἰς τοὺς αἰῶνας. Τῷ ἐμβατεύοντι νεφροὺς, καὶ καρδίας ἀληθῶς διερευνῶντι. πῶς τολμήσωμεν λέγειν. ἄφες ἡμῖν ὁ θεὸς, ἅπερ σοι χρεωστοῦμεν ὑπάρχομεν. ἔχοντες τὸ μῖσος πρὸς πάντας ἀδελφοί μου. Δοχεῖον ἄξιον ψυχὴ, διὰ

Κάθισμα ἦχος πλαγ. δ'.

Ἄρτον ἔφαγεν ἄνθρωπος ἀγγέλων πάλαι Ἰσραὴλ Σινᾶ ἐν τῇ ἐρήμῳ, ἐτύπου δὲ τὴν ἀλήθειαν σὲ Χριστέ. ἦλθες γὰρ πληρώσας τὰ πάντα εἰς βρῶσιν, ἔδου τὸ σῶμα σου πιστῶς, ἐν ἀγαλλιάσει ἀεὶ σὲ δοξάζειν. ἄλλο. ἦχος α. Τὸν τάφον σου.

Ὁ λίμνας καὶ πηγὰς, καὶ θαλάσσας ποιήσας, ταπείνωσιν ἡμῖν ἐκπαιδεύων ἀρίστην. λεντίῳ ζωσάμενος μαθητῶν πόδας ἔνιψε, ταπεινούμενος ὑπερβολῇ εὐσπλαγχνίας, καὶ ὑψῶν ἡμᾶς ἀπὸ βαράθρων κακίας, ὁ μόνος φιλάνθρωπος.

ᾠδὴ δ'. Ἐλήλυθας ἐκ.

Στῶμεν πάντες, μετὰ φόβου καὶ τρόμου τὰ ὄμματα, τὰς καρδίας ἔχοντες, πρὸς τὸν σωτῆρα κραυγάζοντες, στήριξον, συνέτισον, διὰ πανοικτίρμον εἰς τὸν φόβον σου. Ὁ βασιλεὺς γὰρ, τῶν ἁπάντων προσέρχεται σήμερον, ἁγιάζων ἅπαντας ἐν τῇ εἰσόδῳ ὡς εὔσπλαγχνος. σὺ δὲ τοῦτον βλέπουσα, οὐ χαλινοῦσα τῷ φόβῳ ἁμαρτάνουσα. Μηδεὶς ἡμῶν τῶν ἐν ταῦθα ἑστώτων τολμήσοιεν, ἐξελθεῖν τὸ σύνολον πρὶν ἂν τὴν θείαν τελέσωμεν λειτουργίαν. τοῦτο δὲ, ὁ μὴ ποιῶν ἀδελφοί μου ἤδη κέκριται. Ἀναχῶμεν τὰς καρδίας τὰ κάτω μισήσαντες, ὅπου τὸ πολίτευμα ἡμῶν ὑπάρχει ὀφείλομεν, πάντες πολιτεύεσθαι, καὶ μὴ ὡς ὄφις συρθῶμεν πρὸς τὰ γήϊνα. θ'. Ἡ ἄμπελος, ἡ τὸν βότρυν τὸν θεῖον βλαστήσασα, ἀσπόρως σὺ πέφυκας, θεογεννῆτορ πανάμωμε, καὶ ψυχὰς κατεύφρανας τῶν εὐσεβῶς θεοτόκον δοξαζόντων σε.

ᾠδὴ ε. ὁ εἱρμός. Ὁ τοῦ φωτὸς χορηγός.

Φρίζον ψυχὴ ταπεινὴ, παρισταμένη τῇ τοῦ θεοῦ βλέπουσα, τὸ φοβερὸν, καὶ ἄχραντον σῶμα Χριστοῦ ἐν τραπέζῃ, ὑπὸ ἱερέων σεπτῶς μελιζόμενον. Ὁ ἱερεὺς ἀδελφοὶ τὰ γόνα κλίνας τῷ θεῷ δέεται ὑπὲρ ἡμῶν, ἡμεῖς δὲ ἑστῶτες, ῥεμβόμεθα τὸν νοῦν, ματαίοις φροντίσι, βίου περισπάσεων. Εἰπέ μοι ἄνθρωπε σὺ, τὸν μαργαρίτην τὸν φαιδρὸν δέξασθαι. μέλλων νυνὶ, ἑστὼς χλιάζεις προσέρχεσαι, Χριστοῦ γὰρ ὑπάρχει, τὸ μέγα μυστήριον. Μεμωλυσμένην ψυχὴν, καὶ χείλη ἔχων ῥυπαρὰ, οὐ τολμῶ ὅλως προσεγγίσαι, καὶ δέξασθαι τὸ σὸν σῶμα, ἀλλὰ σύ με ἀξίωσον δέσποτα. θ'. Ἐν τῇ ὑλώδει γαστρὶ τὸν φύσει ἄϋλον σεμνὴ τέτοκας, ὑπερφυῶς, καὶ τοῦτον παρθένε σαρκώσασα, ἡμᾶς τῆς θείας μετέχειν, σαρκός σου ἀξίωσον.

ᾠδὴ ς'. Ἐν ἀβύσσῳ πταισμάτων.

Βασιλεῖ ἐπικήρῳ, καὶ ἄρχουσι φόβῳ παριστάμεθα, ἐν ταῦθα δὲ ἀδελφοὶ, ἑστῶτες οὐ πτοούμεθα. βλέποντες τὸν τὰ πάντα, θείᾳ δυνάμει δεσπόζοντα. Σκιὰ, τέφρα ὑπάρχων ὁ ἄνθρωπος, χόρτος καὶ ἐνύπνιον. τί οὖν ἐπαίρεται; ἐν τάφοις κύψας βλέψον, τῆς μορφῆς τὸ ὡραῖον καὶ θρήνησον. Μετὰ φόβου καὶ τρόμου προσέλθωμεν, πάντες νῦν τὸ ἅγιον σῶμα δεξώμεθα, Χριστοῦ καὶ τὸ πανάγιον

νας δ᾽ χαριςίας ἀναπέμπομεν αὐτῷ τῷ ἐν τριάδι ὑμνουμένῳ, καὶ ἐν μονάδι προσκυνουμένῳ θεῷ. Τῇ ἀφάτῳ σου δ᾽ εὐσπλαγχνίᾳ Χριςὲ ὁ θεὸς ἐλέησον ἡμᾶς. Ἀμήν.

Εἶτα οἱ ἀναβαθμοὶ ἀντίφωνον ἕν. ἦχος δ᾽. ζήτει φύλ. σέ. προκείμενος δ᾽.

Τοῦ ἐξαγαγεῖν ἄρτον ἐκ τῆς γῆς, καὶ οἶνος εὐφραίνει καρδίαν ἀνθρώπου. ςίχος.

Τοῦ ἱλαρῦναι πρόσωπον ἐν ἐλαίῳ, καὶ ἄρτος καρδίαν ἀνθρώπου ςηρίζει. Πᾶσα πνοή. Εὐαγγέλιον κατ᾽ Ἰωάννην. κεφ.

Εἶπεν ὁ κύριος πρὸς τοὺς πεπιςευκότας αὐτῷ Ἰουδαίους. ὁ τρώγων μου τὴν σάρκα καὶ πίνων μου τὸ αἷμα, ἐν ἐμοὶ μένει κἀγὼ ἐν αὐτῷ, καθὼς ἀπέςαλκέ με ὁ πατὴρ, κἀγὼ ζῶ διὰ τὸν πατέρα, καὶ ὁ τρώγων με κἀκεῖνος ζήσεται δι᾽ ἐμέ. οὗτός ἐςιν ὁ ἄρτος ὁ ἐκ τοῦ οὐρανοῦ καταβὰς, καθὼς ἔφαγον οἱ πατέρες ἡμῶν τὸ μάννα ἐν τῇ ἐρήμῳ, καὶ ἀπέθανον, καὶ ὁ τρώγων με τοῦτον τὸν ἄρτον ζήσεται εἰς τὸν αἰῶνα.

Ὁ κανὼν ἦχος β᾽. μετὰ τὸ δόξα καὶ νῦν, γίνονται προσ. ιδ᾽. ᾠδὴ α. ὁ εἱρμός. Δεῦτε λαοὶ, ᾄσωμεν.

Βλέπε ψυχὴ τάλαινα Χριςὸν θυόμενον, ἐπὶ τὴν θείαν τράπεζαν, καὶ μὴ τοῖς φίλοις σε, προσέχων διαλέξῃς, καὶ θεὸν παροξύνῃς πολυαμάρτητε. Ἐν οὐρανῷ ἄγγελοι φόβῳ παρίςανται. καὶ σὺ ψυχὴ τάλαι πωρε. ἀφόβως ἕςηκας, μετεωριζομένη, βλέπουσα τὸ σωτήρα Χριςὸν θυόμενον. Ποία ψυχὴ βλέπουσα, ἢ ποῖος ἄνθρωπος, ὁρῶν τὰ νῦν τελούμενα, Χριςὸν θυόμενον. Ἱερεῖς λειτουργοῦντας, οὐ δοξάζει τὸν μελιζόμενον. Τὰ χερουβὶμ, φόβῳ καὶ τρόμῳ παρίςανται, τὰ σεραφὶμ δοξάζουσι, τὰ ἑξαπτέρυγα, συγκαλύπτονται φόβῳ. ἡμεῖς δὲ παρεςῶτες οὐδὲν δεδοίκαμεν. Θ. Ὁ τοῦ πατρὸς λόγος σκηνώσας ἐν μήτρᾳ σου, παρθενομῆτορ ἄχραντε, ἡμᾶς ἀνέπλασε σαρκωθεὶς ἑκουσίως, καὶ θείας μεταχεῖν σου σαρκὸς πεποίηκεν.

ᾠδὴ γ᾽. ὁ εἱρμός. Στερέωσον ἡμᾶς.

Ἀξίωσον ἡμᾶς τοῦ σοῦ σώματος σωτήρ μου, μεταχεῖν ἀκατακρίτως, καὶ τοῦ αἵματος τοῦ τιμίου σου. καὶ δοξάζειν τὴν σὴν ἀγαθότητα. Μὴ ὡς πρὶν ἐπὶ τοῦ πτώματος τῷ λόγῳ συναχθῶμεν, ἀδελφοί μου. ἵνα μὴ τὸ ἀνεξίκακον παροργίσωμεν, ὄντως οἱ ἀνάξιοι. Συνέτισον ἡμᾶς εἰς τὸν φόβον σου σωτήρ μου, καὶ τὴν θείαν ἀξίαν λειτουργίαν καταξίωσον, μετὰ φόβου πολλοῦ ἐκτελέσαι ἡμᾶς. Ὁ κήρυξ ἐκ βοᾷ ἡμᾶς πάντοτε προτρέπων τὸν οἶκον καταλαβεῖν δὲ τοῦ θεοῦ, μὴ ἀποχήσωμεν, ἀλλὰ δράμωμεν ὡς καιρὸν ἔχομεν. Θ᾽. Ἐθέωσας ἡμᾶς τῷ θείῳ τόκῳ σου παρθένε. τὸν θεὸν γὰρ ὑπεδέξω ἐν γαςρί σου σωματούμενον, οὗ τὴν σάρκα ἡμεῖς κατεσθίομεν.

πάθοις τῆς σωτηρίας κατέλιπεν. ἄρτον γὰρ λαβὼν, καὶ ποτήριον πλήσας, ἀχαριστῶν ἀλογήσας τε, τοῖς μαθηταῖς ἐπεδίδου φάγετε φήσας, καὶ πίετε πάντες, τοῦτο λέγων, ὦ φίλοι εἰς τὴν ἐμὴν ἀνάμνησιν πράττετε, καταγγέλλοντές μου τὸν μόρον, καὶ τὴν ἀνάστασιν ὁμολογοῦντες.

Συναξάριον ἐκ τῆς πεντηκοστοῦ δευτέρου ἐκ χειρίδος τοῦ Μακαρίου Θωμᾶ τοῦ Ακουΐνου, ἐν τῆς Ρωμαΐδος φωνῆς κατὰ παράφρασιν ἐξεληνισθέν.

Στίχοι. Διπλοῦς ὁ δεῖπνος πάσχα γὰρ νόμου φέρει. καὶ πάσχα καινὸν αἷμα δεσπότου.

ΚΑτὰ τὸν καιρὸν τῆς ἁγίας πεντηκοστῆς αὐτῶν ἁγίων ἀποστόλων καρδίαι διδαχθεῖσαι διὰ τῆς ἐπιφοιτήσεως χάριτός τε, καὶ δωρεᾶς τοῦ ἁγίου πνεύματος, ἀρτίως ἐπέγνωσαν τὴν τῶν θείων μυστηρίων δύναμίν τε καὶ θεότητα. ἔκτοτε γὰρ καὶ παρὰ τοῖς πιστοῖς ταῦτα τὰ θεῖα μυστήρια ἤρξαντο συχνάζεσθαι. τῇ γὰρ ἁγίᾳ καὶ μεγάλῃ πέμπτῃ (ἡνίκα τοῦ μυστικοῦ δείπνου μνημονεύομεν) ἀνάμνησιν ποιοῦμεν ἐν ἐκείναις τῆς θείαις ἀκολουθίαις καὶ ἱεροτελεταῖς περὶ τῶν ἀχράντων μυστηρίων, ἀλλ᾽ οὐκ ἰδίως, ἐπεὶ τότε καὶ περὶ τῶν παθῶν μνείαν ποιούμεθα. διὸ Οὐρβανὸς ὁ τέταρτος τῶν Ρωμαίων ἄκρος ἀρχιερεὺς εὐδιαθέτως ἔχων, καὶ εὐλαβούμενος τόδε τὸ θεῖον μυστήριον, καὶ κατανοήσας συνεχῶς τὰς κατὰ τοῦτον τὸν καιρὸν γινομένας θείας ἐνεργείας, εὐσεβῶς ἐθεσπίσατο διατεταξάμενος. ἵνα τῇ πέμπτῃ τῇ μετὰ τὴν κυριακὴν τῶν ἁγίων πάντων (τὴν τῆς ἁγίας πεντηκοστῆς ὀγδοάδα καλουμένην) πάντες οἱ καθ᾽ ὅλου τοῦ ἐνιαυτοῦ περικύκλιον χρώμενοι πρὸς ψυχικὴν σωτηρίαν. τοῖς δὲ τοῖς ἁγίοις ἀχράντοις ἀθανάτοις, ἐπουρανίοις τοῦ θεοῦ μυστηρίοις σεβασμίως πανηγυρίζωσι καὶ μεγάλως δοξολογῶσι τὴν πανθαύμαστον ταύτην καὶ μεγίστην ἑορτὴν τῆς τοῦ κυριακοῦ σώματος φημὶ, καὶ αἵματος ἀναμνήσεως ἐξαιρέτως καὶ ἐπισήμως, μεθ᾽ ἑορτάζειν τε ἔτι καὶ ἄχρι τῆς ὀγδόης ἡμέρας. ὅθεν αὐτὶ τῶν ὑλικῶν μεταδόσεων τῶν χορηγουμένων τοῖς ὑπηρετοῦσί τε καὶ συλλειτουργοῦσιν ἅμα καὶ διακονοῦσιν ἐν πάσαις ταῖς ψυχθημέροις ἀκολουθίαις, ἔτι καὶ πρὸς πομπαῖς ἐφ᾽ ὅλον τὸ διάστημα τῆς δὲ τῆς ὀγδοάδος ἐν ταῖς καθεδρικαῖς ἐκκλησίαις, ὁ ῥηθεὶς Ρωμαίων ἄκρος ἀρχιερεὺς πᾶσι τοῖς ἐν εὐσεβείᾳ καὶ φόβῳ θεοῦ συνεισερχομένοις καὶ λιτανεύουσιν ἐν ταῖς ῥηθείσεσιν ἀκολουθίαις ταῖς κατ᾽ ἐκκλησίαν τοῦ θεοῦ ᾀδομέναις, ἀποστολικῇ χορηγήσει πνευματικὰς μεταδίδοται χάριτας. τοῦτο χάριν ἅπαντες ὁλοψύχως καὶ ὁμοθυμαδὸν ἑορτάζοντες μνείαν τῆς ῥηθείσαν ποιούμενος, καὶ τὴν ἀφάτῳ τρόπῳ ἀοράτως ἐν τοῖς ἁγίοις δώροις ὅλην θεότητα μετὰ τρόμου ὑμνοῦμεν, αἰνοῦντές τε καὶ τὴν ἐν αὐτοῖς πανθαυμάστως καὶ πανσόφως ἐνεργοῦσαν ἐξουσίαν, παρ᾽ ἧς μεγάλως εὐεργετηθέντες, τὰς ὀφειλομένας

ὠδίνουσα ὅτι πολλὰ τὰ τέκνα τῆς ἐρήμου, μᾶλλον ἢ τῆς ἐχούσης τὸν ἄνδρα.

Εἰς τὸν στίχον στιχηρά. ἦχος α'. Τῶν οὐρανίων ταγμάτων.

ΑΡτον οὐράνιον ὕμνοις, ζῶντα ὑμνήσωμεν, ἐξ οὐρανοῦ ἀπαύστως, κατελθόντα ἀῤῥήτως, εἰπόντες ὁμοφρόνως, σῶμα Χριστοῦ, δι' οὗ πάντες ἐῤῥύσθημεν, χαίροις τὸ αἷμα τὸ θεῖον καὶ ἱερόν, δι' οὗ καὶ ἐξηγοράσθημεν. στίχος α'. Ἄρτον ἀγγέλων ἔφαγεν ἄνθρωπος, ἐπισιτισμὸν ἀπέστειλεν αὐτοῖς εἰς πλησμονήν.

ΕΝ τῇ τοῦ δείπνου ἑσπέρᾳ σαυτὸν ἐκδέδωκας, σοῖς μαθηταῖς καὶ φίλοις, ὢ θαύματος εἰς βρῶσιν, φάγετε τὸν ἄρτον τούτοις εἰπών. καὶ σάρξ ἐστι τὸ σῶμά μου. τὸ δὲ ποτήριον ἔφης, πάντες λαβὼν, πίετε ὑμεῖς τὸ αἷμά μου. στίχος β'. Καὶ ἔβρεξεν αὐτοῖς μάννα φαγεῖν, καὶ ἄρτον οὐρανοῦ ἔδωκεν αὐτοῖς.

ΩΘεῖον πάνσεπτον σῶμα, καὶ τιμαλφέστατον, τοῦ θεανθρώπου λόγου, σῶζε τοὺς σοὺς οἰκέτας, ἐκθλίψεων ἀπείρων, καὶ πειρασμῶν, καὶ πασῶν περιστάσεων, τὴν οὐρανῶν βασιλείαν τε καὶ ζωήν. χορηγῶν διὰ σὸν ἔλεος.

Δόξα. καὶ νῦν. πλαγίου δ'.

ΩΘαύματος παραδόξου, ὁ καταβὰς ἐξ οὐρανοῦ ἄρτος ζῶν καὶ θειότατος, ἑκουσίως εἰς βρῶσιν ἐδόθη ἐν ἑσπέρᾳ τοῦ μυστηρίου. λαβὼν γὰρ ἄρτον διαλογήσας ἔδωκεν, εἰπὼν τοῖς μαθηταῖς. λάβετε φάγετε τοῦτο ἐστὶ τὸ σῶμά μου, ὁμοίως καὶ τὸ ποτήριον. διὸ ἑαυτὸν δοκιμαζέτω ἕκαστος περὶ τοῦ μεταλαβεῖν. καὶ οὕτως ἐσθιέτω καὶ πινέτω, εἰς σωτηρίαν καὶ ζωὴν τὴν αἰώνιον.

Τὸ τροπ. ἦχος δ'.

ΗἈνάμνησίς σου Χριστὲ ὁ θεὸς ἡμῶν, ἀνέτειλε τῷ κόσμῳ ἡμέραν ἑόρτιον, ὑπὸ σοῦ γὰρ οἱ τοὺς ἰχθύας ἀγρεύοντες, θυσίαν τὴν ἀναίμακτον ἐν ἄρτῳ καὶ οἴνῳ σοὶ τελεῖν ἐδιδάσκοντο. οὕτω τε ποιεῖν τὴν σὴν θείαν ἀνάμνησιν, ἣν καὶ ἡμεῖς ἑορτάζοντες, κράζομεν. κύριε δόξα σοι.

Τὸ αὐτὸ καὶ εἰς τὸ θεὸς κύριος. τρίς. εἶτα ἡ στιχολογία τοῦ ὄρθρου αὐτόφωνα τρία. Τὸ πρῶτον. Δίκασον κύριε τοὺς ἀδικοῦντας. ψαλ. λδ'. φύλ. κα'.

Τὸ β'. Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν. ψαλ. νη'. φύλ. λη'.

Τὸ γ'. Ὁ θεὸς ὁ θεός μου. ψαλ. κα'. φύλ. ιβ'. εἶτα ἡ ὑπακοὴ ἦχος β'.

ΠΡολαβόντες τὴν πόλιν Πέτρος καὶ Ἰωάννης, καὶ εὑρόντες τὴν οἰκίαν ηὐτρεπισμένην. ἤκουον τοῦ δεσπότου, τοῦ ἐν φωτὶ ἀϊδίῳ ὑπάρχοντι, σὺν μαθηταῖς ἐντέλλεται. τὴν αὐτοῦ νῦν ἀνάμνησιν, ὅτι ὑπάρχει θεοῦ υἱὸς τοῦ σώζοντος τὸ γένος τῶν ἀνθρώπων.

Καὶ ἦχος πλαγ. δ'. Τὴν σοφίαν καὶ λόγον.

ΧΑριστήριον αἶνον, χριστιανικῶς ἀναμέλψωμεν πάντες φίλοι Χριστοῦ, ἐν τῇ μνήμῃ σήμερον, τοῦ αὐτοῦ μυστηρίου, ἐπὶ γὰρ τὸν ἑκούσιον ἀφικόμενος μόρον ὑπόμνημα ἡμῖν τοῦ

πάθους

πεποίθατε ἐπὶ τῷ ὀνόματι κυρίου, καὶ ἀντιστηρίσασθε ἐπὶ τῷ θεῷ. ἰδοὺ πάντες ὑμεῖς πῦρ καίετε, καὶ κατισχύετε φλόγα. πορεύεσθε τῷ φωτὶ τοῦ πυρὸς ὑμῶν, καὶ τῇ φλογὶ ᾗ ἐξεκαύσατε. δι' ἐμὲ ἐγένετο ταῦτα ὑμῖν, ἐν λύπῃ κοιμηθήσεσθε.

Τὸ γ΄. Ἠσαΐου τὸ ἀνάγνωσμα. κεφ. ρβ΄. νγ. καὶ νδ΄.

Τάδε λέγει κύριος Σαβαώθ. Ἰδοὺ συνήσει ὁ παῖς μου, καὶ ὑψωθήσεται, καὶ δοξασθήσεται σφόδρα. ὃν τρόπον ἐκστήσονται ἐπὶ σὲ πολλοί, οὕτως ἀδοξήσει ἀπὸ τῶν ἀνθρώπων τὸ εἶδός σου, καὶ ἡ δόξα σου ἀπὸ υἱῶν ἀνθρώπων. οὕτω θαυμάσονται ἔθνη πολλὰ ἐπ' αὐτῷ, καὶ συνέξουσι βασιλεῖς τὸ στόμα αὐτῶν. ὅτι οἷς οὐκ ἀνηγγέλη περὶ αὐτοῦ, ὄψονται, καὶ οἳ οὐκ ἀκηκόασι, συνήσουσι. Κύριε τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν; καὶ ὁ βραχίων κυρίου τίνι ἀπεκαλύφθη; ἀνηγγείλαμεν ὡς παιδίον ἐναντίον αὐτοῦ, ὡς ῥίζα ἐν γῇ διψώσῃ. οὐκ ἔστιν εἶδος αὐτῷ, οὐδὲ δόξα. καὶ εἴδομεν αὐτόν, καὶ οὐκ εἶχεν εἶδος οὐδὲ κάλλος, ἀλλὰ τὸ εἶδος αὐτοῦ ἄτιμον, καὶ ἐκλεῖπον παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων. ἄνθρωπος ἐν πληγῇ ὢν, καὶ εἰδὼς φέρειν μαλακίαν, ὅτι ἀπέστραπται τὸ πρόσωπον αὐτοῦ, ἠτιμάσθη, καὶ οὐκ ἐλογίσθη. οὗτος τὰς ἁμαρτίας ἡμῶν φέρει, καὶ περὶ ἡμῶν ὀδυνᾶται, καὶ ἡμεῖς ἐλογισάμεθα αὐτὸν εἶναι ἐν πόνῳ, καὶ ἐν πληγῇ, καὶ ἐν κακώσει. αὐτὸς δὲ ἐτραυματίσθη διὰ τὰς ἁμαρτίας ἡμῶν, καὶ μεμαλάκισται διὰ τὰς ἀνομίας ἡμῶν, παιδεία εἰρήνης ἡμῶν ἐπ' αὐτόν, τῷ μώλωπι αὐτοῦ ἡμεῖς ἰάθημεν. πάντες ὡς πρόβατα ἐπλανήθημεν. ἄνθρωπος τῇ ὁδῷ αὐτοῦ ἐπλανήθη, καὶ κύριος παρέδωκεν αὐτὸν ταῖς ἁμαρτίαις ἡμῶν, καὶ αὐτὸς διὰ τὸ κεκακῶσθαι οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ. ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείροντος ἄφωνος, οὕτως οὐκ ἀνοίγει τὸ στόμα. ἐν τῇ ταπεινώσει ἡ κρίσις αὐτοῦ ἤρθη. τὴν γενεὰν αὐτοῦ τίς διηγήσεται; ὅτι αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ, ἀπὸ τῶν ἀνομιῶν τοῦ λαοῦ μου ἤχθη εἰς θάνατον. καὶ δώσω τοὺς πονηροὺς ἀντὶ τῆς ταφῆς αὐτοῦ, καὶ τοὺς πλουσίους ἀντὶ τοῦ θανάτου αὐτοῦ. ὅτι ἀνομίαν οὐκ ἐποίησεν, οὐδὲ δόλος ἐν τῷ στόματι αὐτοῦ, καὶ κύριος βούλεται καθαρίσαι αὐτὸν τῆς πληγῆς. ἐὰν δῶτε περὶ ἁμαρτίας ἡ ψυχὴ ἡμῶν, ὄψεται σπέρμα μακρόβιον, καὶ βούλεται κύριος ἀφελεῖν ἀπὸ τοῦ πόνου τῆς ψυχῆς αὐτοῦ, δεῖξαι αὐτῷ φῶς, καὶ πλάσαι τῇ συνέσει, δικαιῶσαι δίκαιον εὖ δουλεύοντα πολλοῖς, καὶ τὰς ἁμαρτίας αὐτῶν αὐτὸς ἀνοίσει. διὰ τοῦτο αὐτὸς κληρονομήσει πολλούς, καὶ τῶν ἰσχυρῶν μεριεῖ σκῦλα. ἀνθ' ὧν παρεδόθη εἰς θάνατον ἡ ψυχὴ αὐτοῦ, καὶ ἐν τοῖς ἀνόμοις ἐλογίσθη, καὶ αὐτὸς ἁμαρτίας πολλῶν ἀνήνεγκε, καὶ διὰ τὰς ἀνομίας αὐτῶν παρεδόθη. Εὐφράνθητι στεῖρα ἡ οὐ τίκτουσα, ῥῆξον καὶ βόησον ἡ οὐκ ὠδί-

ἀμνοῦ, τοῦ αἴροντος τοῦ κόσμου τὰ πλημμελήματα, οὐ ζύμη κακίας παλαιᾶς, ἀλλ' εἰλικρινείας ἀζύμοις καὶ ἀληθείας· ἐκκαθάραντες οὖν ἑαυτοὺς ἀξίως αὐτοῦ μεταλάβωμεν, ὅπως τύχωμεν τῆς αἰωνίου βασιλείας αὐτοῦ.

Τὸ προκείμενον τῆς ἡμέρας. καὶ ἀναγνώσματα γ'. Τὸ α'. Τῆς ἐξόδου. Τὸ ἀνα. κεφ. ιθ.

Εἶπε κύριος πρὸς Μωϋσῆν καταβὰς διαμάρτυραι τῷ λαῷ, καὶ ἅγνισον αὐτοὺς σήμερον καὶ αὔριον, καὶ πλυνάτωσαν τὰ ἱμάτια, καὶ ἔστωσαν ἕτοιμοι εἰς τὴν ἡμέραν τὴν τρίτην. τῇ γὰρ ἡμέρᾳ τῇ τρίτῃ καταβήσεται κύριος ἐπὶ τὸ ὄρος τὸ σινᾶ, ἐναντίον παντὸς τοῦ λαοῦ, καὶ ἀφοριεῖς τὸν λαὸν κύκλῳ, λέγων· προσέχετε ἑαυτοῖς τοῦ ἀναβῆναι εἰς τὸ ὄρος, καὶ θιγεῖν τι αὐτοῦ. πᾶς ὁ ἁψάμενος τοῦ ὄρους, θανάτῳ τελευτήσει. οὐχ ἅψεται αὐτοῦ χείρ. ἐν γὰρ λίθοις λιθοβοληθήσεται, ἢ βολίδι κατατοξευθήσεται. ἐάν τε κτῆνος ἐάν τε ἄνθρωπος, οὐ ζήσεται. ὅταν αἱ φωναὶ καὶ αἱ σάλπιγγες καὶ ἡ νεφέλη ἀπέλθῃ ἀπὸ τοῦ ὄρους, ἐκεῖνοι ἀναβήσονται ἐπὶ τὸ ὄρος. κατέβη δὲ Μωϋσῆς ἐκ τοῦ ὄρους πρὸς τὸν λαόν, καὶ ἡγίασεν αὐτούς. καὶ ἔπλυναν τὰ ἱμάτια. καὶ εἶπε τῷ λαῷ· γίνεσθε ἕτοιμοι, τρεῖς ἡμέρας μὴ προσέλθητε γυναικί. ἐγένετο δὲ τῇ ἡμέρᾳ τῇ τρίτῃ γενηθέντος πρὸς ὄρθρον, καὶ ἐγίνοντο φωναὶ καὶ ἀστραπαὶ καὶ νεφέλη γνοφώδης ἐπ' ὄρους σινᾶ. φωνὴ τῆς σάλπιγγος ἤχει μέγα. καὶ ἐπτοήθη πᾶς ὁ λαὸς ὁ ἐν τῇ παρεμβολῇ. καὶ ἐξήγαγε Μωϋσῆς τὸν λαὸν εἰς συνάντησιν τοῦ θεοῦ ἐκ τῆς παρεμβολῆς. καὶ παρέστησαν ὑπὸ τὸ ὄρος. τὸ ὄρος τὸ σινᾶ ἐκαπνίζετο ὅλον, διὰ τὸ καταβεβηκέναι ἐπ' αὐτὸ τὸν θεὸν ἐν πυρί. καὶ ἀνέβαινεν ὁ καπνὸς, ὡσεὶ καπνὸς καμίνου, καὶ ἐξέστη πᾶς ὁ λαὸς σφόδρα. ἐγίνοντο δὲ αἱ φωναὶ τῆς σάλπιγγος προβαίνουσαι ἰσχυρότεραι σφόδρα. Μωϋσῆς ἐλάλησεν, ὁ δὲ θεὸς ἀπεκρίνατο αὐτῷ φωνῇ.

Τὸ β'. Ἠσαΐου. κεφ. ν'.

Κύριος κύριος δίδωσί μοι γλῶσσαν παιδείας, τοῦ γνῶναι ἡνίκα δεῖ εἰπεῖν λόγον. ἔθηκέ μοι πρωΐ, προσέθηκέ μοι ὠτίον ἀκούειν, καὶ ἡ παιδεία κυρίου κυρίου ἀνοίγει μου τὰ ὦτα, ἐγὼ δὲ οὐκ ἀπειθῶ, οὐδὲ ἀντιλέγω. τὸν νῶτόν μου ἔδωκα εἰς μάστιγας, τὰς δὲ σιαγόνας μου εἰς ῥαπίσματα, τὸ δὲ πρόσωπόν μου οὐκ ἀπέστρεψα ἀπὸ αἰσχύνης ἐμπτυσμάτων, καὶ κύριος κύριος βοηθός μοι ἐγενήθη. διὰ τοῦτο οὐκ ἐνετράπην, ἀλλὰ ἔθηκα τὸ πρόσωπόν μου ὡς στερεὰν πέτραν, καὶ ἔγνων ὅτι οὐ μὴ αἰσχυνθῶ, ὅτι ἐγγίζει ὁ δικαιώσας με. τίς ὁ κρινόμενός μοι; ἀντιστήτω μοι ἅμα. καὶ τίς ὁ κρινόμενός μοι; ἐγγισάτω μοι. ἰδοὺ κύριος κύριος βοηθήσει μοι. τίς κακώσει με; ἰδοὺ πάντες ὑμεῖς, ὡς ἱμάτιον παλαιωθήσεσθε, καὶ σὴς καταφάγεται ὑμᾶς. τίς ἐν ὑμῖν ὁ φοβούμενος τὸν κύριον; ὑπακουσάτω τῆς φωνῆς τοῦ παιδὸς αὐτοῦ. οἱ πορευόμενοι ἐν σκότει, καὶ οὐκ ἔστιν αὐτοῖς φῶς,

πεποί-



ΑΚΟΛΟΥΘΙΑ ΤΗΣ ΕΟΡΤΗΣ ΤΗΣ ΑΝΑΜΝΗΣΕΩΣ ΤΟΥ ΤΙΜΙΟΥ ΣΩΜΑΤΟΣ ΚΑΙ ΑΙΜΑΤΟΣ ΤΟΥ ΚΥΡΙΟΥ ΗΜΩΝ ΙΗΣΟΥ ΧΡΙΣΤΟΥ,

Ἐπιτελουμένη τῇ πέμπτῃ μετὰ τὴν κυριακὴν τῶν ἁγίων πάντων. Τῇ δ'. ἑσπέρας εἰς τὸ κύριε ἐκέκραξα στιχηρὰ πλαγίου β'. Ἀπόρου συλλήψ. γίνονται η'.



Ο μέγα μυστήριον τῆς σῆς ἐνανθρωπήσεως, ἐπὶ τοῦ δείπνου συνανακειμένου σου, τοῖς μύσταις φιλάνθρωπε, ἀνακαλύψας ἔφης, λάβετε ἄρτον ζωοποιόν. τοῦτό μου ἐστὶ τὸ σῶμα καὶ τὸ αἷμα τῆς ἀφθάρτου ζωῆς.

Τὸ α'. τρίς.

Σκηνὴ ἐπουράνιος, ἐδείχθη τὸ ἀνώγεον. ἔνθα τὸ πάσχα, Χριστὸς ἐπετέλεσε καὶ δεῖπνον ἀναίμακτον καὶ λογικὴν λατρείαν. ἡ τράπεζα δὲ τῶν ἐκεῖ τελεσθέντων μυστηρίων, νοητὸν θυσιαστήριον.

Τὸ β'. τρίς.

Τὰς χεῖρας ἐξέτεινας ἐν αἷς τὸν ἄρτον ἔλαβες τῆς ἀφθαρσίας, λαβεῖν τὰ ἀργύρια, τὸ στόμα προσφίλημα προσάγων δολιῶδες, ἐν ᾧ τὸ σῶμα τοῦ Χριστοῦ καὶ τὸ αἷμα ὑπεδέξω, ἀλλ' οὐαί σοι ὡς φησὶν ὁ Χριστός.

Τὸ γ'. δίς. δόξα, καὶ νῦν, τὸ δ'.

Δεῦτε φιλέορτοι πιστοὶ κροτήσωμεν σήμερον, κόσμου σωτηρίαν πανήγυριν τοῦ ζῶντος ἄρτου καὶ θείου

εἰς πάντας τοὺς αἰῶνας. Ἱ ναφανέντες ἅγιοι, ὡς φωστῆρες πολύφωτοι, τῆς τῆς ἐκκλησίας οὐρανὸν φαιδρύνετε, ποικίλοις χαρίσμασι, καὶ διαφόροις κάλλεσιν, ἐν δικαιοσύνῃ, σωφροσύνῃ, ἀνδρείᾳ, φρονήσει τῆς δεσπότην, ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας. Ἡ εὐφροσύνης ἅπασαι, γυναικῶν αἱ θεόφρονες, αἱ τελειωθεῖσαι ἐν Χριστῷ τῷ πνεύματι, παρθένον τὴν ἄχραντον, καὶ ἀληθῆ μητέρα θεοῦ, τὴν ἐκ τῆς κατάρας τῆς προμήτορος Εὔας, ἡμᾶς λυτρωσαμένην, ἐπαξίως δοξάσασαι, τῆς ταύτης ἀνυμνεῖτε, καρπὸν εἰς τοὺς αἰῶνας.

ᾠδὴ θ. Ἐξέστη ἐπὶ.

Ἐ λπίδι καὶ ἀγάπῃ θωρηχθέντες, καὶ πίστει πεφραγμένον τὸ σύνταγμα τῶν ἐκλεκτῶν, πάσας τῶν τυράννων τὰς ἀπειλὰς, τοὺς αἰκισμοὺς, καὶ μάστιγας, χαίροντες ὑπέμειναν εὐκλεῶς, Χριστὸν πεπλουτηκότες, νικοποιὸν ἐν ἄθλοις, τῆς ἀληθείας πρωτομάρτυρες ... ιμένα σωτηρίας τῆς βαπτιστὴν, ἀποστόλοις, προφήταις, καὶ μάρτυρας, σὺν ἀσκηταῖς, θείοις διδασκάλοις, καὶ ἱερεῖς πατριαρχῶν τε σύλλογον, καὶ ἱερομάρτυρας εὐκλεεῖς, γυναῖκας φιλοθέοις, ὁσίοις, καὶ δικαίοις, νῦν ἐπαξίως εὐφημήσωμεν. Π υρὶ δοκιμασθέντες τῶν πειρασμῶν καὶ τρυφαῖς μὴ θελχθέντες ἀγάλλεσθε, εἰλικρινῶς, θρόνῳ τοῦ δεσπότου φωτοειδεῖ, παρεστηκότες ἔνδοξοι, δῆμος τῶν ἁγίων ἐν οὐρανοῖς, λυθέντων τῶν ἐσόπτρων, σκιᾶς τε παρηγμένης, τῆς ἀληθείας ταῖς ἐμφάσεσιν. Ὡ ραῖοι θῆς

διεσώτων συναπτική. διὰ σοῦ γὰρ ἀγγέλοις ὁμόσκηνοι, ἐν οὐρανοῖς ἄνθρωποι γεγόνασιν ἀληθῶς, καὶ μαρτυροῦσι τάγματα πάντων τῶν ἁγίων, νῦν σὺν αὐτοῖς, ὑμνοῦντες τὸν σὸν τόκον, παρθένε θεοτόκε, ἐν αἰωνίοις μελῳδήμασιν.

Ἐξαποστειλ. τοῖς μαθηταῖς συνελθ.

Τ ὸν βαπτιστὴν καὶ πρόδρομον, ἀποστόλοις, προφήταις, μάρτυρας, ἱεράρχας τε, ἀσκητὰς καὶ ὁσίους, ἱερομάρτυρας ἅμα, φιλοθέοις γυναῖκας, καὶ τοὺς δικαίους ἅπαντας, καὶ ἀγγέλων τὰς τάξεις, χρεωστικῶς ὕμνοις κατατέψωμεν δυσωποῦντες, τῆς δόξης τούτων τυχεῖν, πρὸς Χριστοῦ τοῦ σωτῆρος.

Εἰς τοὺς αἴνους πᾶσα πνοή. στιχηρὰ ἀναστάσιμα πλαγίου δ΄. ἤ, ζήτει φωνά. δόξα ἰδιόμ. πλαγ. β΄.

Μ Αρτύρων θεῖος χορός. τῆς ἐκκλησίας ἡ βάσις, τοῦ εὐαγγελίου ἡ τελείωσις, ὑμεῖς ἔργῳ τοῦ σωτῆρος τὰ ῥήματα ἐπληρώσατε. ἐν ὑμῖν γὰρ αἱ πύλαι τοῦ ᾅδου κατὰ τῆς ἐκκλησίας ἀνεῳχθεῖσαι ἐκλείσθησαν. ἡ τοῦ αἵματος ὑμῶν χύσις, τὰς εἰδωλικὰς σπονδὰς ἐξήρανεν, ἡ σφαγὴ ὑμῶν ἀπέτεκε τῶν πιστῶν τὸ πλήρωμα, τοὺς ἀσωμάτους ἐξεπλήξατε, τῷ θεῷ στεφανηφόροι παρίστασθε, πρὸς ὃν ἀπαύστως πρεσβεύσατε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν ὑπερευλογημένη. τὰ λοιπὰ καὶ ἀπό.

λέσαν. Ὑμνοῦμεν πανευσεβῶς, μαρτύρων νέφος τὸ ἔνθεον. τῇ χάριτι λαμπρυνθεὶς, καὶ λάμψαν φαιδρότερον πορφύρᾳ τοῦ αἵματος, καὶ τῇ ἀλουργίδι. τῆς στεῤῥᾶς αὐτῶν ἀθλήσεως. Μητέρα παναληθῆ, θεοῦ σὲ πάντες γινώσκομεν, δι' ἧς φύσις γυναικῶν ῥωσθεῖσα πανάμωμε, Χριστοῦ ὑπερήθλησεν, ἀρετῆς τε πάσης εὐσεβῶς γέγονεν ἔμπλεως.

Κοντάκιον ἦχος πλαγίου δʹ.

ΩΣ ἀπαρχὰς τῆς φύσεως, τῷ φυτουργῷ τῆς κτίσεως. ἡ οἰκουμένη προσφέρει σοι κύριε, τοὺς θεοφόρους μάρτυρας, ταῖς αὐτῶν ἱκεσίαις ἐν εἰρήνῃ βαθείᾳ, τὴν ἐκκλησίαν σου τὴν πολιτείαν σου, διὰ τῆς θεοτόκου συντήρησον πολυέλεε.

Ὁ οἶκος. Οἱ ἐν πάσῃ τῇ γῇ μαρτυρήσαντες, καὶ ἐν τοῖς οὐρανοῖς μετοικήσαντες, οἱ τὰ πάθη Χριστοῦ μιμησάμενοι, καὶ τὰ πάθη ἡμῶν ἀφαιρούμενοι ἐνταῦθα σήμερον ἀθροίζονται, πρωτότοκον δεικνύοντες ἐκκλησίαν, ὡς τῆς ἄνω τὸν τύπον ἐπέχουσαν, καὶ Χριστῷ ἐκβοῶσαν, θεός μου εἶ σὺ, διὰ τῆς θεοτόκου συντήρησον πολυέλεε.

Ὠδὴ ζʹ. ὁ εἱρμός. Θεοῦ συγκατά.

ΑΓίων τὰ τάγματα, τὸν ἐν ἁγίοις ἀναπαυόμενον ἀσιγήτως ὑμνοῦντα, τρυφῆς ἐνθέου νῦν ἀπολαύουσι, καὶ γεγηθότες χορεύουσι ψάλλοντες. ὁ τῶν πατέρων θεὸς εὐλογητὸς εἶ. Ταῖς θείαις ἐλλάμψεσι, τῆς τρισηλίου φωτοχυσίας στεῤῥῶς, τῶν ἁγίων οἱ δῆμοι, περιλαμφθέντες μονάδα τρισαρίθμιον, θεολογοῦμεν, πατέρα συνάναρχον, καὶ τὸν υἱὸν εὐσεβῶς καὶ πνεῦμα ἅγιον. Ἀφράστῳ τῇ δόξῃ σου, ὅταν ὀφθήσῃ θεὸς ἐν μέσῳ θεῶν, τοῖς ἀξίοις παρέχων, καὶ δωρεὰν νέμων, καὶ τοῖς στεφάνοις διδοὺς, τότε σῶτερ ἀξίωσον ψάλλειν σοι. εὐλογητὸς εἶ ὁ θεὸς ὁ τῶν πατέρων ἡμῶν. Γηθόμενοι μέλψωμεν, τὴν τῶν ἁγίων πάντων ὁμήγυριν, ἐκ παντὸς κροτουμένην, καὶ γένους ἅμα καὶ ἀξιώματος, καὶ πολιτείας καὶ τούτοις συμψάλλομεν. εὐλογητὸς εἶ ὁ θεὸς ὁ τῶν πατέρων ἡμῶν. Μαρίαν τὴν ἄχραντον καὶ παναγίαν θεογεννήτριαν, αἱ νεάνιδες πᾶσαι, χορείαν πᾶσαν ἅμα στησάμεναι, μεγαλοφώνως ἀγάλλου βοήσατε, ἡ τῆς χαρᾶς τὴν πηγὴν ἡμῖν βλυστάνουσα.

Ὠδὴ ηʹ. ὁ εἱρμός. Ἑπταπλασίως κάμινον.

ΑΓαλλιᾶσθε μάρτυρες, οἱ προφῆται ἀπόστολοι, ἱερομαρτύρων ὁ σεπτὸς κατάλογος, δικαίων ὁσίων τε καὶ διδασκάλων θεῖος χορὸς, σὺν ταῖς μυροφόροις, γυναιξὶ μελῳδοῦντες, οἱ παῖδες εὐλογεῖτε, ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας. Τῆς ὑπὲρ νοῦν λαμπρότητος, ἐμφορούμενοι ἅγιοι θείας εὐφροσύνης, καὶ χαρᾶς πληρούμενοι, θεοὶ χρηματίζετε, τῇ πρὸς θεὸν ἐγγύτητι, ταῖς θεουργικαῖς, μαρμαρυγαῖς ὁμιλοῦντες, καὶ δόξῃ τῆς ἀφράστου, φωτισθέντες ἀκτῖσι, Χριστὸν ὑπερυψοῦτε

ὡς φιλάνθρωπος. ἵνα πάντες βοῶμεν σοι ὁ θεὸς ἐνδοξαζόμενος, ἐν βουλῇ ἁγίων σου ὑπάρχεις ἀληθῶς. ὁ δοξάσας τὴν μνήμην ἀξίως αὐτῶν.

ᾠδὴ δ΄. ὁ εἱρμός. Σύ μου ἰσχὺς κύριε σύ μου καί.

ΑΝακραθεὶς, ὅμιλος ὁ τῶν ἁγίων σου, δι' ἀγάπης, καὶ σοὶ ἑνηδόμενος, εἰλικρινῶς τε καὶ καθαρῶς, ἐν ἀγαλλιάσει, χορείαν τὴν ἀκατάλυτον ἀγγέλοις συγχορεύει. περὶ σὲ παντεπόπτα, τὸν ἁπάντων θεόν τε καὶ κύριον. Νεανικῶς, ἔνδοξοι ἱερομάρτυρες, τῶν μαρτύρων στέφος ἐνεδύσασθε, τῷ θεουργῷ, χρίσματι τὸ πρὶν, τῆς ἱερωσύνης ἠγλαϊσμένῳ πανόλβιοι. διὸ διπλοῖς στεφάνοις ἐπαξίως λαβόντες σὺν Χριστῷ αἰωνίως ἀγάλλεσθε. Τὸ τῆς σαρκὸς, φρόνημα ἅπαν τῷ πνεύματι, θεοφόροι ὄντως ὑπετάξατε, ἀσκητικῶς τούτου τὰς ὁρμὰς, τὰς ἀκατασχέτους, νηστείᾳ καταμαράναντες, καὶ νῦν τῆς ἀπαθείας, τῷ φωτὶ πυρσωθέντες, ἀμοιβὰς τὰς τῶν πόνων εἰλήφατε. Ὡς τοῦ Χριστοῦ μάρτυρες τοῦ πρωτομάρτυρος, τὰς βασάνοις ἄγαν ὑπεμείνατε, καρτερικῶς τε καὶ γενναίως, ὡς ἐν ἀλλοτρίοις, ἀθλοῦντες σώμασιν ἔνδοξοι, καὶ νῦν τῆς βασιλείας κληρονόμοι δειχθέντες. τοῖς νόσοις τὰς ἰάσεις πράζετε. Θ. Νύμφη θεοῦ, γέγονας θεογεννήτρια. τὸν γὰρ τούτου λόγον προαιώνιον, σωματικῶς τέτοκας ἡμῖν. ἐν ᾧ καὶ γυναῖκες ἀξίως πολιτευσάμεναι, καὶ ἄθλοις παμποικίλοις, διὰ σοῦ κοσμηθεῖσαι, τῆς προμήτορος πλάσιν ἀνώρθωσαν.

ᾠδὴ ε΄. ὁ εἱρμός. Ἵνα τί με ἀπώσω.

ΠΡοορᾶν, ὡς προφῆται, θεῖοι τὰ ἐσόμενα κατηξιώθητε. καὶ ἐπιποθοῦντες τῆς ψυχῆς διάνοιαν καθάραντες, διὰ πολιτείας εἰλικρινοῦς ὦ θεοφόροι φωτιζόμενοι αὐγαῖς τοῦ πνεύματος. Ὁ χορὸς τῶν ἁγίων, νῦν ἐναγλαΐζεται θείοις χαρίσμασιν, οἱ πρὸ νόμου πάντες, πατριάρχαι προφῆται ἀπόστολοι, καὶ μαρτύρων δῆμοι καὶ προφητῶν καὶ διδασκάλων, καὶ δικαίων σὺν ἱερομάρτυσι. Λαμπομένην ὁρῶντες, τὴν τῶν σῶν ἁγίων ὁμήγυριν σήμερον, τῇ σῇ σῶτερ αἴγλῃ, καὶ λαμπᾶσιν ἀστράπτουσι τῆς χάριτος, τὸν σὸν θεῖον πλοῦτον τῶν ἀγαθῶν καὶ δαψιλείαν. ἀνυμνοῦμεν ἀπαύστως φιλάνθρωπε. Θ. Ὑπερθαύμαστον τόκον, τὸν σὸν ἀγαπήσασαι γυναῖκες πάνσεμναι, τὰ τερπνὰ τοῦ βίου, εἰς οὐδὲν ἐλογίσαντο πάναγνε, τὸν αὐτοῦ καὶ μόνης, ἐρωτικῶς ἐπιθυμοῦσαι, ἀγλαΐας καὶ θείας ἐλλάμψεως.

ᾠδὴ ς΄. ὁ εἱρμός. Ἱλάσθητί μοι σωτήρ.

ΩΣ ἔντιμον ἐκλεκτὸν τεθέντες λίθον ἀκρογωνιαῖον. οἱ ἅγιοι ἐν Σιὼν φέροντες σε δέσποτα, κρηπῖδα ἀσάλευτον, ἐκλεκτοὺς ὡς λίθους ἑαυτοὺς ἐπῳκοδόμησαν. Νυγείσης σου τῆς πλευρᾶς, ῥανίδες αἵματος στάξασαι, σὺν ὕδατι θεουργῷ τὸν κόσμον ἀνέπλασαν, καὶ θείαν ὁμήγυριν, τῶν ἁγίων πάντων δι' εὐεργέτα προσεκάλεσαν.

νησῶν, Εἶτα Ἀνάστασιν Χριστοῦ θεασάμενοι. ὁ ν'. καὶ οἱ ἀναστάσιμοι κανόνες ὁ μὲν α. τροπ. δ'. μετὰ τοῦ εἱρμοῦ καὶ ὁ σταυροαναστάσιμος. τροπ. β'. ζήτει φ. σλζ. ὁ δὲ τῶν ἁγίων πάντων κανὼν τροπ. ϛ'. μετὰ τοῦ δόξα καὶ νῦν. οὗ ἡ ἀκροστιχίς.

Τῶν ἁγίων πάντων πολυώνυμα τάγματα μέλπω.

ᾠδὴ α'. ἦχος πλαγ. δ'. ὁ εἱρμός. Ἁρματηλάτην Φαραώ.

Τῶν σῶν ἁγίων ἀνυμνῶ τὰ τάγματα, τῷ σῷ φωτὶ τὴν ψυχὴν, ταῖς προσευχαῖς τούτων αὐγασθῆναι δέομαι. σὺ γὰρ εἶ φῶς ἀπρόσιτον, τῆς ἀγνοίας τὸν ζόφον, διώκων τοῖς σοῖς πνεύμασι, λόγε τοῦ θεοῦ φωτοδότα Χριστέ. Ὡς αὐνψώθης ἐπὶ ξύλου εἵλκυσας πρὸς τὴν ἐπίγνωσιν, τὴν τῶν ἐθνῶν πᾶσαν κληρουχίαν δέσποτα, καὶ φωτὶ κατελάμπρυνας τῆς ἁγίας τριάδος, δι' ἀποστόλων ἁγίων σου, δι' ὧν τὴν ἀπάτην ἀπήλασας. Νομοθεσίᾳ σου Χριστὲ πειθόμενοι, οἱ σοὶ ἀπόστολοι. τὰ ἐπὶ γῆς πάντα, δυσσεβῶς ἀπώσαντο, καὶ τῷ φωτὶ τῆς χάριτος κατεφαίδρυναν πᾶσαν τὴν οἰκουμένην οἱ ἔνδοξοι, ἀγγελικῶς σὲ κηρύττοντες. Ἀγαλλιώμενοι σταυρὸν οἱ μάρτυρες τὸν σὸν ἀράμενοι, καὶ τὸ σεπτὸν πάθος, ἀκλινῶς μιμούμενοι, τυραννικὴν οὐκ ἔπτηξαν ἀπειλὴν οἱ γενναῖοι, οὐ πῦρ οὐ ξίφος, οὐ μάστιγας, ἀλλ' οὐδὲ λιμὸν, οὐδὲ θάνατον. Θ'. Γνώμην ἀνδρείαν αἱ παρθένοι πανάγνε, ἀναλαβοῦσαι σαφῶς. μαρτυρικοῖς ἄθλοις, ἀκλινῶς μιμούμεναι, καὶ ψαλμικῶς ὀπίσω σου, τῷ νυμφίου παρθένε. εὐθέως συναγαλλόμεναι τῷ παμβασιλεῖ προσωκειώθησαν.

ᾠδὴ γ'. ὁ εἱρμός. Ὁ στερεώσας κατ' ἀρχάς.

Ἱεροσύνην ἱερὰν, οἱ ἱερεῖς καὶ ποιμένες ἐνδυσάμενοι, καὶ ταύτην ἐμφρόνως κυβερνήσαντες Χριστὲ, ἀξίως κατεκόσμησαν διδασκαλίας λόγον, ἄνωθεν ὄντως πλουτήσαντες. Ὡραιωθέντες καλλοναῖς τῆς πρώτης καλλοποιΐας, καὶ φανέντες ἀπλανεῖς ὡς φωστῆρες, οὐρανώσαντες Χριστοῦ, τὴν ἐκκλησίαν ἅγιοι, ἄλλοθεν ἄλλως ταύτην ποικίλως κατακοσμήσαντες. Νόμῳ πειθόμενοι τῷ σῷ, τῶν μακαρίων οἱ δῆμοι, πολυτρόποις ἀρεταῖς φαιδρυνθέντες, ἐκληρώσαντο μονὰς τὰς οὐρανίους χαίροντες, ἄλλην γὰρ ἄλλως πάντες, ταύτας ἀξίως ἐπλήρωσαν. Θ'. Παρθενικῆς ἀπὸ γαστρὸς τὸν ἐκ θεοῦ θεὸν λόγον, ἀπεγέννησας ἡμῖν θεομῆτορ. ὃν νεάνιδες ἁγναὶ, θεοπρεπῶς ἐπόθησαν, καὶ σοῦ ὀπίσω πᾶσαι, τύπῳ σαφῶς ἠκολούθησαν.

Κάθ. ἦχος πλαγ. δ'. Τὴν σοφίαν καὶ λόγον.

Προπατόρων, πατέρων, πατριαρχῶν, ἀποστόλων, μαρτύρων, ἱεραρχῶν, προφητῶν, καὶ ὁσίων σου, ἀσκητῶν καὶ δικαίων τε, καὶ παντὸς ὀνόματος ἐγγεγραμμένου ἐν βίβλῳ ζωῆς, τὴν ἁγίαν μνήμην τελοῦντες Χριστὲ ὁ θεὸς ἡμῶν, πάντας συγκινοῦμεν εἰς πρεσβείαν δεόμενοι, εἰρήνευσον τὸν κόσμον σου, δι' αὐτῶν

τῶν βασιλείων ἐντός. ἐπεὶ δὲ τῇ ἐκκλησίᾳ κοινωσάμενος τὸν σκοπὸν, οὐκ εἶχε πειθομένην ταύτην τῷ αὐτοῦ θελήματι. ἅμα μὲν τὸ τοῦ βασιλέως ἔχουσα φρόνημα. ὁμοῦ δὲ καὶ μηδὲν εἶναι λογισαμένην τὴν χθὲς καὶ πρώτιστα βασιλικῇ φαντασίᾳ καὶ τρυφῇ φθειρομένην, ἐξ αὐτῆς οὕτω τιμῆσαι. ὡς καὶ ναῷ σεμνῦναι μεγαλοπρεπεῖ τε καὶ ἐξαισίῳ, μὴ καὶ τοῦ χρόνου παρασχόντος, ταύτῃ τὸ τίμιον, καὶ σεβάσμιον, κἂν τῷ θεῷ διηρέσησεν, ὁ σοφώτατος βασιλεὺς, συνδοκούσης καὶ τῆς ἐκκλησίας ἁπάσης, τὸν ἀνεγερθέντα δόμον, τοῖς ἁπανταχοῦ τῆς γῆς πᾶσιν ἁγίοις ἀνέθεντο εἰπών. εἰ καὶ θεοφανῶ ἁγία μετὰ τούτων πάντων συναριθμεῖσθαι. ἐγὼ δὲ οἶμαι, κἀντεῦθεν ἐπιμᾶλλον σχεῖν τὴν ἀρχὴν, καὶ τὴν παροῦσαν ἑορτὴν ἑορτάζεσθαι οὖσαν καὶ πρότερον. τούτου δὲ χάριν καὶ ὑστέραν τοῦ βιβλίου κεῖσθαι, ἀρδὴν πάσας τὰς ἑορτὰς περικλείουσαν ὡς φραγμός. ἡ γὰρ τῆς ἐκκλησίας εὐταξία τε καὶ κατάστασις, κἂν ἄνωθεν ἤρξατο κατ' ὀλίγον ἀρίστα καθισταμένη καὶ ὡς ἐχρῆν, ἀλλ' οὖν ἐν ταῖς ἡμέραις τοῦ βασιλέως τούτου, εἰς τὸ παντελὲς κατέστη καὶ ἐτυπώθη, ὡς νῦν ἔχει τάξεώς τε καὶ κατασάσεως, τὸ δὲ βιβλίον ὡς ἐν βραχὺ φάναι περιέχειν ἐντὸς διηγούμενον, ἐμμελῶς ὅσα θεὸς περὶ ἡμᾶς ἀρρήτοις λόγοις ἐνήργησε, τὴν τοῦ διαβόλου ἐξ οὐρανοῦ ἔκπτωσιν, διὰ τῆς πρώτης παραβολῆς. τὴν ἐξορίαν τοῦ Ἀδὰμ καὶ παράβασιν. τὴν δι' ἡμᾶς τοῦ θεοῦ λόγου οἰκονομίαν ἅπασαν, καὶ ὅπως εἰς οὐρανοὺς διὰ τοῦ ἁγίου πνεύματος αὖθις ἀνεβιβάσθημεν, καὶ τὸ ἐκπεπτωκὸς ἐκεῖνο τάγμα ἀνεπληρώσαμεν, ὃ διὰ τῶν ἁγίων πάντων γνωρίζεται. ἰστέον δὲ, ὡς ἅπαντα νῦν ἑορτάζομεν, ὅσα ἀγαθοδότως ἡγίασε τὸ πνεῦμα τὸ ἅγιον. λέγω δὴ τοὺς ὑψηλοτάτους, καὶ ἀγιαστικοὺς νόας. Τὰ ἐννέα δηλαδὴ τάγματα, τοὺς προπάτορας, καὶ πατριάρχας, τοὺς προφήτας, καὶ τοὺς ἱεροὺς ἀποστόλους, τοὺς μάρτυρας, καὶ τοὺς ἱεράρχας, τοὺς ἱερομάρτυρας, καὶ ὁσιομάρτυρας, τοὺς ὁσίους καὶ δικαίους καὶ ἁπάσας τὰς τῶν ἁγίων γυναικῶν χορείας, καὶ τοὺς ἄλλους ἅπαντας ἀνωνύμους ἁγίους, μεθ' ὧν ἔσωσαν καὶ οἱ ἐπιγνωσόμενοι, περὶ δὲ πάντων καὶ ἐν πᾶσι, καὶ μετὰ πάντων τὴν τῶν ἁγίων ἁγίαν, τὴν ὑπεραγίαν καὶ αὐτῶν ὑπερασυγκρίτως κρείττονα, τῶν ἀγγελικῶν ταγμάτων, τὴν κυρίαν ἡμῶν καὶ δέσποιναν θεοτόκον Μαρίαν τὴν ἀειπάρθενον. ἧς ταῖς πρεσβείαις καὶ πάντων τῶν ἀπ' αἰῶνος ἁγίων σου, Χριστὲ ὁ θεὸς ἐλέησον καὶ σῶσον ἡμᾶς, ὡς μόνος ἅγιος καὶ φιλάνθρωπος.

Οἱ ἀναβαθμοὶ ἦχος πλαγίου δ΄. ἀντίφωνα γ΄. ζήτει φ. σλζ΄. προκείμενον πλαγ. δ΄. Βασιλεύσει κύριος. στίχος. Αἴνει ἡ ψυχή μου τὸν κύριον. Τὸ πᾶσα πνοή. Εὐαγγέλιον ἑωθινὸν α΄. Ἰστέον ὅτι ἀπεντεῦθεν ἀναγινώσκονται κατ' ὀρθίνως τὰ ἑωθινὰ εὐαγγέλια, μέχρι τῆς ε΄. κυριακῆς τῶν νηστειῶν

ῥος, φύσει τὴν ἀνωτάτω ἔχων ῥοπήν. ἄνεισι πρὸς τὰ ἄνω ὁ χοῦς, φύσει κατάρροπος ὤν, καὶ τὸ ἡμέτερον φύραμα πρὸ βραχέως μὲν, ἡ προσληφθεῖσα καὶ θεωθεῖσα τῷ θεῷ λόγῳ σὰρξ ὑψωθεῖσα, καὶ ἐκ δεξιῶν τῆς πατρικῆς δόξης καθίσασα. νῦν δὲ, καὶ πάντας ἕλκει τοὺς βουλομένους ὡς ἡ ὑπόσχεσις, ὥσπερ τοῦ θεοῦ λόγου ἐνδεικνυμένου τὰ τῆς καταλλαγῆς ἔργα, καὶ τί τὸ σκοπιμώτατον τέλος, τῆς πρὸς ἡμᾶς διὰ σαρκὸς παρουσίας αὐτοῦ καὶ οἰκονομίας, ὅτι τοὺς πρὶν ἀπωσμένους εἰς ἕνωσιν καὶ φιλίαν ἄγει θεοῦ, τὸν ἀγνώμονα ἐξ ἐθνῶν λαὸν, τῆς ἀνθρωπίνης φύσεως, οἱονεί τινας ἀπαρχὰς, προσφερούσης θεῷ, τοὺς ἐν ταύτῃ διαφερόντως εὐδοκιμήσαντας, καθ᾽ ἕνα μὲν οὖν τρόπον, οὕτω τὴν τῶν ἁγίων πάντων ἑορτὴν ἑορτάζομεν, κατὰ δεύτερον δὲ. ἐπειδὴ πολλοὶ μὲν εὐηρέστησαν τῷ θεῷ δι᾽ ἀρετὴν δὲ ἄκραν, καὶ ἀλλοτρόπως ἀνώνυμοι παρ᾽ ἀνθρώποις ἐγένοντο, καὶ διά τινα ἴσως τῶν ἀνθρωπίνων. πολλὴν δ᾽ ὅμως πρὸς θεὸν δόξαν ἔχοντες. ἢ καὶ ὅτι. πολλοὶ μὲν κατὰ Χριστὸν ἐπολιτεύσαντο ἐν Ἰνδοῖς, καὶ Αἰγυπτίοις, καὶ Ἄραψι, Μεσοποταμίᾳ τε, καὶ Φρυγίᾳ, καὶ τῆς ἄνωθεν τοῦ Εὐξείνου, ἔτι δὲ ἐν πάσῃ τῇ ἑσπέρᾳ, ἄχρι καὶ αὐτῶν τῶν βρετανικῶν νήσων. ἁπλῶς εἰπεῖν ἐν ἀνατολῇ καὶ δύσει. οὐκ ἦν δ᾽ εὐπετὲς τούτους ἅπαντας ὡς χρεὼν τιμῆσαι, διὰ τὴν ἀπειρίαν, καθὰ ἡ ἐκκλησιαστικὴ παρελήφθη συνήθεια. ἵνα τοίνυν καὶ τὴν παρ᾽ ἐκείνων πάντων βοήθειαν ἐπισπώμεθα, ὅπου δήποτε γῆς τῷ θεῷ εὐηρέστησαν. ἀλλ᾽ ὥς τε καὶ διὰ τοὺς ἐπιγενησομένους, ἴσως ἁγίους τὴν τῶν ἁγίων πάντων ἑορτὴν οἱ θειότατοι πατέρες ἑορτάζειν ἐθέσπισαν. πάντας τε τοὺς πρότερον καὶ ὕστερον ἀφανεῖς τε καὶ ἐμφανεῖς, ὅσους δὴ τὸ πνεῦμα τὸ ἅγιον σκηνῶσαν ἡγίασε, τιμῶντες καὶ συμπεριλαμβάνοντες. ἢ καὶ τρίτον, ἐχρῆν τοὺς κατὰ μέρος ἐφ᾽ ἑκάστης ἡμέρας ἑορταζομένους ἁγίους, καὶ μιᾷ συναχθῆναι ἡμέρᾳ, ἵνα δειχθείη, ὡς ὑπὲρ ἑνὸς Χριστοῦ ἠγωνίσαντο, καὶ πάντες τὸ αὐτὸ τῆς ἀρετῆς ἔδραμον στάδιον, καὶ οὕτω πάντες, ὡς ἑνὸς θεοῦ δοῦλοι ἀξίως ἐστεφανώθησαν, καὶ τὴν ἐκκλησίαν οὗτοι συνέστησαν, τὸν ἄνω κόσμον ἀναπληρώσαντες. διερεθίζοντες δὲ καὶ ἡμᾶς, τὸν ἴσον ἀγῶνα τούτοις ἀνύειν, διάφορον ὄντα καὶ πολυειδῆ, πρὸς ὅ, τι ἕκαστος ἔχει δυνάμεως, ὅλῃ προθυμίᾳ ἐπείγεσθαι. τούτοις δὴ τοῖς ἀπ᾽ αἰῶνος ἁγίοις ἅπασι. Λέων ὁ ἀοίδιμος, καὶ σοφώτατος βασιλεὺς, ναὸν μέγιστον καὶ περικαλλῆ ἀνεδείματο. ἔγγιστα δὲ ἐστιν οὗτος τοῦ τῶν ἁγίων ἀποστόλων νεώ. τῆς Κωνσταντίνου ἐντός. τὰ μὲν πρῶτα θεοφανῷ τῇ αὐτοῦ πρώτῃ ὥς φασι γυναικὶ τοῦτον οἰκοδομῶν, εὐαρεστησάσῃ κατ᾽ ἄκρως τῷ θεῷ, καὶ τὸ δὴ παράδοξον ἐν μέσῳ θορύβων, καὶ

τῶν

ὕτω λέγει κύριος ὁ θεὸς ὁ λυτρούμενος ὑμᾶς, ὁ ἅγιος τοῦ Ισραήλ. Τὸ β'. σοφίας Σαλωμῶντος. Δ ικαίων ψυχαὶ ἐν χερσὶ θεοῦ. ζήτει Δεκεμβρίῳ εἰς τὰς ς'. φύλ. ρξη'. Τὸ γ'. ἀνάγνωσμα. Σοφίας σαλωμῶντος. κεφ. ε'. Δ ίκαιοι δὲ εἰς τὸν αἰῶνα ζῶσι, ζήτει ὁμοίως. τῷ αὐτῷ μηνὶ Δεκεμβρίῳ καὶ ἡμέρᾳ.

Εἰς τὸ στίχον στιχηρὸν τοῦ στίχου ἕν, καὶ τοῦ ἀλφαβήτου ἦχος πλαγίου δ'. ζήτει φ. σκέ.

Εἶτα στίχος τῶν ἁγίων πλαγίου β'. Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ κύριος πάντα τὰ θελήματα αὐτοῦ ἐν αὐτοῖς.

στιχηρὸν πλαγίου β'. ἰδιόμ.

Δεῦτε πιστοὶ σήμερον χορείαν ὅλοι κροτήσαντες εὐσεβῶς πανηγυρίσωμεν, καὶ τῶν ἀξίων πάντων τὴν ἔνδοξον καὶ σεβάσμιον μνήμην ἐνδόξως τιμήσωμεν, λέγοντες. χαίρετε ἀπόστολοι ἔνδοξοι, προφῆται, καὶ μάρτυρες, καὶ ἱεράρχαι. χαίρετε ὁσίων ὁ δῆμος καὶ τῶν δικαίων, χαίρετε τῶν τιμίων γυναικῶν ὁ χορὸς, καὶ Χριστὸν ὑπὲρ τοῦ κόσμου πρεσβεύσατε, νίκας τῷ βασιλεῖ κατὰ βαρβάρων δωρήσασθαι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

στίχος β'. πλαγ. δ'. Θ αυμαστὸς ὁ θεὸς ἐν τοῖς ἁγίοις. πλαγ. δ'.

Ασματικὴν χορείαν κροτήσωμεν σήμερον, τῶν ἀπ' αἰῶνος ἁγίων, τελοῦντες μνήμην φαιδράν. οὗτοι γὰρ ἐν τῇ Σιὼν τῇ ἁγίᾳ σκηνώσαντες, τοῦ ἐχθροῦ θριαμβεύονται εἰς ἀεὶ ἀναδείκνυνται, καὶ Χριστῷ ἀλήκτως ὑπὲρ ἡμῶν δυσωποῦσιν, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα καὶ νῦν ἦχος ὁ αὐτὸς. πλαγίου δ'.

Α νύμφατε παρθένε. Τὸ τροπάριον ἦχος δ'. Τ ῶν ἐν ὅλῳ τῷ κόσμῳ μαρτύρων σου ὡς πορφύραν καὶ βύσσον τὰ αἵματα ἡ ἐκκλησία σου στολισαμένη, δι' αὐτῶν βοᾷ σοι, Χριστὲ ὁ θεὸς τοὺς οἰκτιρμούς σου τῷ λαῷ σου κατάπεμψον, καὶ εἰρήνην τῇ πολιτείᾳ δώρησαι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος. Τὰ λοιπὰ καὶ ἀπόλ.

Εἰς τὸν ὄρθρον, εἰς τὸ θεὸς κύριος τὸ ἀναστάσιμον τροπ. β'. δόξα τῶν ἁγίων, καὶ νῦν θ'. ἡ στιχολογία, ἡ ὑπακοὴ ἀναστάσιμος, καὶ τὸ κάθισμα. πλ. δ'. ζήτει φ. σλς'. εἶτα ἡ ἀνάγνωσις.

Τῇ αὐτῇ ἡμέρᾳ, κυριακῇ μετὰ τὴν πεντηκοστὴν τῶν ἁπανταχοῦ τῆς οἰκουμένης, ἐν Ἀσίᾳ, λιβύῃ, καὶ Εὐρώπῃ, βορρᾶτε, καὶ νότῳ, ἀξίων πάντων ἑορτὴν ἑορτάζομεν. ἣν δὴ μετὰ τὴν τοῦ παναγίου πνεύματος κάθοδον, οἱ θειότατοι πατέρες ἡμῶν ἐθέσπισαν ἐκτελεῖν, ὡσανεὶ τρόπον τινα ἐνδεικνύμενοι, ὅτι ἡ τοῦ παναγίου πνεύματος παρουσία, τοιαῦτα διὰ τῶν ἀποστόλων ἐνήργησεν, ἁγιάσασα καὶ σοφίσασα, τοὺς ἀπὸ τοῦ ἡμετέρου φυράματος, καὶ εἰς ἀναπλήρωσιν τοῦ ἐκπεπτωκότος ἐκείνου τάγματος ἀγγελικοῦ, τούτους ἀποκαταστήσασα, καὶ θεῷ διὰ τοῦ Χριστοῦ παραπέμψασα, τοὺς μὲν διὰ τοῦ μαρτυρίου καὶ αἵματος. τοὺς δὲ, δι' ἐναρέτου πολιτείας καὶ ἀγωγῆς, καὶ τὰ ὑπὲρ φύσιν διαπράττεται. κάτεισι μὲν γὰρ τὸ πνεῦμα ἐν εἴδει πυ-

ρὸς



Κυριακῇ τῶν ἁγίων πάντων. Τῷ σαββάτῳ ἑσπέρας, μετὰ τὴν στιχολογίαν. εἰς τὸ κύριε ἐκέκραξα. στιχηρὰ ἀναστάσιμα τοῦ πλαγ. δʹ. ἦχου ἁ. Ε σπερινὸν ὕμνον. καὶ τὰ ἀκόλουθα. ζήτει φ σλδʹ. καὶ τῶν ἁγίων γʹ. ἦχος πλαγίου βʹ. Ὅλην ἀποθέμενοι ἐν.

Οἱ πνευματορήτορες, οἱ μαθηταὶ τοῦ σωτῆρος, τοῦ πνεύματος ὄργανα, πίστει χρηματίσαντες διεσπάρησαν, εἰς τὰ εἰς γῆς πέρατα τὸ σεπτὸν κήρυγμα, ὀρθοδόξως κατασπείραντες, ἐξ ὧν ἐβλάστησαν θεία γεωργίᾳ καὶ χάριτι, μαρτύρων τὰ στρατεύματα, πάθος τὸ σεπτὸν εἰκονίζοντες, διὰ πολυτρόπων, στρεβλώσεων, μαστίγων, καὶ πυρὸς, καὶ παῤῥησίᾳ πρεσβεύουσιν ὑπὲρ τῶν ψυχῶν ἡμῶν. Θηρσὶ προσπαλαίοντες, τυμπανιζόμενοι ξίφει, ὄνυξι ξεόμενοι, χεῖρας ἀφαιρούμενοι, καὶ στρεβλούμενοι, οἱ στεῤῥοὶ μάρτυρες, καὶ πυρὶ ἐν ξύλῳ ἀνενδότως φλογιζόμενοι, καὶ ἐκκεντούμενοι, καὶ τὰς ἁρμονίας τεμνόμενοι, λῆξιν προορῶντες τὴν μέλλουσαν τοῖς ἀκηράτοις στεφάνοις, καὶ τὴν δόξαν τοῦ Χριστοῦ, ᾧ παῤῥησίᾳ πρεσβεύουσιν ὑπὲρ τῶν ψυχῶν ἡμῶν. Ἐν πᾶσι τοῖς πέρασι, τοὺς ἐναθλήσαντας πίστει, ἀποστόλους, μάρτυρας, ἱερεῖς θεόφρονας, σεμνὰ γύναια. ἱερὸν ἄθροισμα, ἱεροῖς ᾄσμασι κατὰ χρέος εὐφημήσωμεν. ὅτι συνήφθησαν, τοῖς ἐπουρανίοις οἱ γήϊνοι, καὶ πάθει τὴν ἀπάθειαν, χάριτι Χριστοῦ ἐκομίσαντο, καὶ νῦν ὡς ἀστέρες στεῤῥοὶ περιαυγάζοντες ἡμᾶς. ἐν παῤῥησίᾳ πρεσβεύουσιν ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Δόξα ἦχος πλαγ. βʹ.

Ἀπόστολοι, προφῆται, καὶ μάρτυρες, ὅσιοι δυσωπήσατε καὶ ἱεράρχαι, ἀσκητῶν ὁ χορὸς ἱκετεύσατε, πρὸς τὸν σωτῆρα καὶ θεὸν ἡμῶν, τοῦ ἁγιάσαι τὰς ψυχὰς ἡμῶν. καὶ νῦν θʹ. Τίς μὴ μακαρίσει σε. ζήτει φ.σιθ. εἶτα εἴσοδος τὸ φῶς ἱλαρὸν τὸ προκείμενον. τῆς ἡμέρας. ἀναγνώσματα γʹ. τὸ αʹ. Προφητείας Ἡσαΐου τὸ ἀνάγνωσμα. κεφ. μγʹ.

Τάδε λέγει κύριος, πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. τίς ἀναγγελεῖ ταῦτα; ἢ τὰ ἐξ ἀρχῆς τίς ἀναγγελεῖ ὑμῖν; ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν καὶ δικαιωθήτωσαν, καὶ ἀκουσάτωσαν, καὶ εἰπάτωσαν ἀληθῆ, γένεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς, λέγει κύριος ὁ θεὸς, καὶ ὁ παῖς μου ὃν ἐξελεξάμην, ἵνα γνῶτε καὶ πιστεύσητε, καὶ συνῆτε ὅτι ἐγώ εἰμι. ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος θεὸς, καὶ μετ' ἐμὲ οὐκ ἔσται. ἐγὼ ὁ θεὸς, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ σώζων. ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. ὑμεῖς ἐμοὶ μάρτυρες καὶ ἐγὼ κύριος ὁ θεὸς ἔτι ἀπ' ἀρχῆς, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος. ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό;

χήν μου. Θεὸν ἀληθινὸν παρθενομῆτορ ἐγέννησας εἰς ἡμῶν σωτηρείαν.

ᾠδὴ ηʹ. ὁ εἱρμός. Τὸν ἐν καμίνῳ τοῦ πυρός.

Ἄλλον παράκλητον ἡμῖν, ὁ παράκλητος Χριστὸς ἀγαθοδότως, ἐξαπέστειλε πνεῦμα τὸ ἐν προφήταις λαλοῦν, καὶ γλώσσαις πυρίναις φθεγγόμενον ταῖς τῶν θεηγόρων καὶ σοφῶν ἀποστόλων. Τῶν χαρισμάτων ἡ πηγή, ἀγαθῶν ὁ χορηγός, ἐπιφοιτήσας ὁ παράκλητος ἄλλος τοῖς τοῦ Χριστοῦ μαθηταῖς, χωνεύσας αὐτοὺς ἀνεκαίνισε φέγγος εὐσεβείας, δι᾿ αὐτῶν ἀπαστράψας. θʹ. Ἐξασθενεῖ μου νῦν ὁ νοῦς εἰς τὰ βάθη ἐμπεσὼν τῆς ἀτιμίας, ὡς ἐντεῦθεν ποικίλοις περιπαρεῖναι κακοῖς, ἀλλὰ σὺ παρθένε θεράπευσον, τῷ τῆς ἀπαθείας φωτὶ περιβαλοῦσα.

ᾠδὴ θʹ. ὁ εἱρμός. Τὸν ἐκ θεοῦ θεὸν λόγον.

Ὁ τὰς ἀγγέλων χορείας ἁγιάζων καὶ τούτων, τὰς τάξεις κυβερνῶν ὡς ἀγαθός. οὗτος καὶ νῦν παραγέγονεν, οὐρανόθεν φοιτήσας, τῇ οἰκουμένῃ θείας ἀστραπάς, τοὺς σοφοὺς ἀποστόλους σοφίσας ἐξαπέστειλεν. Τὸ πνεῦμα τῆς ἀληθείας καὶ συνέσεως, πνεῦμα σοφίας καὶ ἰσχύος, καὶ βουλῆς, τὸ ἐκ πατρὸς καὶ υἱοῦ προερχόμενον, δι᾿ υἱοῦ δὲ τῇ κτίσει πλουσίως χορηγούμενον ἡμᾶς, τοὺς πιστῶς προσκυνοῦντας τὸ κράτος σου διάσωσον. θʹ. Θεομακάριστε κόρη, τὴν ἐλπίδα μου πᾶσαν. προθύμως ἀνατίθημι ἐν σοί, σῶσόν με μῆτερ τῆς ὄντως ζωῆς, καὶ χαρᾶς αἰωνίου, πληθῦναι καθικέτευσον ἁγνή. ἵνα πίστει καὶ πόθῳ ἐν ὕμνοις μεγαλύνωσι.

Στιχηρὸν τοῦ στίχου. ἦχος βʹ. Οἶκος τοῦ Ἐφραθᾶ.

Ἐγγὺς τοῖς μαθηταῖς. ὡς ἐπηγγείλω λόγε, ἀπέστειλας τὸ θεῖον, καὶ ἅγιον σου πνεῦμα. καὶ τούτους κατεφώτισας.

στίχος αʹ. Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί.

Ἄνωθεν πρὸς ἡμᾶς, παράκλητε φοιτήσας. ὡς πρὶν τοῖς ἀποστόλοις, ἁγίασον καὶ σῶσον, τοὺς σὲ θεὸν κηρύττοντας.

στίχος βʹ. Μὴ ἀπορρίψῃς με ἀπὸ τοῦ προσώπου.

Δέσποινα ἀγαθή, καὶ μῆτερ τοῦ ὑψίστου, μὴ παύσῃ δυσωποῦσα, μετὰ τῶν ἀποστόλων, ὑπὲρ ἡμῶν τῶν δούλων σου.

Τέλος τῆς ἁγίας πεντηκοστῆς.

Ἰστέον ὅτι τὴν ἑορτὴν τῆς πεντηκοστῆς ἀποδίδομεν τῷ σαββάτῳ τῆς αὐτῆς ἑβδομάδος. καὶ ἄλλο τι τῇ αὐτῇ ἡμέρᾳ τῆς ἀποδόσεως οὐ ψάλλομεν, οὔτε τῆς ηʹ ἤχου οὔτε τοῦ μηναίου.

Κυρια-

θεν φερομένης ἐπιπνοίας τοῦ ἁγίου πνεύματος. τὰ μεγαλεῖα τοῦ θεοῦ παρα δόξως ἀπεφθέγξαντο οἱ ἀπόστολοι Χριστοῦ, συμφώνως ψάλλοντες· ὁ τῶν πατέρων θεὸς εὐλογητὸς εἶ.

θ΄. Σ ύμβολα τοῦ σοῦ τόκου οἱ παῖδες τοῦ δὲ ἐν καμίνῳ ἔδειξαν, ὥς γὰρ διέμειναν πυρὶ ἀβλαβεῖς, διετηρήθης ἁγνὴ, δεξαμένη ἐν γαστρὶ τὸ πῦρ τῆς θεότητος. ὁ τῶν πατέρων θεὸς εὐλογητὸς εἶ.

ᾠδὴ η΄. ὁ εἱρμός. Θαύματος ὑπερφυοῦς.

Α Γιον τὸ θεῖον ἐκ θεοῦ πνεῦμα, ἁγιότητα πᾶσι παράσχου τοῖς εἰς σὲ πιστεύουσιν. ἅγιον γὰρ καὶ χρηστὸν, τοῖς ἀνθρώποις ἁγιότητος ὑπέφυκας. διὸ ἀνυμνοῦντες ἀναμέλψωμεν. εὐλογείτω ἡ κτίσις πᾶσα τὸν κύριον, καὶ ὑπερυψούτω εἰς πάντας τοὺς αἰῶνας. Ν έμοις μεταδοτικῶς ὡς εὐεργέτης, ἀγαθότητος τοῖς σὲ ὑμνοῦσι δωρεὰς παράκλητε, ἀγαθῶν γὰρ παρεκτικῶς χρηματίζεις, καὶ χρηστότητος πέλαγος. διὸ ἀνυμνοῦντες ἀναμέλψωμεν. εὐλογείτω ἡ κτίσις πᾶσα τὸν κύριον, καὶ ὑπερυψούτω εἰς πάντας τοὺς αἰῶνας. Κ ύριον ζωοποιὸν ἐστὶ τὸ πνεῦμα. αὐτοκίνητον, αὐτεξουσίως διαιροῦν ὡς βούλεται, χαρισμάτων διανομὰς, αὐτοκέλευστον, καὶ αὐτοδέσποτον. αὐτὸ προσκυνοῦντες ἀναμέλψωμεν. εὐλογείτω ἡ κτίσις. θ΄. Τ ίς σου τὴν ὑπερβολὴν τῆς εὐσπλαγχνίας οὐκ ἐκπλήττεται, ἄναρχε λόγε, δι' ἡμᾶς ἐπτώχευσας, πλούσιος ὢν, καὶ ἐν γαστρὶ τῆς παρθένου τῆς ἀξίας κατεσκήνωσας. διὸ ἀνυμνοῦντες ἀναμέλψωμεν. εὐλογητός.

ᾠδὴ θ΄. ὁ εἱρμός.

Χ Αίροις τὸ τῆς παρθενίας καύχημα, χαῖρε μήτηρ ἄχραντε, ἣν ἡ σύμπασα κτίσις, θείαις ἐν ᾠδαῖς μεγαλαύνομεν.

Ι Δε θεὸς ἡμᾶς παράκλητον ἄλλον ἐξαπέστειλας, ὁμοούσιον λόγε σοὶ, καὶ τῷ πατρί σου τὸν σύνθρονον. Σ ῶσον πειρασμῶν παράκλητε τοὺς θεόν φρονοῦντάς σε, καὶ τοὺς δοξολογοῦντας σου τὴν προαιώνιον ὕπαρξιν. Ι δὲ θεὸς ἡμᾶς παράκλητε τῆς σῆς παρακλήσεως ἐμπιπλῶν, τοὺς τὴν δόξαν σου θεολογοῦντας τὴν ἄφρασον. Ν ύμφη τοῦ θεοῦ πανάμωμε, τοὺς δοξολογοῦντάς σε, καὶ τιμῶντας ἀξίως ῥῦσαι πειρασμῶν ταῖς πρεσβείαις σου.

Ἐξαποστειλάριον τῆς ἑορτῆς. Εἰς τοὺς αἴνους στιχηρὰ δ΄. τῆς ἑορτῆς. δόξα καὶ νῦν τῆς ἑορτῆς. δοξολογία μεγάλη. τὰ λοιπὰ καὶ ἀπολ.



Τετάρτῃ ψαλλόμενον τῇ αὐτῇ ἑβδομάδι τῆς ἁγίας πεντηκοστῆς εἰς τὸ ἀπόδειπ. ᾠδὴ β΄. ἦχος β΄, ὁ εἱρμός. Ο θεὸς ἀληθινὰ τὰ ἔργα.

Τ Ο πνεῦμα τὸ εὐθὲς εἰς ὁδὸν εὐθείας ὁδήγησον τοὺς σὲ θεολογοῦντας. Ζ ωὴ ζωοποιὸς καὶ φῶς ὑπάρχων παράκλητε φώτισον τὰς ψυ-

φωτὸς σὲ ὀνομάζομεν, δι᾽ ἧς εἰσῆλθε πρὸς ἡμᾶς ὁ Χριστὸς· ὡραῖος ἐπιφανεὶς, ἀστραπαῖς θεότητος, σαρκὸς ἐν στολῇ κεκαλυμμένος, ἀόρατος ὡς θεὸς, ἤδη καθ᾽ ἡμᾶς καθορώμενος.

ᾠδὴ ε΄. ὁ εἱρμός. Θεὸς ὢν εἰρήνης πατήρ.

Ὦ Πνεῦμα σοφίας καὶ φόβου θεοῦ, ἀληθείας βουλῆς καὶ συνέσεως, εἰρήνην παρεχόμενον, ἐνοίκησον ἡμῖν, ὅπως ἁγιασθέντες τῇ σῇ κατασκηνώσει, ἐκ νυκτὸς ὀρθρίζοντες, δοξολογοῦμεν σε φιλάνθρωπε. Τὸ πάντα συνέχον, τὰ πάντα πληροῦν, τὸ τὴν κτίσιν πληροῦν ἀδιάπτωτον, μετάδος ἁγιότητος ἡμῖν καὶ φωτισμοῦ, ὅπως ἐμφορηθέντες τῆς σῆς φωτοχυσίας, ἐκ νυκτὸς ὀρθρίζοντες, δοξολογοῦμεν σε φιλάνθρωπε. Ὁ πάλαι τὸν νόμον χαράξας Μωσεῖ, τῆς καινῆς διαθήκης τὰ δόγματα, καὶ τοὺς νόμους τοὺς τῆς χάριτος, ἐκτίθεται τρανῶς ἐν ταῖς τῶν ἀποστόλων καρδίαις ἐπιγράψας, ὁ θεῖος παράκλητος ἐπιδημήσας ὡς φιλάνθρωπος. θ΄. Κατάραν τῆς εὔας τὴν πάντων μητρὸς, τῷ σῷ τόκῳ παρθένε κατήργησας, τῷ κόσμῳ τὴν εὐλογίαν ἀνατείλασα Χριστόν. διό σε γεγηθότες καὶ στόματι καὶ γλώσσῃ θεοτόκον κυρίως ὁμολογοῦντες, μακαρίζομεν.

ᾠδὴ ϛ΄. ὁ εἱρμός. Σπλάγχνων Ἰωνᾶ.

Τοῖς σοῖς μαθηταῖς, πληρῶν τὴν ὑπόσχεσιν, τὸ πνεῦμα Χριστὲ τούτοις ἀπέστειλας, τῶν μεγάλων γὰρ καὶ φρικτῶν σου θαυμάτων δωρούμενος, καὶ γλώσσας πυριμόρφοις χαριζόμενον, ἵνα τῆς σῆς ἐπιγνώσεως τῶν ἐθνῶν τὰς ἀγέλας πληρώσωμεν. Ἦλθε πρὸς ἡμᾶς τὸ πνεῦμα τὸ ἅγιον, μετόχους τῆς σῆς ἀπεργασάμενον ἁγιότητος, καὶ τῆς σῆς ἀνεσπέρου φαιδρότητος, καὶ τῆς φωτοδεστάτης διαδόσεως. σὺ γὰρ ποταμὸς θεότητος ἐκ πατρὸς δι᾽ υἱοῦ προερχόμενος. Σῶσον τοὺς πιστῶς ὑμνοῦντας παράκλητε τὴν θεοπρεπῆ ἐπιδημίαν σου, καὶ καθάρισον ἀπὸ πάσης κηλῖδος ὡς εὔσπλαγχνος, καὶ ἀνάδειξον ἀξίους τῆς σῆς ἐλλάμψεως, αἴγλης θεοειδεστάτης σὺ ἐκτελῶν ἀκηλίδωτα ἔσοπτρα. Ἅπας ὁ χορὸς θεόθεν μυούμενος, ὁ τῶν προφητῶν σου προηγόρευσε, τὸ μυστήριον τῆς ἀφράστου καὶ θείας σαρκώσεως, τῆς ἐκ τοῦ θεοῦ λόγου μητροπάρθενε. σὺ γὰρ τὴν ἀληθεστάτην τε καὶ ἀρχαίαν βουλὴν ἐφανέρωσας.

Τὸ κοντάκιον. Ὅτε καταβάς. καὶ οἶκος. Ταχεῖαν καὶ στεῤῥάν. ζήτει ὄπισθεν. ᾠδὴ ζ΄. ὁ εἱρμός. Οἱ παῖδες.

Νῦν τῆς ἐπαγγελίας, προθεσμία τοῦ Χριστοῦ πεπλήρωται. ὁ μερισμὸς γὰρ τῶν γλωσσῶν, τὴν τοῦ πνεύματος ἐδήλωσεν παρουσίαν μαθηταῖς περιαστράψασαν, τοῦ τῆς τριάδος ἑνὸς τῆς ὑπερθέου. Πάλαι μὲν διῃρέθη συμφωνία τῶν γλωσσῶν ἀλόγιστος. νῦν δὲ πρὸς μίαν περιφανῶς ἁρμονίαν συνήχθησαν, ἀντουργοῦντος τοῦ σεπτοῦ καὶ θείου πνεύματος, τοῦ τῆς τριάδος ἑνὸς τοῦ μακαρίας. Ἀνωθεν

τρος ςαθεὶς καὶ δημηγορήσας ἐπὶ μέσῳ τοῦ πλήθει, τοῦτο ἐπιλέγξε μὴ ἀληθείας ἐχόμενον, τὴν τοῦ Ἰωὴλ προφητείαν ἐν τῷ λόγῳ παραγαγὼν, καὶ ἐχειρώσατο ἐξ αὐτῶν ὡσεὶ χιλιάδας τρεῖς. παράκλητος δὲ τὸ πνεῦμα τὸ ἅγιον λέγεται, ὡς παραμυθεῖσθαι καὶ ἀναψύχειν ἡμᾶς δυνάμενον. αὐτὸ γὰρ τοῦ Χριστοῦ, τοῦτο ἐλάβομεν, κἀκεῖνο δι᾽ αὐτοῦ ἔχοντες, καὶ ὅτι ἐν τυγχάνει ὑπὲρ ἡμῶν φωναῖς ἀλαλήτοις πρὸς τὸν θεόν. ὡς φιλάνθρωπον ἡμῶν περιϊσάμενον, καθὰ δῆτα καὶ ὁ Χριστὸς, παράκλητος γὰρ κἀκεῖνος. διὰ τοῦτο καὶ ἄλλος παράκλητος τὸ πνεῦμα τὸ ἅγιον λέγεται. φησὶ γὰρ ὁ ἀπόστολος. ἔχομεν παράκλητον Ἰησοῦν τὰ πρὸς τὸν θεόν, τὸ δὲ ἄλλος εἴρηται διὰ τὸ ὁμοούσιον. τὸ γὰρ ἄλλος καὶ ἄλλος, ἐπὶ ταυτοουσίων καὶ ὁμοφυῶν, τὸ δὲ ἄλλο καὶ ἄλλο ἐπὶ διαφόρων οἴδαμεν φύσεων, τοῦτο τὸ ἅγιον πνεῦμα, ἓν ὂν τῷ πατρὶ καὶ τῷ υἱῷ χριστῷ πάντα. ὅθεν καὶ δημιουργεῖ τέ τοις τὸ πᾶν. καὶ αὐτὴν τὴν ἐσομένην ἀνάστασιν, καὶ ὅσα βούλεται πράσσει, ἁγιάζει, ἀφορίζει, νεοποιεῖ, ἀποστέλλει, σοφίζει, χρίει προφήτας. ἁπλῶς εἰπεῖν ἅπαντα. αὐτεξούσιον ὂν, παντοδύναμον, ἀγαθὸν, ἀδεὲς, ἡγεμονικὸν, δι᾽ αὐτοῦ πᾶσα σοφία, ζωὴ, κίνησις, εἶτι μετέχον ἁγιωσύνης καὶ παντοίας ζωῆς. ἁπλῶς ὅσα ἔχει ὁ πατὴρ καὶ ὁ υἱός. πλὴν τῆς ἀγεννησίας καὶ τῆς γεννήσεως, παρὰ τοῦ πατρὸς καὶ υἱοῦ ἐκ πορευόμενον. ἐκχυθέντος οὖν ἐπὶ πᾶσαν σάρκα τοῦ πνεύματος ὁ κόσμος παντοίων χαρισμάτων ἐμπέπλησται, καὶ δι᾽ αὐτοῦ τὰ ἔθνη πάντα πρὸς θεογνωσίαν ἐχειραγωγήθησαν, καὶ πᾶσα νόσος καὶ πᾶσα μαλακία ἐξώρισται. Τρισσῶς δὲ τοῖς μαθηταῖς ἐδόθη παρὰ Χριστοῦ τὸ πνεῦμα τὸ ἅγιον πρὸ τοῦ πάθους, ἀμυδρῶς λίαν. μετὰ τὴν ἀνάστασιν δι᾽ ἐνφυσήματος ἐμφανέστερον. καὶ νῦν κατέπεμψε τοῦτο οὐσιωδῶς. μᾶλλον δὲ αὐτὸ κατῆλθε τελεώτερον, φωτίζον, καὶ ἁγιάζον αὐτοὺς, καὶ δι᾽ αὐτοῦ πάλιν τῆς οἰκουμένης τὰ πέρατα οἰκειούμενον. Τῇ ἐπιφοιτήσει τοῦ ἁγίου πνεύματος, πρεσβείαις τῶν ἀποστόλων σου Χριστὲ ὁ θεὸς ἐλέησον ἡμᾶς. ἀμήν.

ᾠδὴ δ΄ ὁ εἱρμός. Ῥάβδος ἐκ τῆς ῥίζης.

Μεγάλα δωρούμενος ἡμῖν. τὸ πνεῦμα τὸ πανάγιον, τοῖς ἀποστόλοις ἐπεφοίτησεν, ὡς θεῖον, ὡς ἀγαθὸν, ὡς πληροῦν τὰ σύμπαντα, ὡς θεοποιοῦν, ἁγιάζον, ὡς πάντων ποιητικὸν, ἡγεμονικὸν, αὐτεξούσιον.

Ἐν θρόνῳ Χριστὲ τῷ πατρικῷ καθίσας ἐξαπέστειλας τοῖς μαθηταῖς σου τὸν παράκλητον, ὡς ἐπηγγείλω σωτὴρ, ὡς θεὸν ἐρχόμενον, πεμπόμενον δὲ οὐκ ἐναντίον ὡς πάντων δημιουργὸν, τὸ ἐξ ἀμφοῖν ἐκ πορευόμενον.

Λαλῆσαν ἐν γλώσσαις προφητῶν τὸ μέλλον προεθέασε, τὸ πνεῦμα πάλαι τὸ πανάγιον ἐν γλώσσαις δὲ τῶν σοφῶν ἀποστόλων φθέγγεται, ἐν ἤχῳ πνοῆς βιαιοτάτης τὰ μεγαλεῖα θεοῦ, οὐσιωδῶς νῦν συγγινόμενον. Θ. Πύλην θεσμίτος νοητοῦ

ἄλλοι δὲ ἐθαύμαζον λέγοντες· τί ἂν θέλῃ τοῦτο εἶναι. ἦσαν δὲ οὗτοι ἐκ τῆς ἁπανταχοῦ γῆς συνειλεγμένοι διὰ τὴν ἑορτήν, Πάρθοι, Μῆδοι καὶ Ἐλαμῖται, ὑπὸ Ἀντιόχου πρὸς ὀλίγον αἰχμάλωτοι γεγονότες. μετὰ γοῦν τὴν ἀνάληψιν δέκα παρελθουσῶν ἡμερῶν, ἐπιδημεῖ τὸ πνεῦμα τὸ ἅγιον, καὶ οὐ παραυτίκα τῷ ἀναληφθῆναι. ἵνα θερμοτέροις μᾶλλον ποιήσῃ τοὺς μαθητὰς ἐκδεχομένους αὐτό. φασὶ δέ τινες, ὅτι καθ᾽ ἑκάστην τῶν ἡμερῶν, ἓν ἕκαστον τῶν ἀγγελικῶν ταγμάτων προσιὸν, τὴν θεωθεῖσαν ἐκείνην σάρκα προσεκύνει. τῶν οὖν ἐννέα πληρωθεισῶν ἡμερῶν, τῇ δεκάτῃ ὁ παράκλητος ἐπεδήμησε, τῆς καταλλαγῆς γενομένης διὰ τοῦ υἱοῦ. μετὰ δὲ πεντήκοντα ἀπὸ τοῦ πάσχα εἰς ὑπόμνησιν τοῦ παλαιοῦ νόμου. ὁ γὰρ Ἰσραὴλ ἐξ οὗ τὴν ἐρυθρὰν διεπεραιώθη πεντήκοντα παρελθουσῶν ἡμερῶν τὴν δεκάλογον ἔλαβεν. ὅρα δὲ καὶ τὰ σύμβολα ἐκεῖ ὄρος, ὧδε ὑπερῷον. ἐκεῖ πῦρ, ὧδε γλῶσσαι πύριναι. ἀντὶ δὲ βροντῶν καὶ γνόφου πνοὴ βιαία ἐνταῦθα. ἐν εἴδει μὲν οὖν γλωσσῶν κατῆλθε τὸ πνεῦμα τὸ ἅγιον, ὅτι οἰκείως ἔχειν πρὸς τὸν ζῶντα λόγον παραδηλοῖ. ἢ καὶ ὅτι οἱ ἀπόστολοι, διδάσκειν, καὶ ἐπάγειν τὰ ἔθνη διὰ γλώσσης ἔμελλον. πυρίνων δὲ ὅτι ὁ θεὸς πῦρ καταναλίσκον ἐστὶ, καὶ διὰ τὴν κάθαρσιν. μεριζομένων δὲ διὰ τὰ χαρίσματα καὶ ὥσπερ ποτὲ τοὺς τὴν μίαν γλῶσσαν ἐπισταμένους εἰς πολλὰς διεῖλε καὶ συνέχεεν, οὕτω καὶ νῦν τοὺς τὴν μίαν γλῶσσαν ἐπισταμένους, εἰς πολλὰς ἐμέρισεν, ἵνα συνάξῃ τοὺς ὑπ᾽ ἐκείνων τῶν γλωσσῶν εἰς τὰ πέρατα τῆς οἰκουμένης διασπαρέντας. ἐν ἑορτῇ δὲ γίνεται, ἵνα πλειόνων, ἀθροισθέντων, ἁπανταχοῦ τὸ πρᾶγμα ἐξεχυθείη. καὶ ἵνα οἱ ἐν τῷ πάσχα τυχόντες καὶ τὰ ἐπὶ τῷ Χριστῷ γεγενημένα ἰδόντες, θαυμάζειν ἔχωσιν. ἐν τῇ πεντηκοστῇ δὲ ὅτι ἐχρῆν καθ᾽ ὃν καιρὸν τὸ πρὶν ὁ νόμος ἐδόθη, κατ᾽ αὐτὸν καὶ τὴν τοῦ πνεύματος χάριν ἐκκενωθῆναι, καθὰ καὶ ὁ Χριστὸς ἐποίησεν, ἐν τῷ νομικῷ πάσχα. τὸ οἰκεῖον πάσχα τηρήσας, τὸ ἀληθινὸν πάσχα. οὐκ εἰς τὸ στόμα δὲ ἐκάθισε τὸ πνεῦμα, ἀλλ᾽ εἰς τὰς κεφαλὰς τῶν ἀποστόλων τὸ ἡγεμονικὸν περιλαμβάνον, καὶ τὸ ὑπερφέρον τοῦ σώματος, καὶ αὐτὸν τὸν νοῦν, ἀφ᾽ οὗ καὶ ἡ γλῶσσα τὸ λέγειν ἔχει. ἢ καὶ ὅτι τρόπον τινὰ, φωνὴν διὰ τῆς γλώσσης τὸ πνεῦμα ἀφιήσιν. ὡς χειροτονεῖν τοὺς ἀποστόλους διὰ τῶν κεφαλῶν ἁπάσης τῆς ὑπ᾽ οὐρανὸν διδασκάλους, ἡ γὰρ χειροθεσία ἐν τῇ κορυφῇ γίνεται, ὁ δὲ ἦχος καὶ τὸ πῦρ, ὅτι καὶ ἐν Σιναίῳ ταῦτα ἐγένετο. ὡς ἂν δειχθείη τὸ αὐτὸ πνεῦμα καὶ τότε καὶ νῦν, τὸ νομοθετοῦν, καὶ πάντα διαταττόμενον. συνεχέθη δὲ τὸ πλῆθος τῷ τῆς πνοῆς ἤχῳ, ὅτι ἔδοξαν τέλος ἔχειν, ὅσα τοῖς Ἰουδαίοις ὁ Χριστὸς περὶ τῆς αὐτῶν καταστροφῆς προήγγειλεν. ὡσεὶ πυρὸς δὲ εἶπεν, ἵνα μηδέν τι σωματικὸν ἐννοήσει τις περὶ τοῦ ἁγίου πνεύματος. μέθην οὖν κατακρίνονται οἱ ἀπόστολοι. ἀλλ᾽ ὁ Πέ-

τρος

νοοῦντες ὑμνήσωμεν, ἐν τρισαγίᾳ βοῶντες φωνῇ. ἅγιος εἶ κύριε. Θ.

Δῶρμα φωτοφόρον, καὶ φαιδρὸν ἐνδιαίτημα πάναγνε, τῶν χερουβὶμ ὑψηλοτέρα· τὸν θεὸν ἐν ἀγκάλαις βαστάσασα παραγγέλονας. διὸ σοι πάντες βοῶμεν ἁγνή. χαίροις παμμακάριστε.

Κάθ. πλαγ. δʹ. Τὴν σοφίαν.

ΤΟ πανάγιον πνεῦμα νῦν κατελθὸν, ἐπὶ τοὺς ἀποστόλους εἴδει πυρὸς, θάμβος ἐπλήρωσε τῶν βροτῶν τὰ συστήματα. ἐν γὰρ γλώσσαις λαλούντων πυρίναις φιλάνθρωπε. τὴν ἰδίαν ἕκαστος διάλεξιν ἤκουεν. ὅθεν καὶ τὸ θαῦμα τοῖς ἀπίστοις ὡς μέθη, πιστοῖς δὲ σωτήριον, ἀληθῶς ἐγνωρίζετο. διὰ τοῦτο δοξάζομεν τὸ κράτος σου Χριστὲ ὁ θεὸς, τῶν πταισμάτων ἄφεσιν αἰτούμενοι καταπέμψαι πλουσίως τοῖς δούλοις σου.

Δόξα καὶ νῦν τὸ τῆς ἑορτῆς. εἶτα ἡ ἀνάγνωσις.

ΤΗ αὐτῇ ἡμέρᾳ δευτέρᾳ τῆς πεντηκοστῆς, αὐτὸ τὸ πανάγιον καὶ ζωοποιὸν καὶ παντοδύναμον ἑορτάζομεν πνεῦμα, τὸν ἕνα τῆς τριάδος θεόν. τὸ ὁμότιμον, καὶ ὁμοούσιον, καὶ ὁμόδοξον τῷ πατρὶ καὶ τῷ υἱῷ. κατ' αὐτὴν μὲν τὴν ἡμέραν τῆς πεντηκοστῆς, τοῖς ἁγίοις ἀποστόλοις οὐσιωδῶς ἐπεδήμησεν ἐν εἴδει πυρίνων γλωσσῶν, καθῖσαν ἐφ' ἕνα ἕκαστον αὐτῶν, ἐν τῷ ὑπερῴῳ ἐν ᾧ ἦσαν καταμένοντες. διὰ δὲ τὴν εἰς τὸ ἅγιον πνεῦμα τιμὴν, καὶ μεμερισμένως, καὶ ἐν αὐτῇ τῇ πεντηκοστῇ ἐθέασαν ἑορτάζειν αὐτὸ, οἱ τὰ πάντα καλῶς διαταξάμενοι θεῖοι πατέρες. ἐπαγγειλάμενος γὰρ ὁ σωτὴρ πρὸ τοῦ πάθους τὴν τοῦ παρακλήτου ἔλευσιν, εἰπών. συμφέρει ἵνα ἐγὼ ἀπέλθω, ἐὰν γὰρ ἐγὼ μὴ ἀπέλθω ὁ παράκλητος οὐκ ἐλεύσεται, καὶ πάλιν. ὅταν δὲ ἔλθῃ ἐκεῖνος διδάξει ὑμᾶς καὶ ὁδηγήσει ὑμᾶς εἰς πᾶσαν ἀλήθειαν. καὶ αὖθις, ἐρωτήσω τὸν πατέρα καὶ ἄλλον παράκλητον πέμψει ὑμῖν, τὸ πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ πατρὸς καὶ υἱοῦ ἐκπορεύεται, καὶ μετὰ τὸ πάθος δὲ πάλιν. ὅτε πρὸς οὐρανὸν ἀνιὼν εἶπεν. ὑμεῖς δὲ περιμένατε ἐν Ἱερουσαλὴμ, ἕως οὗ ἐνδύσησθε δύναμιν ἐξ ὕψους, πέμπει αὐτό. περιμενόντων γὰρ αὐτῶν ἐν τῷ συμπληροῦσθαι τὴν ἡμέραν τῆς πεντηκοστῆς, περὶ ὥραν τρίτην τῆς ἡμέρας ἐν τῷ ὑπερῴῳ. ἄφνης βροντὴ οὐρανόθεν ἐγένετο, ὡς καὶ τὸ πλῆθος τῆς οἰκουμένης διαδραμεῖν, καὶ ἐν εἴδει πυρίνων γλωσσῶν ὤφθη τὸ πνεῦμα τὸ ἅγιον. ἐνὶ αὐτῶν ἑκάστῳ οὐ μόνον τῶν δώδεκα ἀλλὰ καὶ τῶν ἑβδομήκοντα, καὶ ἐλάλουν ξέναις γλώσσαις, ἤτοι εἷς ἕκαστος τῶν ἀποστόλων, πάσας τὰς τῶν ἐθνῶν ἐλάλει γλώσσας, οὐ μέντοι τὴν ἰδίαν τοῦ ἀποστόλου λέγοντος, ἀλλόφυλος ἤκουεν, ἀλλὰ τὴν ἑκάστου ἔθνους ὁ ἀπόστολος ἤκουε καὶ ἐλάλει. ὅθεν καὶ τοῖς συνειλεγμένοις μεθύειν ἔδοξαν. μὴ γινώσκων γὰρ ἕκαστος πῶς ὁ ἀπόστολος πᾶσι κατὰ μέρος διελέγετο, μεθύειν αὐτὸν ὑπελάμβανεν.

στόλων γὰρ χορείας ἀρξάμενον. ἐξ αὐτῆς κατὰ μέθεξιν τοῖς πιστοῖς τὴν χάριν ἐφήπλωσε, καὶ πιστοῦται αὐτοῦ τὴν κραταιὰν ἐπιφοίτησιν ἐν πυρίνῳ τῷ εἴδει, τοῖς μαθηταῖς διανέμων τὰς γλώσσας εἰς ὑμνῳδίαν καὶ δόξαν θεοῦ. διὸ τὰς καρδίας νοερῶς ἐλλαμπόμενοι, ἐν πίστει στηριχθέντες τῷ ἁγίῳ πνεύματι δεηθῶμεν σωθῆναι τὰς ψυχὰς ἡμῶν.

στίχος ϛʹ. Μὴ ἀποῤῥίψῃς.

Νῦν περιβάλλονται, οἱ Χριστοῦ ἀφ' ὕψους ἀπόστολοι. ἐγκαινίζει γὰρ αὐτοὺς ὁ παράκλητος ἐν αὐτοῖς καινιζόμενος μυστικῇ καινότητι γνώσεως. ἣν ταῖς ξέναις φωναῖς καὶ ὑψηγόροις κηρύττοντες τὴν ἀΐδιον φύσιν καὶ ἁπλῆν, τοῖς ἐκείνων διδάγμασι πατέρα προσκυνήσωμεν σὺν υἱῷ καὶ πνεύματι. δυσωποῦντες σωθῆναι τὰς ψυχὰς ἡμῶν. δόξα καὶ νῦν πλαγ. βʹ. Ὁ παράκλητος. ζήτει εἰς τὸν ἑσπερινὸν τῆς ἑορτῆς. εἰς τὸ κύριε ἐκέκραξα. τὸ ταῦν ἀπολύεις. τὸ τρισάγιον. τὸ τροπ. καὶ ἀπολ. Εἰς τὸ ἀπόδ. κανὼν τοῦ μηναίου. τὰ λοιπά. καὶ ἀπολ.



Τῇ βʹ. τοῦ ἁγίου πνεύματος, εἰς τὸ θεὸς κύριος. τὸ τροπ. Εὐλογητὸς εἶ Χριστὲ ὁ θεὸς ἡμῶν. γʹ. οὐ στιχολογοῦμεν, ἀλλ' εὐθέως οἱ κανόνες. πρῶτον τῆς ἑορτῆς ἦχος βαρύς. Πόντῳ ἐκάλυψε. τροπ. δʹ. εἶτα τοῦ ἁγίου πνεύματος ὁ κανὼν ἦχος αʹ. τροπ. ϛʹ. ᾠδὴ αʹ. Χειστὸς γεννᾶται δοξάσατε. οὗ ἡ ἀκροστιχίς. Τὸ πνεῦμα μέλπω τὸ κτίσαν πᾶσαν κτίσιν.

Τὸ θεῖον πνεῦμα τὸ ἅγιον, τὸ πᾶσι διαιροῦν τὰ χαρίσματα, καὶ πάντα ποιοῦν βουλήματι, πνεῦσόν μοι τὴν φωσφόρον σου δωρεάν. ὅπως σὲ δοξάζω τῷ πατρὶ καὶ τῷ υἱῷ τὸ συνούμενον. Οὐρανίαις δυνάμεσι τῆς ἁγιστικῆς ἐπινοίας σου, τὴν χάριν διδοὺς παράκλητε, τῆς ἐμῆς διανοίας ὡς ἀγαθὸς, ῥύπον ἐκκαθάρας, ἁγιότητος τῆς σῆς δεῖξον ἀνάπλεον. Πηγὴ ζωῆς πιστευόμενον, καὶ ῥεῖθρον φυσικῆς ἀγαθότητος, τὸ πνεῦμα θεοῦ τὸ ἅγιον, τὸν νοῦν μου νεκρωθέντα ζωοποίει, τῇ σῇ ἐνεργείᾳ ἐξανάστησον ὑμνεῖν τὴν σὴν θεότητα. θʹ. Ναὸς παρθένε γεγένησαι, θεοῦ τῇ ἐπελεύσει τοῦ πνεύματος, δημιουργικῇ δυνάμει σου δύναμιν δωρουμένη γεννητικὴν, κεχαριτωμένη, δι' ἧς ἔτεκες σαρκὶ λόγον τὸν ἄναρχον.

ᾠδὴ γʹ. Τῷ πρὸ τῶν αἰώνων.

Ἔχων κατὰ φύσιν, τῇ βουλήσει τὴν δύναμιν σύνθρονον, τοὺς οὐρανίους διακόσμους, ὡς θεὸς δημιουργήσαν τὸ πνεῦμα τὸ ἅγιον ἀκαταπαύστως διδάσκει βοᾶν. ἅγιος εἶ κύριε. Ὕμνοις ἀσιγήτοις, τὴν ἀστράψασαν χάριν τοῦ πνεύματος, τοῖς θεηγόροις ἀποστόλοις, ἐν πνοῇ σῇ βιαίᾳ συμφώνως δοξάσωμεν, σὺν ἀσωμάτοις βοῶντες χοροῖς. ἅγιος εἶ κύριε. Μίαν ἐξουσίαν, καὶ θεότητα μίαν, καὶ δύναμιν. μίαν ἀρχὴν καὶ βασιλείαν τῆς ἁγίας τριάδος φρονοῦντες

εἶ Χριστὲ ὁ. Καὶ ἡ ἀλήθεια τοῦ κυρίου μένει εἰς τὸν αἰῶνα. Εὐλογητὸς εἶ Χριστὲ ὁ.

Τὸ κοντάκιον. πλάγιος δ'.

Ὅτε καταβὰς τὰς γλώσσας. εἶτα. Καταξίωσον κύριε ἐν τῇ ἑσπέρᾳ. ζήτει εἰς τὸ ὡρολόγιον. φ. ρλθ'. καὶ μετὰ τοῦτο ὁ διάκονος τὰς αἰτήσεις.

Πληρώσωμεν τὴν ἑσπερινὴν δέησιν ἡμῶν τῷ κυρίῳ. Ὁ ἱερεύς.

Ὁ Θεὸς ὁ μέγας καὶ ὕψιστος, ὁ μόνος ἔχων ἀθανασίαν, φῶς οἰκῶν ἀπρόσιτον, ὁ πᾶσαν τὴν κτίσιν ἐν σοφίᾳ δημιουργήσας. ὁ διαχωρήσας ἀνὰ μέσον τοῦ σκότους, καὶ τὸν ἥλιον θέμενος εἰς ἐξουσίαν τῆς ἡμέρας. σελήνην δὲ καὶ ἀστέρας εἰς ἐξουσίαν τῆς νυκτός. ὁ καταξιώσας ἡμᾶς τοὺς ἁμαρτωλοὺς, καὶ ἐπὶ τῆς παρούσης ἡμέρας προφθάσαι τὸ πρόσωπόν σου ἐν ἐξομολογήσει, καὶ τὴν ἑσπερινήν σοι λατρείαν προσαγαγεῖν. αὐτὸς φιλάνθρωπε κύριε, κατεύθυνον τὴν προσευχὴν ἡμῶν ὡς θυμίαμα ἐνώπιόν σου, καὶ πρόσδεξαι αὐτὴν εἰς ὀσμὴν εὐωδίας, παράσχου δὲ ἡμῖν τὴν παροῦσαν ἑσπέραν καὶ τὴν προσιοῦσαν νύκτα εἰρηνικήν. ἔνδυσον ἡμᾶς ὅπλα φωτός. ῥῦσαι ἡμᾶς ἀπὸ φόβου νυκτερινοῦ, καὶ ἀπὸ παντὸς πράγματος ἐν σκότει διαπορευομένου. καὶ δώρησαι ἡμῖν τὸν ὕπνον, ὃν εἰς ἀνάπαυσιν τῇ ἀσθενείᾳ ἡμῶν ἐδωρήσω, πάσης διαβολικῆς φαντασίας ἀπηλλαγμένον. ναὶ δέσποτα τῶν ἁπάντων, τῶν ἀγαθῶν χορηγέ. ἵνα καὶ ταῖς κοίταις ἡμῶν κατανυγόμενοι, μνημονεύωμεν καὶ ἐν νυκτὶ τοῦ ὀνόματός σου τοῦ παγίου, καὶ τῇ μελέτῃ τῶν σῶν ἐντολῶν καταυγαζόμενοι, ἐν ἀγαλλιάσει ψυχῆς διανιστῶμεν πρὸς δοξολογίαν τῆς σῆς ἀγαθότητος. δεήσεις καὶ ἱκεσίας τῇ σῇ εὐσπλαγχνίᾳ προσάγοντες ὑπὲρ τῶν ἰδίων ἁμαρτημάτων καὶ παντὸς τοῦ λαοῦ σου, ὃν ταῖς πρεσβείαις τῆς ἁγίας θεοτόκου ἐν ἐλέει ἐπίσκεψαι. ὁ διάκ. Ἀντιλαβοῦ. Τὴν ἑσπέραν πᾶσαν. Ἄγγελον εἰρήνης. Συγγνώμην καί. Τὰ καλὰ καί. Τὸν ὑπόλοιπον. Χριστιανὰ τὰ τέλη. Τῆς παναγίας ἀχράντου.

Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος θεὸς ὑπάρχεις καὶ σοὶ τὴν δόξαν. Εἰρήνη πᾶσι. ὁ λαός. Καὶ τῷ πνεύματί σου. ὁ διάκ. Τὰς κεφαλὰς ἡμῶν τῷ κυρίῳ κλίνατε. ὁ ἱερεὺς τὴν εὐχήν. Κύριε ὁ θεὸς ἡμῶν ὁ κλίνας οὐρανούς. ζήτει εἰς τὸ ὡρολόγιον φ. ρλθ'. Εἴη τὸ κράτος τῆς βασιλείας σου.

Οἱ ψάλται τὰ στιχηρὰ τοῦ στίχου. ἦχος γ'.

Νῦν εἰς σημεῖον τοῖς πᾶσιν ἐμφανῶς αἱ γλῶσσαι γεγόνασιν. Ἰουδαῖοι γὰρ ἐξ ὧν κατὰ σάρκα Χριστὸς, ἀπιστίαν νοσήσαντες, θεϊκῆς ἐξέπεσον χάριτος, καὶ τοῦ θείου φωτὸς οἱ ἐξ ἐθνῶν ἠξιώθημεν, στηριχθέντες τοῖς λόγοις τῶν μαθητῶν, φθεγγομένων τὴν δόξαν τοῦ εὐεργέτου τῶν ὅλων θεοῦ, μεθ' ὧν καρδίας σὺν τοῖς γόνασι κλίναντες, ἐν πίστει προσκυνήσωμεν τῷ ἁγίῳ πνεύματι, στηριχθέντι σωτῆρι τῶν ψυχῶν ἡμῶν.

στίχος α'. Καρδίαν καθαράν.

Νῦν τὸ παράκλητον πνεῦμα ἐπὶ πᾶσαν σάρκα ἐκκέχυται. ἀπο-

παραπλησίως σαρκὸς καὶ αἵματος διὰ συγκατάβασιν ἄκραν, καὶ τῶν ἡμετέρων ἀδιαβλήτων παθῶν, ἐν τῷ ἑκουσίως εἰς πεῖραν καταστῆναι, προσβαλόμενος σπλάγχνα οἰκτιρμῶν, καὶ ἐν ᾧ πέπονθας πειρασθεὶς αὐτὸς, τοῖς πειραζομένοις ἡμῖν γινόμενος αὐτεπάγγελτος βοηθὸς, διὸ καὶ συνήγαγες ἡμᾶς εἰς τὴν σὴν ἀπάθειαν. δέξαι οὖν δέσποτα δεήσεις καὶ ἱκεσίας ἡμετέρας, καὶ ἀνάπαυσον πάντας τοὺς πατέρας ἑκάστου καὶ μητέρας, καὶ ἀδελφοὺς καὶ ἀδελφὰς καὶ τέκνα, καὶ εἴτι ἄλλο ὁμογενὲς καὶ ὁμόφυλον, καὶ πάσας τὰς προαναπαυσαμένας ψυχὰς ἐπ' ἐλπίδι ἀναστάσεως ζωῆς αἰωνίου, καὶ κατάταξον τὰ πνεύματα αὐτῶν, καὶ τὰ ὀνόματα ἐν βίβλῳ ζωῆς, ἐν κόλποις Ἀβραὰμ, καὶ Ἰσαὰκ καὶ Ἰακὼβ, ἐν χώρᾳ ζώντων, εἰς βασιλείαν οὐρανῶν, ἐν παραδείσῳ τρυφῆς, διὰ τῶν φωτεινῶν ἀγγέλων σου εἰσάγων ἅπαντας εἰς τὰς ἁγίας σου μονάς. συνέγειρον καὶ τὰ σώματα ἡμῶν ἐν ἡμέρᾳ, ᾗ ὥρισας κατὰ τὰς ἁγίας σου καὶ ἀψευδεῖς ἐπαγγελίας. οὐκ ἔστι οὖν κύριε τοῖς δούλοις σου θάνατος, ἐκδημούντων ἡμῶν ἀπὸ τοῦ σώματος, καὶ πρὸς σὲ τὸν θεὸν ἐνδημούντων, ἀλλὰ μετάστασις ἀπὸ τῶν λυπηροτέρων, ἐπὶ τὰ χρηστότερα καὶ θυμηδέστερα, καὶ ἀνάπαυσις καὶ χαρά. εἰ δὲ καί τι ἡμάρτομεν εἰς σὲ ἵλεως γενοῦ ἡμῖν τε καὶ αὐτοῖς. διότι οὐδεὶς καθαρὸς ἀπὸ ῥύπου ἐνώπιόν σου, οὐδ' ἂν μία ἡμέρα ἡ ζωὴ αὐτοῦ ἐστὶν, εἰ μὴ μόνος σὺ ὁ ἐπὶ γῆς φανεὶς ἀναμάρτητος, ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, δι' οὗ πάντες ἐλπίζομεν ἐλέους τυχεῖν, καὶ ἀφέσεως ἁμαρτιῶν. διὰ τοῦτο ἡμῖν τε καὶ αὐτοῖς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος θεὸς, ἄνες, ἄφες, συγχώρησον τὰ παραπτώματα ἡμῶν, τὰ ἑκούσιά τε καὶ τὰ ἀκούσια, τὰ ἐν γνώσει καὶ ἐν ἀγνοίᾳ, τὰ πρόδηλα, καὶ τὰ λανθάνοντα, τὰ ἐν πράξει, τὰ ἐν διανοίᾳ, τὰ ἐν λόγῳ, τὰ ἐν πάσαις ἡμῶν ταῖς ἀναστροφαῖς, καὶ τοῖς κινήμασι, καὶ τοῖς μὲν προλαβοῦσιν ἐλευθερίαν καὶ ἄνεσιν δώρησαι. ἡμᾶς δὲ τοὺς περιεστῶτας εὐλόγησον. τέλος ἀγαθὸν καὶ εἰρηνικὸν παρεχόμενος, ἡμῖν τε καὶ παντὶ τῷ λαῷ σου, καὶ ἐλέους σπλάγχνα καὶ φιλανθρωπίας διανοίγων ἡμῖν ἐν τῇ φοβερᾷ καὶ φρικτῇ παρουσίᾳ σου, καὶ τῆς βασιλείας σου ἀξίους ἡμᾶς ποίησον.

ὁ διάκονος. Ἀντιλαβοῦ. Τῆς παναγίας. ὁ ἱερεύς. Σὺ γὰρ εἶ ἡ ἀνάπαυσις τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν Χριστὲ ὁ θεὸς ἡμῶν. καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ πατρὶ, καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι. νῦν καὶ εἰς τοὺς αἰῶνας, τῶν αἰώνων. ἀμήν.

Καὶ εὐθέως ὁ ψάλτης ἀντίφωνον γ΄. στίχος α΄. ἦχος πλαγίου δ΄.

Αἰνεῖτε τὸν κύριον πάντα τὰ ἔθνη. Τὸ ἀντ. Εὐλογητὸς εἶ Χριστὲ ὁ θεὸς ἡμῶν ὁ πανσόφους.

Καὶ πάλιν τὸν αὐτὸν στίχον.

Αἰνεῖτε τὸν κύριον πάντα τὰ ἔθνη ἐπαινέσατε αὐτὸν πάντες οἱ λαοί. Εὐλογητὸς εἶ Χριστὲ ὁ θεὸς ἡμῶν, ὁ πανσόφους τούς. Ὅτι ἐκραταιώθη τὸ ἔλεος αὐτοῦ ἐφ' ἡμᾶς. Εὐλογητὸς εἶ Χρι-

ξας ἡμῖν, καὶ τὴν ἐπιφοίτησιν, καὶ παρουσίαν τοῦ ἁγίου καὶ ζωοποιοῦ σου πνεύματος ἐν εἴδει πυρίνων γλωσσῶν, ἐπὶ τοὺς ἁγίους σου ἀποστόλους ἐκχέας, καὶ εὐαγγελιστὰς αὐτοὺς θέμενος τῆς εὐσεβοῦς ἡμῶν πίστεως, καὶ ὁμολογητὰς καὶ κήρυκας τῆς ἀληθοῦς ἀναδείξας θεολογίας, ὁ καὶ ἐν αὐτῇ τῇ παντελείῳ ἑορτῇ καὶ σωτηριώδει. ἱλασμοὺς μὲν ἱκεσίους, ὑπὲρ τῶν κατεχομένων ἐν ᾅδῃ καταξιώσας δέχεσθαι. μεγάλας τε παρέχων ἡμῖν ἐλπίδας, ἄνεσιν τοῖς κατεχομένοις, τῶν κατεχόντων αὐτοὺς ἀνιαρῶν, καὶ παρὰ ψυχὴν παρὰ σοῦ καταπέμπεσθαι. ἐπάκουσον ἡμῶν τῶν ταπεινῶν καὶ σῶν ἱκετῶν δεομένων σου, καὶ ἀνάπαυσον τὰς ψυχὰς τῶν δούλων σου, τῶν προκεκοιμημένων ἐν τόπῳ φωτεινῷ, ἐν τόπῳ χλοερῷ, ἐν τόπῳ ἀναψύξεως, ἔνθα ἀπέδρα πᾶσα ὀδύνη, λύπη, καὶ στεναγμός, καὶ κατάταξον τὰ πνεύματα αὐτῶν ἐν σκηναῖς δικαίων, καὶ εἰρήνης καὶ ἀνέσεως ἀξίωσον αὐτούς. ὅτι οὐχ οἱ νεκροὶ αἰνέσουσί σε κύριε, οὐδὲ οἱ ἐν ᾅδῃ ἐξομολόγησιν παρρησιάσονται προσφέρειν σοι. ἀλλ' ἡμεῖς οἱ ζῶντες εὐλογοῦμεν σε, καὶ ἱκετεύομεν, καὶ τὰς ἱλαστηρίους εὐχὰς καὶ θυσίας προσάγομέν σοι ὑπὲρ τῶν ψυχῶν αὐτῶν.

Καὶ ἐπισυνάπτει τὴν εὐχὴν τοῦ τρισαγίου.

Ο Θεὸς ὁ μέγας καὶ αἰώνιος, ὁ ἅγιος καὶ φιλάνθρωπος. ὁ καταξιώσας ἡμᾶς καὶ ἐν ταύτῃ τῇ ὥρᾳ στῆναι ἐνώπιον τῆς ἀπροσίτου σου δόξης εἰς ὕμνον καὶ αἶνον τῶν θαυμασίων σου ἱλάσθητι ἡμῖν τοῖς ἀναξίοις δούλοις σου καὶ παράσχου χάριν τοῦ μετὰ συντετριμμένης καρδίας ἀμετεωρίστως προσενεγκεῖν σοι, τὴν τρισάγιον δοξολογίαν, καὶ τὴν εὐχαριστίαν τῶν μεγάλων σου δωρεῶν, ὧν ἐποίησας καὶ ποιεῖς πάντοτε εἰς ἡμᾶς. μνήσθητι κύριε τῆς ἀσθενείας ἡμῶν, καὶ μὴ συναπολέσῃς ἡμᾶς ταῖς ἀνομίαις ἡμῶν, ἀλλὰ ποίησον μέγα ἔλεος μετὰ τῆς ταπεινώσεως ἡμῶν, ἵνα τὸ τῆς ἁμαρτίας σκότος διαφυγόντες, ἐν ἡμέρᾳ δικαιοσύνης περιπατήσωμεν, καὶ ἐνδυσάμενοι τὰ ὅπλα τοῦ φωτός, ἀνεπιβούλευτοι διατελέσωμεν, ἀπὸ πάσης ἐπηρείας τοῦ πονηροῦ, καὶ μετὰ παρρησίας δοξάσωμεν, ἐπὶ πᾶσι, σὲ τὸν μόνον ἀληθινὸν καὶ φιλάνθρωπον θεόν.

Καὶ ἐπισυνάπτει τὴν δʹ εὐχήν.

Σὺ γὰρ εἶ ὡς ἀληθῶς καὶ μέγα ὄντως μυστήριον, δέσποτα τῶν ἁπάντων καὶ ποιητά. ἥτε πρόσκαιρος λύσις τῶν σῶν κτισμάτων, καὶ ἡ μετὰ ταῦτα συνάφεια καὶ ἀνάπαυσις ἡ εἰς αἰῶνας. σοὶ χάριν ἐπὶ πᾶσιν ὁμολογοῦμεν, ἐπὶ ταῖς εἰσόδοις ἡμῶν ταῖς εἰς τὸν κόσμον τοῦτον καὶ ταῖς ἐξόδοις. αἳ τὰς ἐλπίδας ἡμῶν τῆς ἀναστάσεως καὶ τῆς ἀκηράτου ζωῆς, διὰ τῆς σῆς ἀψευδοῦς ἐπαγγελίας προμνηστεύονται. ἧς ἀπολαύσωμεν ἐν τῇ δευτέρᾳ μελλούσῃ παρουσίᾳ σου. σὺ γὰρ εἶ καὶ τῆς ἀναστάσεως ἡμῶν ἀρχηγός, καὶ τῶν βεβιωμένων ἀδέκαστος καὶ φιλάνθρωπος κριτής, καὶ τῆς μισθαποδοσίας δεσπότης καὶ κύριος. ὁ καὶ κοινωνήσας ἡμῖν

δώσω τῷ κυρίῳ περὶ πάντων, ὧν ἀνταπέδωκέ μοι. σῶσον ἡμᾶς παράκλητε ἀγαθὲ ψάλλοντάς σοι ἀλληλούϊα. Ποτήριον σωτηρίου λήψομαι, καὶ τὸ ὄνομα κυρίου ἐπικαλέσομαι. σῶσον ἡμᾶς παράκλητε ἀγαθὲ ψάλλοντάς σοι ἀλληλούϊα. δόξα. Σῶσον ἡμᾶς παράκλητε ἀγαθέ. καὶ νῦν. Ο μονογενὴς υἱὸς καὶ λόγος. ὁ διάκονος. Ἔτι καὶ ἔτι κλίνοντες τὰ γόνατα ἐν εἰρήνῃ τοῦ κυρίου δεηθῶμεν.

Ὁ ἱερεὺς τὴν εὐχήν.

Ἠ ἀεννάως βρύουσα ζωτικὴ καὶ φωτιστικὴ πηγή, ἡ συναΐδιος τοῦ πατρὸς δημιουργικὴ δύναμις, ὁ πᾶσαν τὴν οἰκονομίαν διὰ τὴν τῶν βροτῶν σωτηρίαν ὑπερκάλλως πληρώσας Χριστὲ ὁ θεὸς ἡμῶν. ὁ θανάτου δεσμοὺς ἀλύτους καὶ κλεῖθρα ᾅδου διαρρήξας. πονηρῶν δὲ πνευμάτων τὰ πλήθη καταπατήσας. ὁ προσαγαγὼν ἑαυτὸν ἄμωμον ὑπὲρ ἡμῶν ἱερεῖον, τὸ σῶμα δοὺς τὸ ἄχραντον εἰς θυσίαν, τὸ πάσης ἁμαρτίας ἀψαυστόν τε καὶ ἄβατον, καὶ διὰ τῆς φρικτῆς ταύτης, καὶ ἀνεκδιηγήτου ἱερουργίας, ζωὴν ἡμῖν αἰώνιον χαρισάμενος. ὁ εἰς ᾅδου καταβὰς, καὶ μοχλοὺς αἰωνίους συντρίψας. καὶ τοῖς κάτω καθημένοις ἄνοδον ὑποδείξας. τὸν δὲ ἀρχέκακον καὶ βύθιον δράκοντα θεοσόφῳ δελέασματι ἀγκιστρεύσας, καὶ σειραῖς ζόφου δεσμεύσας ἐν ταρτάρῳ, καὶ πυρὶ ἀσβέστῳ, καὶ σκότῳ ἐξωτέρῳ διὰ τῆς ἀπειροδυνάμου σου κατασφαλισάμενος ἰσχύος. ἡ μεγαλώνυμος σοφία τοῦ πατρὸς, ὁ τοῖς ἐπηρεαζομένοις μέγας ἐπίκουρος φανεὶς, καὶ φωτίσας τοὺς ἐν σκότει καὶ σκιᾷ θανάτου καθημένους. σὺ δόξης ἀεννάου κύριε, καὶ παῖδος ὑψίστου υἱὲ ἀγαπητὲ, ἀΐδιον φῶς, ἐξ ἀϊδίου φωτός. Ἥλιε δικαιοσύνης ἐπάκουσον ἡμῶν δεομένων σου, καὶ ἀνάπαυσον τὰς ψυχὰς τῶν δούλων σου, τῶν προκεκοιμημένων πατέρων καὶ ἀδελφῶν ἡμῶν, καὶ τῶν λοιπῶν συγγενῶν κατὰ σάρκα, καὶ πάντων τῶν οἰκείων τῆς πίστεως, περὶ ὧν καὶ τὴν μνήμην ποιούμεθα νῦν. ὅτι ἐν σοὶ πάντων τὸ κράτος, καὶ ἐν τῇ χειρί σου κατέχεις πάντα τὰ πέρατα τῆς γῆς. δέσποτα παντοκράτορ θεὲ πατέρων, καὶ κύριε τοῦ ἐλέους. γένους θνητοῦ τε καὶ ἀθανάτου, καὶ πάσης φύσεως ἀνθρωπίνης δημιουργὲ, συνισταμένης τε καὶ πάλιν λυομένης, ζωῆς τε καὶ τελευτῆς, τῆς ἐν ταῦθα διαγωγῆς, καὶ τῆς ἐκεῖθεν μεταστάσεως. ὁ χρόνους μετρῶν τοῖς ζῶσι, καὶ καιροὺς θανάτου ἱστῶν. κατάγων εἰς ᾅδου καὶ ἀνάγων. δεσμεύων ἐν ἀσθενείᾳ καὶ ἀπολύων ἐν δυναστείᾳ. ὁ τὰ παρόντα χρησίμως οἰκονομῶν, καὶ τὰ μέλλοντα λυσιτελῶς διοικῶν. ὁ τοὺς θανάτῳ κέντρου πληγέντας, ἀναστάσεως εὐφραίνων ἐλπίσιν. αὐτὸς δέσποτα τῶν ἁπάντων, ὁ θεὸς ὁ σωτὴρ ἡμῶν. Ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς, καὶ τῶν ἐν θαλάσσῃ μακράν. ὁ καὶ ἐν ταύτῃ τῇ ἐσχάτῃ καὶ μεγάλῃ καὶ σωτηρίῳ ἡμέρᾳ τῆς πεντηκοστῆς ἑορτῆς, τὸ μυστήριον τῆς ἁγίας, καὶ ὁμοουσίου, καὶ συναϊδίου, καὶ ἀδιαιρέτου καὶ ἀσυγχύτου τριάδος ὑποδείξας

λόντων, ὀρέγεσθαι τῆς ἀπολαύσεως ἐνίσχυσον θησαυρῶν. σὺ γὰρ εἶπας δέσποτα. ὅτι περ ὅσα ἄν τις αἰτήσηται ἐν τῷ ὀνόματί σου, ἀκωλύτως παρὰ τοῦ σοῦ λαμβάνει συναϊδίου θεοῦ καὶ πατρός. διὸ κἀγὼ ὁ ἁμαρτωλὸς ἐν τῇ ἐπιφοιτήσει τοῦ ἁγίου σου πνεύματος τὴν σὴν ἱκετεύω ἀγαθότητα. ὅσα ηὐξάμην ἀπόδος μοι εἰς σωτηρίαν. ναὶ κύριε ὁ πάσης εὐεργεσίας πλουσιοπάροχος δοτὴρ ἀγαθέ. ὅτι σὺ εἶ ὁ διδοὺς ὑπὲρ ἐκ περισσοῦ ὧν αἰτούμεθα. σὺ εἶ ὁ συμπαθής, ὁ ἐλεήμων, ὁ ἀναμαρτήτως γεγονὼς τῆς σαρκὸς ἡμῶν κοινωνός, καὶ τοῖς κάμπτουσι πρὸς σὲ γόνυ ἐπικαμπτόμενος φιλευσπλάγχνως, ἱλασμός τε γενόμενος τῶν ἁμαρτιῶν ἡμῶν. δὸς δὴ κύριε τῷ λαῷ σου τοὺς οἰκτιρμούς σου. ἐπάκουσον ἡμῶν ἐξ οὐρανοῦ ἁγίου σου. ἁγίασον αὐτοὺς τῇ δυνάμει τῆς σωτηρίου δεξιᾶς σου. σκέπασον αὐτοὺς ἐν τῇ σκέπῃ τῶν πτερύγων σου. μὴ παρίδῃς τὰ ἔργα τῶν χειρῶν σου. σοὶ μόνῳ ἁμαρτάνομεν, ἀλλὰ καὶ σοὶ μόνῳ λατρεύομεν. οὐκ οἴδαμεν προσκυνεῖν θεῷ ἀλλοτρίῳ οὐδὲ διαπετάζειν πρὸς ἕτερον θεὸν τὰς ἡμῶν χεῖρας δέσποτα. ἄφες ἡμῖν τὰ παραπτώματα, καὶ προσδεχόμενος ἡμῶν γονυπετεῖς δεήσεις, ἔκτεινον πᾶσιν ἡμῖν χεῖρα βοηθείας, πρόσδεξαι τὴν εὐχὴν πάντων ὡς θυμίαμα δεκτὸν ἀναλαμβανόμενον τῆς σῆς ὑπεραγάθου βασιλείας.

Ἐπισυνάπτει καὶ τὴν εὐχὴν ταύτην.

Κύριε ὁ ῥυσάμενος ἡμᾶς ἀπὸ παντὸς βέλους πετομένου ἡμέρας. ῥῦσαι ἡμᾶς καὶ ἀπὸ παντὸς πράγματος πράγματος ἐν σκότει διαπορευομένου. πρόσδεξαι θυσίαν ἑσπερινὴν, τὰς τῶν χειρῶν ἡμῶν ἐπάρσεις. καταξίωσον δὲ ἡμᾶς καὶ τὸ νυκτερινὸν στάδιον ἀμέμπτως διελθεῖν, ἀπειράστους κακῶν. καὶ λύτρωσαι ἡμᾶς ἀπὸ πάσης ταραχῆς καὶ δειλίας, τῆς ἐκ τοῦ διαβόλου ἡμῖν προσγινομένης. χάρισαι ταῖς ψυχαῖς ἡμῶν κατάνυξιν, καὶ τοῖς λογισμοῖς ἡμῶν μέριμναν τῆς ἐν τῇ φοβερᾷ καὶ δικαίᾳ σου κρίσει ἐξετάσεως. καθήλωσον ἐκ τοῦ φόβου σου τὰς σάρκας ἡμῶν, καὶ νέκρωσον τὰ χείλη ἡμῶν τὰ ἐπὶ τῆς γῆς. ἵνα καὶ ἐν τῇ καθ᾽ ὕπνον ἡσυχίᾳ ἐμφαιδρυνώμεθα τῇ θεωρίᾳ τῶν κριμάτων σου. ἀπόστησον δὲ ἀφ᾽ ἡμῶν πᾶσαν φαντασίαν ἀπρεπῆ, καὶ ἐπιθυμίαν βλαβεράν. διανάστησον δὲ ἡμᾶς ἐν τῷ καιρῷ τῆς προσευχῆς ἐστηριγμένους ἐν τῇ πίστει, καὶ προκόπτοντας ἐν τοῖς παραγγέλμασί σου. ὁ διάκονος. Ἀντιλαβοῦ. Τῆς παναγίας ἀχράντου. ἐκφώνως ὁ ἱερεύς. Εὐδοκίᾳ, καὶ χάριτι τοῦ μονογενοῦς σου υἱοῦ, μεθ᾽ οὗ εὐλογητὸς εἶ σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου πνεύματι, νῦν καὶ ἀεί. καί.

Ἀντίφωνον β´. ἦχος πλαγίου β´.

Ἐπίστευσα διὸ ἐλάλησα, ἐγὼ δὲ ἐταπεινώθην σφόδρα. σῶσον ἡμᾶς παράκλητε ἀγαθὲ ψάλλοντάς σοι ἀλληλούϊα. Ἐγὼ δὲ εἶπα ἐν τῇ ἐκστάσει μου πᾶς ἄνθρωπος ψεύστης. σῶσον ἡμᾶς παράκλητε ἀγαθὲ ψάλλοντάς σοι ἀλληλούϊα. Τί ἀνταπο-

νος σοὶ διαρεστησάντων. ὁ διάκονος. Ἀντιλαβοῦ. Τῆς παναγίας ἀχράντου. ὁ ἱερεὺς ἐκφωνεῖ. Σὸν γὰρ ἐστὶ τὸ ἐλεεῖν καί.

Ἀντίφωνον α'. ἦχος β'. στίχος α'.

Ἠγάπησα ὅτι εἰσακούσεται κύριος τῆς φωνῆς τῆς δεήσεώς μου. Ταῖς πρεσβείαις τῆς θεοτόκου σῶτερ σῶσον ἡμᾶς. Ὅτι ἔκλινε τὸ οὖς αὐτοῦ ἐμοί, καὶ ἐν ταῖς ἡμέραις μου ἐπικαλέσομαι. Ταῖς πρεσβείαις τῆς θεοτόκου σῶτερ σῶσον. Ἐλεήμων ὁ κύριος καὶ δίκαιος, καὶ ὁ θεὸς ἡμῶν ἐλεεῖ. Ταῖς πρεσβείαις τῆς θεοτόκου σῶτερ σῶσον ἡμᾶς. Εὐαρεστήσω ἐνώπιον κυρίου ἐν χώρᾳ ζώντων. Ταῖς. Δόξα. Ταῖς πρεσβείαις. Καὶ νῦν. Ταῖς πρεσβείαις. ὁ διάκονος. Ἔτι καὶ ἔτι κλίναντες τὰ γόνατα τοῦ κυρίου δεηθῶμεν.

Ὁ ἱερεὺς ἐπεύχεται μεγαλοφώνως.

Κύριε Ἰησοῦ Χριστὲ ὁ θεὸς ἡμῶν, ὁ τὴν σὴν εἰρήνην δεδωκὼς τοῖς ἀνθρώποις, καὶ τὴν τοῦ παναγίου πνεύματος δωρεὰν, ἔτι τῷ βίῳ καὶ ἡμῖν συμπαρὼν, εἰς κληρονομίαν ἀναφαίρετον τοῖς πιστοῖς ἀεὶ παρέχων. ἐμφανέστερον δὲ ταύτην τὴν χάριν τοῖς σοῖς μαθηταῖς καὶ ἀποστόλοις σήμερον καταπέμψας, καὶ τὰ τούτων χείλη στομώσας πυρίναις γλώσσαις, δι' ὧν πᾶν γένος ἀνθρώπων τὴν θεογνωσίαν ἰδίᾳ διαλέκτῳ εἰς ἀκοὴν ὠτίου δεξάμενοι φωτὶ τοῦ πνεύματος ἐφωτίσθημεν, καὶ τῆς πλάνης ὡς ἐκ σκότους ἀπηλλάγημεν; καὶ τῇ τῶν αἰσθητῶν καὶ πυρίνων γλωσσῶν διανομῇ καὶ ὑπερφυεῖ ἐνεργείᾳ τὴν εἰς σὲ πίστιν ἐμαθητεύθημεν, καὶ σὲ θεολογεῖν σὺν τῷ πατρὶ, καὶ τῷ ἁγίῳ πνεύματι ἐν μιᾷ θεότητι καὶ δυνάμει καὶ ἐξουσίᾳ κατηυγάσθημεν. σὺ οὖν τὸ ἀπαύγασμα τοῦ πατρὸς, ὁ τῆς οὐσίας καὶ φύσεως αὐτοῦ ἀπαράλλακτος, καὶ ἀμετακίνητος χαρακτήρ. ἡ πηγὴ τῆς σοφίας καὶ χάριτος, διάνοιξον κἀμοῦ τοῦ ἁμαρτωλοῦ τὰ χείλη, καὶ δίδαξόν με πῶς δεῖ, καὶ ὑπὲρ ὧν χρὴ προσεύχεσθαι. σὺ γὰρ εἶ ὁ γινώσκων τὸ πολὺ τῶν ἁμαρτιῶν μου πλῆθος, ἀλλ' ἡ σὴ εὐσπλαγχνία νικήσει τούτων τὸ ἄμετρον. ἰδοὺ γὰρ φόβῳ παρίσταμαί σοι, εἰς τὸ πέλαγος τοῦ ἐλέους σου τὴν ἀπόγνωσιν ἀπορρίψας τῆς ψυχῆς μου. κυβέρνησόν μου τὴν ζωὴν, ὁ πᾶσαν ῥήματι τὴν κτίσιν ἀρρήτῳ σοφίας δυνάμει κυβερνῶν, ὁ εὔδιος τῶν χειμαζομένων λιμήν. καὶ γνώρισόν μοι ὁδὸν ἐν ᾗ πορεύσομαι, πνεῦμα σοφίας σου τοῖς ἐμοῖς παράσχου λογισμοῖς, πνεῦμα συνέσεως τῇ ἀφροσύνῃ μου δωρούμενος. πνεῦμα φόβου σου τοῖς ἐμοῖς σκίασον ἔργοις, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου, καὶ πνεύματι ἡγεμονικῷ στήριξον τὸ τῆς διανοίας μου ὀλισθηρόν. ἵνα καθ' ἑκάστην ἡμέραν τῷ πνεύματί σου τῷ ἀγαθῷ πρὸς τὸ συμφέρον ὁδηγούμενος, καταξιωθῶ ποιεῖν τὰς ἐντολάς σου, καὶ τῆς σῆς ἀεὶ μνημονεύειν ἐνδόξου καὶ ἐρευνητικῆς τῶν πεπραγμένων ἡμῖν παρουσίας, καὶ μὴ παρίδῃς με τοῖς φθειρομένοις τοῦ κόσμου τούτου συναπατᾶσθαι τερπνοῖς, ἀλλὰ τῶν μελλόντων,

ταπεινῶν καὶ κατακρίτων, καὶ ἐπίστρεψον τὴν αἰχμαλωσίαν τῶν ψυχῶν ἡμῶν, τὴν οἰκείαν συμπάθειαν ἔχων ὑπὲρ ἡμῶν πρεσβεύουσαν. δέξαι ἡμᾶς προσπίπτοντάς σοι, καὶ βοῶντας τό, ἡμάρτομεν ἐπὶ σὲ ἐπερρίφημεν ἐκ μήτρας, ἀπὸ γαστρὸς μητρὸς ἡμῶν. θεὸς ἡμῶν σὺ εἶ. ἀλλ' ὅτι ἐξέλιπον ἐν ματαιότητι αἱ ἡμέραι ἡμῶν γεγυμνώμεθα τῆς σῆς βοηθείας, ἐστερήμεθα ἀπὸ πάσης ἀπολογίας, ἀλλὰ θαρροῦντες τοῖς οἰκτιρμοῖς σου κράζομεν· ἁμαρτίας νεότητος ἡμῶν καὶ ἀγνοίας μὴ μνησθῇς καὶ ἐκ τῶν κρυφίων ἡμῶν καθάρισον ἡμᾶς, ἴδε τὴν ταπείνωσιν ἡμῶν, καὶ ἄφες ἡμῶν τὰς ἁμαρτίας. μὴ ἀποῤῥίψῃς ἡμᾶς εἰς καιρὸν γήρως, ἐν τῷ ἐκλείπειν τὴν ἰσχὺν ἡμῶν μὴ ἐγκαταλίπῃς ἡμᾶς, πρὶν ἡμᾶς εἰς τὴν γῆν ἀποστρέψαι, ἀξίωσον πρὸς σὲ ἐπιστρέψαι. καὶ πρόσχες ἡμῖν ἐν εὐμενείᾳ καὶ χάριτι, ἐπιμέτρησον τὰς ἀνομίας ἡμῶν τοῖς οἰκτιρμοῖς σου, ἀντίθες τὴν ἄβυσσον τῶν οἰκτιρμῶν σου τῷ πλήθει τῶν πλημμελημάτων ἡμῶν. ἐπίβλεψον ἐξ ὕψους ἁγίου σου, κύριε ἐπὶ τὸν λαόν σου τὸν περιεστῶτα, καὶ ἀπεκδεχόμενον τὸ παρὰ σοῦ πλούσιον ἔλεος. ἐπίσκεψαι ἡμᾶς ἐν τῇ χρηστότητί σου. ῥῦσαι ἡμᾶς ἐκ τῆς καταδυναστείας τοῦ διαβόλου. ἀσφάλισαι τὴν ζωὴν ἡμῶν, τοῖς ἁγίοις καὶ ἱεροῖς σου νόμοις. ἀγγέλῳ πιστῷ φύλακι παρακατάθου τὸν λαόν σου. πάντας ἡμᾶς συνάγε εἰς βασιλείαν σου. δὸς συγγνώμην τοῖς ἐλπίζουσιν ἐπὶ σέ. ἄφες αὐτοῖς καὶ ἡμῖν τὰ ἁμαρτήματα. καθάρισον ἡμᾶς τῇ ἐνεργείᾳ τοῦ ἁγίου σου πνεύματος, διάλυσον τὰς καθ' ἡμῶν μηχανὰς τοῦ ἐχθροῦ.

Ἐπισυνάπτει καὶ ταύτην [illegible]

Εὐλογητὸς εἶ κύριε, δέσποτα παντοκράτορ, ὁ φωτίσας τὴν ἡμέραν τῷ φωτὶ τῷ Ἡλιακῷ, καὶ τὴν νύκτα φαιδρύνας ταῖς αὐγαῖς τοῦ πυρός. ὁ τὸ μῆκος τῆς ἡμέρας διελθεῖν ἡμᾶς καταξιώσας, καὶ προσεγγίσαι ταῖς ἀρχαῖς τῆς νυκτός. ἐπάκουσον τῆς δεήσεως ἡμῶν, καὶ παντὸς τοῦ λαοῦ σου, καὶ πᾶσιν ἡμῖν συγχωρήσας τὰ ἑκούσια, καὶ τὰ ἀκούσια ἁμαρτήματα. πρόσδεξαι τὰς ἑσπερινὰς ἡμῶν ἱκεσίας, καὶ κατάπεμψον τὸ πλῆθος τοῦ ἐλέους σου, καὶ τῶν οἰκτιρμῶν σου ἐπὶ τὴν κληρονομίαν σου. τείχισον ἡμᾶς ἁγίοις ἀγγέλοις σου. ὅπλισον ἡμᾶς ὅπλοις δικαιοσύνης σου. περιχαράκωσον ἡμᾶς τῇ ἀληθείᾳ σου. Φρούρησον ἡμᾶς τῇ δυνάμει σου. ῥῦσαι ἡμᾶς πάσης περιστάσεως, πάσης ἐπιβουλῆς τοῦ ἀντικειμένου. Παράσχου τὲ ἡμῖν καὶ τὴν παροῦσαν ἑσπέραν σὺν τῇ ἐπερχομένῃ νυκτί, τελείαν, ἁγίαν, εἰρηνικήν, ἀναμάρτητον, ἀσκανδάλιστον, ἀφαντασίαστον, καὶ πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν, πρεσβείαις τῆς ἁγίας θεοτόκου, καὶ πάντων τῶν ἁγίων τῶν ἀπ' αἰῶ-

νος

τιμή.

τὸ φῶς ἐπιδημήσειν ἐκ τοῦ πατρὸς τῶν φώτων. Ὁ παράκλητος ἐπὶ γῆς ἐπέφανε. καὶ ἐκ γῆς εἰς οὐρανοὺς ἀνελήλυθε. Χριστὸς πρὸς πατέρα ἀνέδραμε. Καὶ τοὺς μύστας λαμπρύνει ἐν πνεύματι. Ἡμεῖς δὲ ἀκαταπαύστως βοῶμεν. Δόξα ἐν ὑψίστοις θεῷ καὶ ἐπὶ γῆς.

Δοξολογία μεγάλη. τὸ βιστάγιον. τὸ γένος. ἡ ἐκτενής. αἱ αἰτήσεις καὶ ἀπόλ.

Ἑσπέρας μετὰ τὸν προοιμιακὸν ψαλμὸν καὶ τὴν συναπτὴν εἰς τὸ κύριε ἐκέκραξα στιχηρὰ ἦχος δʹ. Παράδοξα σήμερον. καὶ τὰ ὅμοια. ποιοῦμεν αὐτὰ ϛʹ. δόξα καὶ νῦν ἦχος πλαγίου βʹ. Βασιλεῦ οὐράνιε. καὶ μετὰ τὴν εἴσοδον λέγει ὁ διάκονος σοφία. ὁ ψάλτης προκείμενον. ἦχος βαρύς.

Τίς θεὸς μέγας ὡς ὁ θεὸς ἡμῶν. σὺ εἶ ὁ θεὸς ὁ ποιῶν θαυμάσια. στίχος. Ἐγνώρισας ἐν τοῖς λαοῖς τὴν δύναμίν σου. ἐλυτρώσω ἐν τῷ βραχίονί σου τὸν λαόν σου. Ἡ ἐκτενὴς καὶ μετὰ τό Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος θεὸς ὑπάρχεις. ὁ λαός. Ἀμήν. ὁ διάκονος λέγει. Κλίνοντες τὰ γόνατα. Ἐν εἰρήνῃ τοῦ κυρίου δεηθῶμεν.

Καὶ κλινόντων τὰ γόνατα. ὁ ἱερεὺς ἀναγινώσκει τὴν αʹ. εὐχὴν μεγαλοφώνως.

Ἄχραντε, ἀμίαντε, ἄναρχε, ἀόρατε, ἀκατάληπτε, ἀνεξιχνίαστε. ἀναλλοίωτε, ἀνυπέρβλητε, ἀμέτρητε, ἀνεξίκακε κύριε, ὁ μόνος ἔχων ἀθανασίαν, φῶς οἰκῶν ἀπρόσιτον, ὁ ποιήσας τὸν οὐρανὸν, καὶ τὴν γῆν, καὶ τὴν θάλασσαν, καὶ πάντα τὰ δημιουργηθέντα ἐν αὐτοῖς, ὁ πρὸ τοῦ αἰτεῖσθαι τοῖς πᾶσι τὰς αἰτήσεις παρέχων. σοῦ δεόμεθα καὶ σὲ παρακαλοῦμεν, δέσποτα φιλάνθρωπε, τὸν πατέρα τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ δι' ἡμᾶς τοὺς ἀνθρώπους, καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντος ἐκ τῶν οὐρανῶν, καὶ σαρκωθέντος ἐκ πνεύματος ἁγίου, καὶ Μαρίας τῆς ἀειπαρθένου καὶ ἐνδόξου θεοτόκου. ὃς πρότερον μὲν λόγοις, διδάσκων, ὕστερον δὲ τοῖς ἔργοις ὑποδεικνὺς, ἡνίκα τὸ σωτήριον ὑφίστατο πάθος, παρέσχεν ὑμῖν ὑπογραμμὸν τοῖς ταπεινοῖς καὶ ἁμαρτωλοῖς, καὶ ἀναξίοις δούλοις σου, δεήσεις προσφέρειν ἐν αὐχένος καὶ γονάτων κλίσεσιν ὑπὲρ τῶν ἰδίων ἁμαρτημάτων καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων. αὐτὸς οὖν πολυέλεε καὶ φιλάνθρωπε ἐπάκουσον ἡμῶν ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλεσώμεθά σε. ἐξαιρέτως δὲ καὶ ἐν τῇ ἡμέρᾳ ταύτῃ τῆς πεντηκοστῆς, ἐν ᾗ μετὰ τὸ ἀναληφθῆναι τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν εἰς τοὺς οὐρανοὺς, καὶ καθεσθῆναι ἐν δεξιᾷ σοῦ τοῦ θεοῦ καὶ πατρὸς, κατέπεμψε τὸ ἅγιον πνεῦμα ἐπὶ τοὺς ἁγίους μαθητὰς καὶ ἀποστόλους αὐτοῦ. ὃ καὶ ἐκάθισεν ἐφ' ἕνα ἕκαστον αὐτῶν. καὶ ἐπλήσθησαν ἅπαντες τῆς ἀκενώτου χάριτος αὐτοῦ. καὶ ἐλάλησαν ἑτέραις γλώσσαις τὰ μεγαλεῖά σου, καὶ προεφήτευσαν. νῦν οὖν δεομένων, ἐπάκουσον ἡμῶν, καὶ μνήσθητι ἡμῶν τῶν

ταπει-

Ἄπαν γὰρ δ' ἀδύνητον εὔλαλον
σῶμα.
Ῥητεύειν οὐδένεσε μέλπειν ἀ-
ξίως.
Ἰλιγγιᾷ δὲ νοῦς ἅπας σου τὸν τόκον.
Νοεῖν ὅθεν σε συμφώνως δοξάζο-
μεν.
Ἄδειν ἔοικε τὴν φυσίζωον κόρην.
Μόνη γὰρ ἐνδίνησι κεκρυφὸς λόγον.
Νοσοῦσαν ἀλθένοντα τὴν βροτῶν
φύσιν,
Ὃς δεξιοῖς κλισμοῖσι νῦν ἱδρυμέ-
νην.
Πατρὸς πέπομφε τὴν χάριν τοῦ
πνεύματος.
Ὅσοις ἐμπνέουσεν ἡ θεόρρητος χάρις.
Λάμποντες ἀστράπτοντες ἠλλοιω-
μένοι.
Ὀθνείαν ἀλλοίωσιν δ' εὐπρεπεστάτην,
Ἰσοσθενοῦσαν τὴν ἄτμητον εἰδότες,
Σοφὴν τρίφεγγον οὐσίαν δοξάζο-
μεν.

Ἐξαποστειλάριον. Ὁ οὐρανὸν τοῖς ἄστροις.

Τὸ πανάγιον πνεῦμα, τὸ προϊὸν ἐκ τοῦ πατρὸς, καὶ δι' υἱοῦ ἐνδημῆσαν, τοῖς ἀγραμμάτοις μαθηταῖς, τούς σε θεὸν ἐπιγνόντας, σῶσον ἁγίασον πάντας. Ἕτερον ὅμοιον.

Φῶς ὁ πατὴρ, φῶς ὁ λόγος, φῶς καὶ τὸ ἅγιον πνεῦμα, ὅπερ ἐν γλώσσαις πυρίναις, τοῖς ἀποστόλοις ἐπέμφθη. καὶ δι' αὐτοῦ πᾶς ὁ κόσμος φωταγωγεῖται. τριάδα σέβειν ἁγίαν.

Εἰς τοὺς αἴνους πᾶσα πνοή. στιχηρὰ ἦχος δ'. γίνονται ς'. ἰδιόμ.

Παράδοξα σήμερον, εἶδον τὰ ἔθνη πάντα ἐν πόλει Δαβίδ. ὅτε τὸ πνεῦμα κατῆλθε τὸ ἅγιον, ἐν πυρίναις γλώσσαις, καθὼς ὁ θεηγόρος Λουκᾶς ἀπεφθέγξατο. φησὶ γὰρ συνηγμένων τῶν μαθητῶν τοῦ Χριστοῦ. ἐγένετο ἦχος καθάπερ φερομένης βιαίας πνοῆς, καὶ ἐπλήρωσε τὸν οἶκον οὗ ἦσαν καθήμενοι, καὶ πάντες ἤρξαντο φθέγγεσθαι, ξένοις ῥήμασι. ξένοις δόγμασι. ξένοις διδάγμασι τῆς ἁγίας τριάδος.

Δίσ. ὁ αὐτός.

Τὸ πνεῦμα τὸ ἅγιον, ἦν μὲν ἀεὶ, καὶ ἔστι καὶ ἔσται, οὔτε ἀρξάμενον, οὔτε παυσόμενον, ἀλλ' ἀεὶ πατρὶ καὶ υἱῷ συντεταγμένον καὶ συναριθμούμενον. ζωὴ καὶ ζωοποιοῦν, φῶς ἐκ φωτὸς χορηγὸν, αὐτάγαθον καὶ πηγὴ ἀγαθότητος. δι' οὗ πατὴρ γνωρίζεται, καὶ υἱὸς δοξάζεται, καὶ παρ' ὧν μόνον γινώσκεται, μία δύναμις, μία σύνταξις, μία προσκύνησις τῆς ἁγίας τριάδος.

Δίσ. ὁ αὐτός.

Τὸ πνεῦμα τὸ ἅγιον, φῶς καὶ ζωὴ, καὶ ζῶσα πηγὴ νοερὰ, πνεῦμα σοφίας, πνεῦμα συνέσεως. ἀγαθὸν, εὐθὲς, νοερὸν, ἡγεμονεῦον, καθαῖρον τὰ πταίσματα. θεὸς καὶ θεοποιοῦν, πῦρ ἐκ πυρὸς προϊὸν. λαλοῦν, ἐνεργοῦν, διαιροῦν τὰ χαρίσματα, δι' οὗ προφῆται ἅπαντες, καὶ θεοῦ ἀπόστολοι, μετὰ μαρτύρων ἐστέφθησαν, ξένον ἄκουσμα, ξένον θέαμα, πῦρ διαιρούμενον, εἰς νομὰς χαρισμάτων.

Δίσ. εἶτα δόξα καὶ νῦν ἦχος β'.

Σήμερον ἐξεχύθη ἐφ' ἡμᾶς τοῦ πνεύματος ἡ χάρις. σήμερον

τὸ

ᾠδὴ η΄. ὁ εἱρμός.

Ἄφλεκτος πυρὶ ἐν Σινᾶ προσομιλοῦσα βάτος, Θεὸν ἐγνώρισε τῷ βραδυγλώσσῳ καὶ δυσίχνῳ Μωσεῖ. καὶ παῖδας ζῆλος Θεοῦ τρεῖς ἀναλώτους τῷ πυρὶ ὑμνῳδοὺς ἔδειξε. πάντα τὰ ἔργα τὸν κύριον ὑμνεῖτε καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας. Ζωτικῆς ἐξ ὕψους, βιαίας φερομένης, ἠχητικῶς τοῦ πνεύματος τοῦ παναγίου, ἁλιεῦσι πνοῆς, πυρίνων ἤδη γλωσσῶν, τὰ μεγαλεῖα τοῦ Θεοῦ ἐρητορεύοντο. πάντα τὰ ἔργα τὸν κύριον ὑμνεῖτε καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας. Ὡς μὴ θιγομένῳ προσβαίνοντες ἐν ὄρει, μὴ πεφρικότες πῦρ δειματοῦν. δεῦτε καὶ στῶμεν ἐν τῷ ὄρει Σιών, ἐν πόλει ζῶντος Θεοῦ πνευματοφόροις μαθηταῖς νῦν συγχορεύοντες. πάντα τὰ ἔργα τὸν κύριον ὑμνεῖτε καὶ ὑπερυψοῦτε εἰς πάντας τούς. ἄλλος.

Λύει τὰ δεσμὰ καὶ δροσίζει τὴν φλόγα.
Ὁ τρισοφεγγὴς τῆς θεαρχίας τύπος.
Ὑμνοῦσι παῖδες εὐλογεῖ δὲ τὸν μόνον,
Σωτῆρα καὶ παντουργὸν ὡς εὐεργέτην.
Ἡ δημιουργηθεῖσα σύμπασα κτίσις.
Μνήμην ὁ Χριστὸς τῶν βροτοσσόων ἐπῶν.
Ἀπαρβακευθεὶς τοῖς ἀποστόλοις ἔφη.
Τὸ πνεῦμα τεύχει γλωσσοπυρσεύτῳ θέᾳ.
Ἐφιζον εὐλογητὸν οἰκουμένη.
Ἠλλοτριωμένη γὰρ μέλπει σε κτίσις.
Σωτηριωδῶς αὐτοδεσπότως ἰδόν.
Φῶς αὐτολαμπὲς καὶ πορευτικὸν φάοις.
Ὑπάρχων ἧκες ἐμφόρως ἀποστόλοις.
Τιμῆεν ὡς ἄημα τοῖς σοῖς οἰκέταις.
Λελιπαρημένον τε πνεῦμα προσνέμοις.
Ἧσε προφητῶν πνευματέμφορον στόμα.
Σὴν σωματωδῶς τῶν μέλλων ἐνδημίαν,
Καὶ πνεῦμα κόλπων πατρικῶν προηγμένον.
Ἄκτιστον, συμπλαστουργόν, σύνθρονον σέθεν.
Ἰεὶς ἐν ἀνθρωπίσεως πιστοῖς σέβας·

ᾠδὴ θ΄. ὁ εἱρμός.

Μὴ τῆς φθορᾶς διάπειραν κυοφορήσασα, καὶ παντεχνήμονι λόγῳ σάρκα δανείσασα, μῆτερ ἀπείρανδρε παρθένε θεοτόκε, δοχεῖον τοῦ ἀστέκτου, χωρίον τοῦ ἀπείρου πλαστουργοῦ σου μεγαλύνομεν. Ἐπιπαμφλάζοντος πάλαι πυρίνου ἅρματος, ὁ ζηλωτὴς καὶ πυρίπνοις χαίρων ὀχούμενος, τὴν νῦν ἐκλάμψασαν ἐπίπνοιαν ἐδήλου, ἐξ ὕψους ἀποστόλοις, ὑφ᾽ ἧς καταλαμφθέντες, τὴν τριάδα πᾶσιν ἐγνώρισαν. Νόμου τῶν φύσεων δίχα ξένον ἠκούετο, τῶν μαθητῶν τῆς μιᾶς γὰρ φωνῆς ἀπηχουμένης, πνεύματος χάριτι ποικίλως ἐνηχοῦντο λαοὶ φυλαὶ καὶ γλῶσσαι, τὰ θεῖα μεγαλεῖα τῆς τριάδος γνῶσιν μυούμενοι. ἄλλος.

Χαίροις ἄνασσα μητροπάρθενον κλέος,

Ἄπαν

Ῥύπου τε φρενῶν, ῥυπτικὸν παντοκράτορ.
Ὀρεκτὸν ἀξίωμα τοῖς ἀποστόλοις,
Σιωνίταις μίμνουσι τὴν παρουσίαν.
Γνώρισμα πνεῦμα πατρογεννήτου λόγου,
Λέξιν ἁπλῆν τῶν ἐθνῶν πολυσπεράτων.
Ὤκισα δεικνὺς πυρπνόοις καθιδρύσεις.

Κοντάκιον ἦχος πλάγιος δ΄.

Ὅτε καταβὰς τὰς γλώσσας συνέχεε, διεμέριζεν ἔθνη ὁ ὕψιστος, ὅτε τοῦ πυρὸς τὰς γλώσσας διένειμεν, εἰς ἑνότητα πάντας ἐκάλεσε· καὶ συμφώνως δοξάζομεν τὸ πανάγιον πνεῦμα. ὁ οἶκος.

Ταχεῖαν καὶ σταθηρὰν δίδου παραμυθίαν τοῖς δούλοις σου Ἰησοῦ, ἐν τῷ ἀκηδιάσαι τὰ πνεύματα ἡμῶν, μὴ χωρίζου τῶν ψυχῶν ἡμῶν ἐν θλίψεσι, μὴ μακρύνου τῶν φρενῶν ἡμῶν ἐν περιστάσεσιν. ἀλλ' ἀεὶ ἡμᾶς πρόφθασον. ἔγγισον ἡμῖν ἔγγισον ὁ πανταχοῦ. ὥσπερ καὶ τοῖς ἀποστόλοις σου πάντοτε συνῆς. οὕτω καὶ τοῖς σὲ ποθοῦσιν ἕνωσον σαυτὸν οἰκτίρμων. ἵνα συνημμένοι ὑμνῶμεν καὶ δοξολογῶμεν, τὸ πανάγιον πνεῦμα.

ᾠδὴ ζ΄. ὁ εἱρμός.

Οἱ ἐν καμίνῳ τοῦ πυρὸς ἐμβληθέντες ὅσιοι παῖδες, τὸ πῦρ εἰς δρόσον μετέβαλον διὰ τῆς ὑμνῳδίας, οὕτω βοῶντες. εὐλογητὸς εἶ κύριε ὁ θεὸς τῶν πατέρων ἡμῶν. Ῥητορευόντων τὰ θεῖα μεγαλεῖα τῶν ἀποστόλων, τοῦ πνεύματος ἡ ἐνέργεια, ἐνομίζετο μέθη τοῖς ἀπίστοις, δι' ἧς βίας γνωρίζεται. εἷς θεὸς τῶν πατέρων ἡμῶν. Τὴν ἀδιαίρετον φύσιν ὀρθοδόξως θεολογοῦμεν, θεὸν πατέρα τὸν ἄναρχον, τῆς αὐτῆς ἐξουσίας λόγον καὶ πνεῦμα. εὐλογητὸς εἶ κράζοντες ὁ θεὸς τῶν πατέρων ἡμῶν.

ἄλλος.

Σύμφωνον ἐθρήνησεν ὀργάνων μέλος.
Σέβειν τὸ χρυσότευκτον ἄψυχον βρέτας.
Ἡ τοῦ παρακλήτου δὲ φωσφόρος χάρις.
Σεβασμιάζει τοῦ βοᾶν βίας μόνη.
Ἰσοσθενὲς ἄναρχος εὐλογητὸς εἶ.
Φωνὴν πορφητόφθεγκτον ἠγνοηκότες.
Ἔφασκον οἰνότευκτον ἄφρονες μέθην.
Ῥήσεις ξενηχεῖς ᾔδησαν ὡς ἀποστόλων.
Οἱ δ' εὐσεβεῖς δέ σοι βοῶμεν ἐνθέως.
Νευρεγὲ τοῦ σύμπαντος εὐλογητὸς εἶ.
Θέσπιν κατεβρόντησεν ὁ βλέπων ὄπα.
Ἔνθους Ἰωὴλ τοῦ θεαρχικωτάτου.
Οἷς ἐκχεῶ φήσαντος οἷα περ λόγου.
Τοῦ πνεύματός μου συμβοήσουσι φύσις.
Ἡ βιασοφεγγόφωτος εὐλογητὸς εἶ.
Τριπλῆ μὲν εὐμοίρησεν ὁρῶν τὴν χάριν.
Ὅπως ὑπεμφαίνοιεν τρεῖς ὑποστάσεις.
Σέβειν ἐν ἁπλότητι τῆς οὐσίας.
Ἀλλ' ἐν μιᾷ νῦν ἡμερῶν τῇ κυρίᾳ.
Υἱὸς πατὴρ καὶ πνεῦμα εὐλογητὸς εἶ.

Ἐν γὰρ προσώποις εἶδε τριττοῖς οὐσίαν.
Νημερτὲς ἀπρόσιτον ἄχρονον μίαν.
Ἔλαμψε φῶς γὰρ ἡ χάρις τοῦ πνεύματος.
Τελεῖσθε πάντες τῇ θεαρχικωτάτῃ.
Ὅσοι λαβόντες τῆς τριφεγγοῦς οὐσίας.
Ὑπερφυῶς τελεῖ γὰρ ὡς εὐεργέτης.
Καὶ πυρσολαμπεῖ Χριστὸς εἰς σωτηρίαν.
Ὅλην πορίζων τὴν χάριν τοῦ πνεύματος. ᾠδὴ ε΄. ὁ εἱρμός.

Τὸ διὰ τὸν φόβον σου ληφθὲν κύριε, ἐν γαστρὶ τῶν προφητῶν, καὶ κυηθὲν ἐπὶ τῆς γῆς, πνεῦμα σωτηρίας, ἀποστολικὰς καρδίας κτίζει καθαρὰς, ἐν τοῖς πιστοῖς δὲ εὐθὲς ἐγκαινίζεται φῶς γὰρ καὶ εἰρήνη, διότι τὰ σὰ προστάγματα. Ἡ ἐπιφοιτήσασα ἰσχὺς σήμερον, αὕτη πνεῦμα ἀγαθὸν, πνεῦμα σοφίας θεοῦ, πνεῦμα ἐκ πατρὸς ἐκπορευθὲν, καὶ δι' υἱοῦ πιστοῖς ἡμῖν πεφηνὸς, μεταδοτικὸν ἐν οἷς κατοικίζεται φύσει, τῆς, ἐν ᾗ κατοπτεύεται ἁγιότητος. ἄλλος.

Λυτήριον κάθαρσιν ἀμπλακημάτων.
Πυρίπνοον δέξασθαι πνεύματος δρόσον.
Ὦ τέκνα φωτόμορφα τῆς ἐκκλησίας.
Νῦν ἐκ Σιὼν γὰρ ἐξελήλυθε νόμος.
Ἡ γλωσσοπυρσόμορφος πνεύματος χάρις.
Καθώσπερ εὐδόκησεν αὐτεξουσίως.
Ἀδέσποτον κάτεισι πνεῦμα πατρόθεν.
Σοφίζον ἐν γλώσσῃσι τοὺς ἀποστόλους.
Ἐπισφραγίζον τὸν φερέζωον λόγον.
Πατροσθενὲς ξύμμορφον ὡς σωτὴρ ἔφη.
Ἴητο τὰς φρένας μὲν ἐξ ἁμαρτίας.
Χ' αὐτῷ κατεσκίαζε τῶν ἀποστόλων.
Θεὸς λόγους πάνταρχος ἄχραντον δόμον.
Ὁμοσθενοῦς δὲ καὶ συνουσιωμένου.
Νῦν ἐγκατοικίζεται πνεύματος φάος. ᾠδὴ ς΄. ὁ εἱρμός.

Ναυτιῶν τῷ σάλῳ τῶν βιωτικῶν μολυσμάτων, συμπλόοις ποντούμενος ἁμαρτίαις, καὶ ψυχοφθόρῳ θηρὶ προσριπτόμενος, ὡς ὁ Ἰωνᾶς Χριστὲ βοῶ σοι, ἐκ θανατηφόρου με βυθοῦ ἀνάγαγε. Ἐκ τοῦ πνεύματός σου, σάρκα ἐπὶ πᾶσαν, ὡς εἶπας, πλουσίως ἐξέχεας, καὶ ἐπληρώθη τῆς σῆς ἡ σύμπασα γνώσεως κύριε. ὅτι ἐκ πατρὸς υἱὸς ἀρρεύστως ἔφυς, καὶ τὸ πνεῦμα ἀμερίστως πρόεισιν. ἄλλος.

Ἱλασμὸς ἡμῖν Χριστὲ καὶ σωτηρία.
Ὁ δεσπότης ἔλαμψας ἐκ τῆς παρθένου.
Ἵν' ὡς προφήτην θηρὸς ἐκ θαλαττίου.
Στέρνων Ἰωνᾶν τῆς φθορᾶς διαρπάσῃς.
Ὅλον τὸν Ἀδὰμ παγγενῆ πεπτωκότα.
Ἱμερτὲ ἡμῖν εὐθὲς ἐν τοῖς ἐγκάτοις.
Αἰωνίως ἔξουσι πνεῦμα καινίσοις.
Πατροπροβλήτως πάντοτε ξυνημμένον.
Ὕλης ἀπεχθοῦς καυστικῶν μολυσμάτων.

Ῥύπου

Ἄλλος.

Ἔρρηξε γαστρὸς ἠτεκνωμένης πῶδας.
Ὕβριν τε δυσκάθεκτον δ᾽ ἀτεκνουμένης.
Μόνη προσευχῇ τῆς προφήτιδος πάλαι.
Ἄννης φερούσης πνεῦμα συντετριμμένον.
Πρὸς τὸν δυνάστην καὶ θεὸν τῶν γνώσεων.
Ἄληπτος ἐστὶν ἡ θεαρχικωτάτη.
Ῥήτορας γὰρ ἐξέφηνε τοὺς ἀγραμμάτους.
Ἄλις σοφιστὰς συσομίζοντας λόγῳ.
Καὶ τῆς βαθείας νυκτὸς ἐξερουμένους.
Λαοὺς ἀπείρους ἀστραπῇ τοῦ πνεύματος.
Ἦν ἐκ πορδοτὸν ἐξ ἀγεννήτου φάους.
Τὸ πανσθενουργόφωτον ἄφθιτον σέλας.
Οὗ τὴν δι᾽ υἱοῦ πατρικῆς ἐξουσίας.
Νῦν ἐμφανίζει συμφυῆ φρυκτωρίαν.
Πυρώδης ἦχος ἐν Σιὼν τοῖς ἔθνεσιν.

Κάθισμα ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.

Τὴν μεθέορτον πιστοὶ, καὶ τελευταίαν ἑορτήν. ἑορτάσωμεν φαιδρῶς. αὕτη ἐστὶ πεντηκοστὴ, ἐπαγγελίας συμπλήρωσις καὶ προθεσμίας. ἐν ταύτῃ γὰρ τὸ πῦρ τοῦ παρακλήτου, κατέβη ἐπὶ γῆς ὥσπερ ἐν εἴδει γλωσσῶν, καὶ μαθητὰς ἐφώτισε καὶ τούτους οὐρανομύστας ἀνέδειξε. τὸ φῶς ἐπέστη τοῦ παρακλήτου, καὶ τὸν κόσμον ἐφώτισε.

Δόξα καὶ νῦν τὸ αὐτό. ᾠδὴ δ΄. ὁ εἱρμός.

Κατανοῶν ὁ προφήτης, τὴν ἐπ᾽ ἐσχάτων σου Χριστὲ ἔλευσιν ἀνεβόα. τὴν σὴν εἰσακήκοα κύριε δυναστείαν, ὅτι πάντας τοῦ σῶσαι τοὺς χριστούς σου ἐλήλυθας. Ὃν προφήταις λαλήσας, καὶ διανόμου κηρυχθεὶς. πρώην τοῖς ἀτελέσι, θεὸς ἀληθὴς ὁ παράκλητος, τοῖς τοῦ λόγου ὑπηρέταις, καὶ μάρτυσι γνωρίζεται σήμερον. Σῆμα θεότητος φέρων τοῖς ἀποστόλοις ἐν πυρὶ, πνεῦμα κατεμερίσθη, καὶ ξέναις ἐν γλώσσαις ἐνέφηνεν, ὡς πάροθεν θεῖον σθένος. ἐρχόμενον ἐστὶν αὐτοκέλευθον.

ἄλλος.

Ἄναξ ἀνάκτων οἷος ἐξ οἵου μόνος,
Λόγος προσελθὼν πατρὸς ἐξ ἀναιτίου.
Ἰσοσθενές σου πνεῦμα τοῖς ἀποστόλοις.
Νημερτὲς ἐξέπεμψεν ὡς εὐεργέτης.
Ἄδουσι δόξα τοῦ κράτους σου κύριε.
Λουτρὸν τὸ θεῖον τῆς πάλιγγενεσίας.
Λόγῳ κεραννὺς συντεθειμένη φύσις.
Ὀμβροβλητεῖς μοι ῥεῖθρον ἐξ ἀκηράτου.
Νευσμένης σου παλάμαις ὦ θεοῦ λόγε,
Ἐπισφραγίζων τῇ ζέσει τοῦ πνεύματος.
Κάμπτει τὰ πάντα τοῦ παρακλήτου γόνυ.
Γόνωτε πατρὸς, πατρὶ συμφυεστάτῳ.

Τό· πᾶσα πνοὴ εὐαγγέλιον ἑωθινὸν θ΄. Θ ὕσης ὀψίας ἕως τό Α ὕπνου κρατεῖτε κεκράτηνται. ζήτει φύλλον. Ἀνάστασιν Χριστοῦ οὐ λέγομεν. ἀλλ' ἀδῆς τὸ ν. Οἱ κανόνες ὁ μὲν βαρὺς προσ. η΄. ὁ δὲ δ΄. προσ. ϛ΄. μετὰ τοῦ δόξα καὶ νῦν. Ο κανὼν ἦχος βαρύς, οὗ ἡ ἀκροστιχὶς Πεντηκοστὴν ἑορτάζομεν. ποίημα Κοσμᾶ μοναχοῦ. ᾠδὴ α΄. ἦχος βαρύς. ὁ εἱρμός.

ΠΟντῳ ἐκάλυψε Φαραὼ σὺν ἅρμασιν, ὁ συντρίβων πολέμους ἐν ὑψηλῷ βραχίονι. ᾄσωμεν αὐτῷ. ὅτι δεδόξασται. Ἔργῳ, ὡς πάλαι τοῖς μαθηταῖς ἐπηγγείλω τὸ παράκλητον πνεῦμα ἐξαποστείλας Χριστέ. ἔλαμψας τῷ κόσμῳ φῶς φιλάνθρωπε. Νόμῳ τῷ πάλαι προκηρυχθὲν καὶ προφήταις ἐπληρώθη τὸ θείου πνεύματος σήμερον. πᾶσι γὰρ πιστοῖς χάρις ἐκκέχυται.

Ἕτερος κανὼν Ἰαμβικός, ποίημα Ἰωάννου τοῦ Ἀρκλᾶ. οὗ ἡ ἀκροστιχὶς διὰ στίχων ἡρωελεγείων.

Θ Εισηλύες λόγε πνεῦμα παράκλητον πάλιν ἄλλον.
Ἐκ γενέτου κόλπων ἥκας ἐπιχθονίοις,
Οἷα πυρὸς γλώσσῃσι φέρων θεότητος αὔλου.
Σῆμα τεῆς φύτλης καὶ χάριν ὑμνοπόλοιο.

ᾠδὴ α. ἦχος δ΄. ὁ εἱρμός.

Θ Εἰῳ καλυφθεὶς ὁ βραδύγλωσσος γνόφῳ.
Ἐρητόρευσε τὸν θεόγραφον νόμον.
Ἰλὺν γὰρ ἐκτινάξας ὄμματος νόου.
Ὁρᾷ τὸν ὄντα καὶ μυεῖται πνεύματος.
Γνῶσιν γεραίρων ἐνθέοις τοῖς ᾄσμασιν.

Ἔφη τὸ σεπτὸν καὶ σεβάσμιον στόμα.
Νοσφισμὸς ὑμῖν οὐ γενήσεται φίλοις.
Ἐγὼ γὰρ εἰς πατρῷον ὕψιστον θρόνον.
Συνεδριάζων ἐκχεῶ τοῦ πνεύματος,
Λάμψαι ποθοῦσι τὴν χάριν τὴν ἄφθονον.

Ὁροσβεβυκὼς ἀτρεκέστατος λόγος,
Γαληνόμορφον ἐκτελεῖ τὴν καρδίαν.
Ἔργον γὰρ ἐκπεράνας εὐφραίνει φίλους.
Πνοῇ βιαίᾳ καὶ πυρὸς γλωττίσμασι.
Νείμας τὸ πνεῦμα Χριστὸς ὡς ὑπέσχετο.

ᾠδὴ γ΄. ὁ εἱρμός.

ΤΗν ἐξ ὕψους δύναμιν τοῖς μαθηταῖς Χριστέ, ἕως ἂν ἐνδύσησθε. ἔφης καθίσατε ἐν Ἱερουσαλήμ. ἐγὼ δὲ ὡς ἐμὲ παράκλητον ἄλλον, πνεῦμα τὸ ἐμόν τε καὶ πατρὸς ἀποστελῶ, ἐν ᾧ στερεωθήσεσθε. Ἡ τοῦ θείου πνεύματος ἐπιδημήσασα δύναμις τὴν μερισθεῖσαν πάλαι φωνήν, κακῶς ὁμονοησάντων, εἰς μίαν ἁρμονίαν, θείως συνῆψε γνώσει συνετίζουσα πιστοὺς τῆς τριάδος, ἐν ᾗ στερεωθῆναι.

ἄλλος.

δον. Τὴν δὲ πεντηκοστὴν ἑόρταζον εἰς ἀνάμνησιν τῆς ἐν τῇ ἐρήμῳ κακοπαθείας αὐτῶν, καὶ ὅπως διὰ πολλῶν θλίψεων εἰς τὴν γῆν τῆς ἐπαγγελίας εἰσήχθησαν. τότε γὰρ καὶ καρποῦ καὶ σίτου, καὶ οἴνου ἀπήλαυσαν, καὶ ἐδήλουν τὴν ἡμετέραν ἐξ ἀπιστίας κάκωσιν, καὶ εἰς τὴν ἐκκλησίαν εἰσέλευσιν. τότε γὰρ καὶ ἡμεῖς τοῦ δεσποτικοῦ μεταλαμβάνομεν σώματος, καὶ αἵματος. οἱ μὲν οὖν διὰ ταύτην τὴν αἰτίαν λέγουσι τὴν παρ' ἑβραίοις πεντηκοστὴν ἑορτάζεσθαι. Οἱ δὲ εἰς τιμὴν ὥς φασι τῶν πεντήκοντα ἡμερῶν, ἃς νηστεύσας ὁ Μωϋσῆς τὸν θεόγραφον νόμον ἐδέξατο, ἐν ταύταις μεμνημένοις, καὶ τῆς μοσχοθυσίας, καὶ τῶν ἄλλων, ἅπερ ὅτε Μωϋσῆς αὐτῶν ἐν τῷ ὄρει, καὶ χαπὼν διεπράξατο. ἑτέροις ἔδοξε τὴν πεντηκοστὴν παρ' ἑβραίοις ἐπινοηθῆναι, διὰ τὴν τοῦ ἑπτὰ τιμὴν, ὡς εἴρηται. αὐτὸς γὰρ ἐφ' ἑαυτὸν συντιθέμενος ποιεῖ τὸν πεντήκοντα. μιᾶς δὲ οὔσης ἡμέρας. ἡ τιμὴ αὐτοῖς οὐκ ἐν ἡμέραις δὲ μόνον, ἀλλὰ καὶ εἰς ἐνιαυτοὺς φθάνουσα. ἐξ ὧν καὶ τὸν παρ' ἐκείνοις Ιωβηλαῖον γνῶσιν, ἑπταπλασιαζομένων γὰρ τῶν ἐτῶν, οὗτος γίνεται, ὅτε καὶ τὴν γῆν ἄσπορον ἀφιᾶσι καὶ ζώοις παρέχουσιν ἄνεσιν, καὶ τοῖς ὠνητοῖς τῶν δούλων ἀναχωρεῖν ἐπιβλέπουσι. Τρίτη δὲ ἑορτὴ ἡ σκηνοπηγία ἑορταζομένη μετὰ τὴν συγκομιδὴν τῶν καρπῶν, μετὰ πέντε δηλονότι μῆνας τῆς ἑορτῆς τοῦ πάσχα. ἐτελεῖτο δὲ αὕτη εἰς μνήμην τῆς ἡμέρας, καθ' ἣν ὁ Μωϋσῆς πρῶτον ἔπηξε τὴν ἐν τῷ ὄρει Σινᾶ ὀφθεῖσαν καὶ διὰ νεφέλης καὶ κατασκιασθεῖσαν, ὑπὸ τοῦ ἀρχιτέκτονος Βεσελεὴλ σκηνήν. σκηνὰς γὰρ καὶ οὗτοι διαπεπλόμενοι, τὴν αὐτὴν ἐπιτέλουν ἑορτήν. καὶ ἐν ἀγροῖς διάγοντες, καὶ εὐχαριστοῦντες θεῷ τοῖς καρποῖς τῶν ἰδίων συνεκόμιζον πόνων. ἐν ταύτῃ δοκεῖ καὶ Δαβὶδ τοὺς ὑπὲρ τὴν τῶν ληνῶν ἐπιγράφειν ψαλμούς. Τύπος δὲ ἦν αὕτη τῆς ἡμῶν ἀναστάσεως. ὅτι διαλυθέντων τῶν σωματικῶν ἡμῶν σκηνῶν, καὶ αὖθις συμπηγνυμένων, τῶν ἰδίων πονημάτων τοῖς καρποῖς ἀπολαύσωμεν πανηγυρίζοντες ἐν ταῖς αἰωνίοις σκηναῖς. Χρὴ δὲ εἰδέναι, ὡς κατ' αὐτὴν τὴν ἡμέραν τῆς πεντηκοστῆς τελουμένης τὸ πνεῦμα τὸ ἅγιον τοῖς μαθηταῖς ἐπεδήμησεν, ἐπὶ δὲ τοῖς ἁγίοις ἔδοξε μεγίστας τὰς ἑορτὰς διὰ τὸ μεγαλεῖον τοῦ παναγίου καὶ ζωοποιοῦ πνεύματος, ὅτι ἓν ἐστι τῆς ἁγίας καὶ ζωαρχικῆς τριάδος. ἰδοὺ καὶ ἡμεῖς εἰς αὔριον, ὅπως τὸ πνεῦμα τὸ ἅγιον ἐπεδήμησε λέξωμεν. ταῖς τῶν ἁγίων ἀποστόλων πρεσβείαις Χριστὲ ὁ θεὸς ἐλέησον ἡμᾶς. ἀμήν.

Οἱ ἀναβαθμοί. ἦχου δ΄. ἀντίφωνον ά. ζήτει συλ. σί. προκείμενον ἦχος δ΄. Τὸ πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ κύριε. στίχος. Κύριε εἰσάκουσον τῆς προσευχῆς μου. ἐνώπιον τὴν.

νε, τῷ πατρὶ, καὶ τῷ υἱῷ παράκλητε δόξα σοι.

Δόξα καὶ νῦν ἦχος β'.

Ετέχθης ὡς αὐτὸς ἠθέλησας, ἐφάνης ὡς αὐτὸς ἠβουλήθης, ἔπαθες σαρκὶ ὁ θεὸς ἡμῶν, ἐκ νεκρῶν ἀνέστης πατήσας τὸν θάνατον, ἀνελήφθης ἐνδόξως ὁ τὰ σύμπαντα πληρῶν, καὶ ἀπέστειλας ἡμῖν πνεῦμα θεῖον, τοῦ ἀνυμνεῖν καὶ δοξάζειν σου τὴν θεότητα.

Τὸ στιχηρὸν. ἦχος πλαγίου δ'.

Ευλογητὸς εἶ Χριστὲ ὁ θεὸς ἡμῶν, ὁ πανσόφους τοὺς ἁλιεῖς ἀναδείξας, καταπέμψας αὐτοῖς τὸ πνεῦμα τὸ ἅγιον. καὶ δι' αὐτοῦ τὴν οἰκουμένην σαγηνεύσας φιλάνθρωπε δόξα σοι.

Τὸ αὐτὸ καὶ εἰς τὸ ἀπόδειπνον. καὶ ἀπὸ τοῦ γ'. κανὼν ἀναστάσιμος ἦχος βαρύς. Κέκριται τοῦ θανάτου. ζήτει εἰς τὴν ὀκτώηχον φύλλον σκθ'. ἀπὸ ς'. στίχον. ἀναστάσιμον. Καταλύσας τῷ σταυρῷ σου τὸν θάνατον. ζήτει φύλλον σκη'. μετὰ τὸν κανόνα τὸ τρισάγιον. τὸ στιχηρόν. Ευλογητὸς εἶ Χριστὲ ὁ θεὸς ἡμῶν ὁ πανσόφους. καὶ ἀπόλ.

Εἰς τὸν ὄρθρον, εἰς τὸ θεὸς κύριος τὸ στιχηρόν. Ευλογητὸς γ'. στιχολογοῦμεν ἀντίφωνα γ'. τὸ α'. Ελέησόν με ὁ θεὸς κατὰ τὸ μέγα ἔλεός σου. ψαλμ. ν'. φύλλον λδ'. τὸ β'. Κύριε εἰσάκουσον τῆς προσευχῆς. ψαλμ. ρμβ'. φύλλον ϙε'. τὸ γ'. οἱ αἶνοι. Αἰνεῖτε τὸν κύριον. ψαλμ. ρμη'. φύλλον ρε'. ἡ ὑπακοή. ἦχος πλαγίου β'.

Η πηγὴ τῶν δακρύων ἐξέλιπεν, ἀλλ' ὄμβρον ἐλέους παράσχου μοι, ὁ τὴν πέτραν ποτὲ μητέρα ἀναδείξας, Χριστὲ ὁ θεὸς καὶ σῶσόν με.

Κάθ. ἦχος δ'. Κατεπλάγη Ιωσήφ.

Η τοῦ πνεύματος πηγὴ, ὁ ἐπιδημοῦσα τοῖς ἐν γῇ, εἰς πυρφόροις ποταμοῖς, μεριζομένη νοητῶς, τοὺς ἀποστόλους ἐδρόσιζε φωταγωγοῦσα, καὶ γέγονεν αὐτοῖς νέφος δροσῶδες τὸ πῦρ, φωτίζουσα αὐτοὺς καὶ ὑετίζουσα φλὸξ, δι' ὧν ἡμεῖς ἐλάβομεν τὴν χάριν διὰ πυρός τε καὶ ὕδατος, τὸ φῶς ἐπέστη τοῦ παρακλήτου καὶ τὸν κόσμον ἐφώτισε.

Η ἀνάγνωσις. Δέσποτα εὐλόγησον.

Τῇ αὐτῇ ἡμέρᾳ κυριακῇ ὀγδόῃ ἀπὸ τοῦ πάσχα τὴν ἁγίαν πεντηκοστὴν ἑορτάζομεν, καὶ ταύτην δὲ ἀπὸ τῶν ἑβραϊκῶν παρειλήφαμεν βίβλων. ὥσπερ γὰρ ἐκεῖνοι τὴν παρ' αὐτοῖς πεντηκοστὴν ἑορτάζουσι τιμῶντες τὸν ἕβδομον ἀριθμὸν, καὶ ὅτι μετὰ τὸ πάσχα πεντήκοντα ἡμέρας διαβιβάσαντες, τὸν νόμον ἔλαβον. οὕτω καὶ ἡμεῖς πεντήκοντα ἡμέρας ἑορτάζοντες τὸ πανάγιον πνεῦμα λαμβάνομεν, νομοθετοῦν καὶ ὁδηγοῦν εἰς πᾶσαν ἀλήθειαν, καὶ τὰ ἀρέσκοντα τῷ θεῷ διαταττόμενον. Ιστέον δὲ ὡς παρ' ἑβραίοις τρεῖς ἦσαν ἑορταί. τὸ πάσχα. ἡ πεντηκοστή. καὶ ἡ σκηνοπηγία. τὸ μὲν οὖν πάσχα εἰς ἀνάμνησιν ἐποίουν τῆς διαβάσεως τῆς ἐρυθρᾶς θαλάσσης. τὸ γὰρ πάσχα διάβασις ἑρμηνεύεται. ἐδήλου δὲ ἡ τοιαύτη ἑορτὴ, τὴν ἡμετέραν ἀπὸ τῆς σκοτεινῆς ἁμαρτίας πρὸς τὸν παράδεισον αὖθις διάβασιν καὶ ἐπάνοδον.

καὶ ἐλαίου. καὶ ἀνταποδώσω ὑμῖν ἀντὶ τῶν ἐτῶν ὧν κατέφαγεν ἡ ἀκρὶς καὶ ὁ βροῦχος καὶ ἡ ἐρυσίβη καὶ ἡ κάμπη, ἡ δύναμίς μου μεγάλη, ἣν ἐξαπέστειλα εἰς ὑμᾶς. καὶ φάγεσθε ἐσθίοντες καὶ ἐμπλησθήσεσθε, καὶ αἰνέσετε τὸ ὄνομα κυρίου τοῦ θεοῦ ὑμῶν, ἃ ἐποίησε μεθ' ὑμῶν εἰς θαυμάσια. καὶ οὐ μὴ καταισχυνθῇ ὁ λαός μου εἰς τὸν αἰῶνα. καὶ ἐπιγνώσεσθε ὅτι ἐν μέσῳ τοῦ Ἰσραὴλ ἐγώ εἰμι, καὶ ἐγὼ κύριος ὁ θεὸς ὑμῶν, καὶ οὐκ ἔστιν ἔτι πλὴν ἐμοῦ. καὶ οὐ μὴ καταισχυνθῶσιν ἔτι ὁ λαός μου εἰς τὸν αἰῶνα. καὶ ἔσται μετὰ ταῦτα, καὶ ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου ἐπὶ πᾶσαν σάρκα, καὶ προφητεύσουσιν, οἱ υἱοὶ ὑμῶν, καὶ αἱ θυγατέρες ὑμῶν, καὶ οἱ πρεσβύτεροι ὑμῶν ἐνύπνια ἐνυπνιασθήσονται, καὶ οἱ νεανίσκοι ὑμῶν ὁράσεις ὄψονται. καὶ ἐπὶ τοὺς δούλους μου, καὶ ἐπὶ τὰς δούλας ἐν ταῖς ἡμέραις ἐκείναις ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου. καὶ δώσω τέρατα ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς αἷμα καὶ πῦρ καὶ ἀτμίδα καπνοῦ. ὁ ἥλιος μεταστραφήσεται, εἰς σκότος, καὶ ἡ σελήνη εἰς αἷμα, πρὶν ἐλθεῖν τὴν ἡμέραν κυρίου τὴν μεγάλην, καὶ ἐπιφανῆ, καὶ ἔσται πᾶς ὃς ἂν ἐπικαλέσηται τὸ ὄνομα κυρίου, σωθήσεται.

Τὸ γ'. προφητείας Ἰεζεκιὴλ τὸ ἀνάγνωσμα. κεφ. λς'.

Τάδε λέγει κύριος λήψομαι ὑμᾶς ἐκ τῶν ἐθνῶν, καὶ ἀθροίσω ὑμᾶς ἐκ πασῶν τῶν γαιῶν, καὶ εἰσάξω ὑμᾶς εἰς τὴν γῆν ὑμῶν, καὶ ῥανῶ ἐφ' ὑμᾶς καθαρὸν ὕδωρ, καὶ καθαρισθήσεσθε ἀπὸ πασῶν τῶν ἀκαθαρσιῶν ὑμῶν, καὶ ἀπὸ πάντων τῶν εἰδώλων ὑμῶν. καὶ καθαριῶ ὑμᾶς, καὶ δώσω ὑμῖν καρδίαν καινήν, καὶ πνεῦμα καινὸν δώσω ἐν ὑμῖν, καὶ ἀφελῶ τὴν καρδίαν τὴν λιθίνην ἐκ τῆς σαρκὸς ὑμῶν, καὶ δώσω ὑμῖν καρδίαν σαρκίνην, καὶ τὸ πνεῦμά μου δώσω ἐν ὑμῖν, καὶ ποιήσω ἵνα ἐν τοῖς δικαιώμασί μου πορεύησθε καὶ τὰ κρίματά μου φυλάξησθε, καὶ ποιήσητε, καὶ κατοικήσετε ἐπὶ τῆς γῆς, ἧς ἔδωκα τοῖς πατράσιν ὑμῶν, καὶ ἔσεσθέ μοι εἰς λαόν. κἀγὼ ἔσομαι ὑμῖν εἰς θεόν.

Εἰς τὸν στίχον στιχηρὰ ἦχος α'.

Πεντηκοστὴν ἑορτάζομεν, καὶ πνεύματος ἐπιδημίαν, ἐπαγγελίας καὶ ἐλπίδος συμπλήρωσιν, καὶ τὸ μυστήριον ὅσον, ὡς μέγα τε καὶ σεβάσμιον. διὸ βοῶμεν σοι δημιουργὲ τοῦ παντὸς κύριε δόξα σοι. στίχος α'. Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ θεὸς, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Γλώσσαις ἀλλογλώσσων ἐκαινούργησας Χριστὲ τοὺς σοὺς μαθητάς. ἵνα δι' αὐτῶν σὲ κηρύξωσι τὸν ἀθάνατον λόγον, καὶ θεὸν, τὸν παρέχοντα ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος. στίχος β'. Μὴ ἀποῤῥίψῃς ἡμᾶς ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ πνεῦμά σου τὸ ἅγιον.

Πάντα χορηγεῖ τὸ πνεῦμα τὸ ἅγιον βρύει προφητείας, ἱερέας τελειοῖ, ἀγραμμάτοις σοφίαν ἐδίδαξεν. ὅλον συγκροτεῖ τὸν θεσμὸν τῆς ἐκκλησίας, ὁμοούσιε καὶ ὁμόθρο-

τοῖς δὲ πιστοῖς προέξενον σωτηρίας, οὗ τῆς ἐλλάμψεως, καὶ ἡμᾶς ἀξίωσον δεόμεθα φιλάνθρωπε.

Τὸ γ´. δίσ.

Βασιλεῦ οὐράνιε, παράκλητε τὸ πνεῦμα τῆς ἀληθείας. ὁ πανταχοῦ παρὼν, καὶ τὰ πάντα πληρῶν, ὁ θησαυρὸς τῶν ἀγαθῶν, καὶ ζωῆς χορηγὸς ἐλθὲ, καὶ σκήνωσον ἐν ἡμῖν, καὶ καθάρισον ἡμᾶς ἀπὸ πάσης κηλῖδος καὶ σῶσον ἀγαθὲ τὰς ψυχὰς ἡμῶν.

Δόξα καὶ νῦν πλαγ. β´.

Ὁ Παράκλητος ὤσπερ βρέφος τοῖς σοῖς ἀποστόλοις ἐπιφοιτήσας, ποταμοὺς ναμάτων ζωηρρύτων τῆς αὐτῶν κοιλίας ἐξέβλυσεν, ἐξ ὧν ποτισθεῖσα ἡ οἰκουμένη θεογνωσίαν ἐβλάστησεν. ὅθεν σύμπασα γλῶσσα ἐξομολογουμένη, γόνυ κάμπτει σοι σὺν πατρὶ καὶ ἁγίῳ πνεύματι.

Εἶτα εἴσοδος. τὸ φῶς ἱλαρόν, τὸ προκείμενον τῆς ἡμέρας. καὶ τὰ ἀναγνώσματα γ´. τὸ α´. Ἀριθμῶν τὸ ἀνάγνωσμα. κεφ. ια´.

Εἶπε κύριος πρὸς Μωϋσῆν. συνάγαγέ μοι ἑβδομήκοντα ἄνδρας ἀπὸ τῶν πρεσβυτέρων Ἰσραήλ. οὓς αὐτὸς σὺ οἶδας, ὅτι οὗτοί εἰσι πρεσβύτεροι τοῦ λαοῦ καὶ γραμματεῖς αὐτῶν. καὶ ἄξεις αὐτοὺς πρὸς τὴν σκηνὴν τοῦ μαρτυρίου, καὶ στήσονται ἐκεῖ μετὰ σοῦ. καὶ καταβήσομαι καὶ λαλήσω ἐκεῖ μετὰ σοῦ, καὶ ἀφελῶ ἀπὸ τοῦ πνεύματος τοῦ ἐπὶ σοὶ, καὶ ἐπιθήσω ἐπ᾽ αὐτούς. καὶ συναντιλήψομαι μετὰ σοῦ τὴν ὁρμὴν τοῦ λαοῦ, καὶ οὐκ οἴσεις αὐτοὺς σὺ μόνος. καὶ συνήγαγε Μωϋσῆς ἑβδομήκοντα ἄνδρας ἀπὸ τῶν πρεσβυτέρων τοῦ λαοῦ, καὶ ἔστησεν αὐτοὺς κύκλῳ τῆς σκηνῆς. καὶ κατέβη κύριος ἐν νεφέλῃ, καὶ ἐλάλησε πρὸς Μωϋσῆν. καὶ παρείλατο ἀπὸ τοῦ πνεύματος τοῦ ἐπ᾽ αὐτῷ, καὶ ἐπέθηκεν ἐπὶ τοὺς ἑβδομήκοντα ἄνδρας τοὺς πρεσβυτέρους. ὡς δὲ ἐπανεπαύσατο πνεῦμα ἐπ᾽ αὐτοὺς, καὶ ἐπροφήτευσαν, καὶ οὐκ ἔτι προσέθεντο. καὶ κατελείφθησαν δύο ἄνδρες ἐν τῇ παρεμβολῇ, ὄνομα τῷ ἑνὶ Ἐλδὰδ, καὶ ὄνομα τῷ δευτέρῳ Μωδὰδ, καὶ ἐπανεπαύσατο ἐπ᾽ αὐτοὺς πνεῦμα. καὶ οὗτοι ἦσαν τῶν καταγεγραμμένων, καὶ οὐκ ἦλθον εἰς τὴν σκηνήν. καὶ ἐπροφήτευσαν ἐν τῇ παρεμβολῇ. καὶ προσδραμὼν ὁ νεανίσκος ἀπήγγειλε τῷ Μωϋσῇ. καὶ εἶπεν αὐτῷ, λέγων. Ἐλδὰδ, καὶ Μωδὰδ προφητεύουσιν ἐν τῇ παρεμβολῇ. καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς ὁ τοῦ Ναυὴ ὁ παρεστηκὼς Μωϋσῇ, ὁ ἐκλεκτὸς εἶπε. Κύριε Μωϋσῆ κώλυσον αὐτούς. καὶ εἶπεν αὐτῷ Μωϋσῆς. μὴ ζηλοῖς ἐμέ; καὶ τίς δῴη πάντα τὸν λαὸν κυρίου προφήτας. ὅταν δῷ κύριος τὸ πνεῦμα αὐτοῦ ἐπ᾽ αὐτούς;

Τὸ β´. προφητείας Ἰωήλ. τὸ ἀνάγνωσμα. κεφ. β´.

Τάδε λέγει κύριος. τὰ τέκνα Σιὼν χαίρετε καὶ εὐφραίνεσθε ἐπὶ τῷ κυρίῳ τῷ θεῷ ὑμῶν, διότι ἔδωκεν ὑμῖν τὰ βρώματα εἰς δικαιοσύνην, καὶ βρέξει ὑμῖν ὑετὸν πρώϊμον καὶ ὄψιμον, καθὼς ἔμπροσθεν, καὶ πλησθήσονται αἱ ἅλωνες σίτου, καὶ ὑπερχυθήσονται αἱ ληνοὶ οἴνου

καὶ

ρωσον, αἰχμαλώτοις ῥῦσαι, χηρῶν προέσηθι. ὀρφανῶν ὑπέρασπισαι. μνήσθητι κύριε τῶν ἡμετέρων γονέων, καὶ ἀδελφῶν καὶ συγγενῶν, καὶ γνωστῶν, καὶ πάντων τῶν χριστιανῶν. μνήσθητι κύριε τοῦ πνευματικοῦ μου πατρὸς καὶ διδασκάλου, καὶ πάσης τῆς ἐν Χριστῷ ἀδελφότητος ἡμῶν. μνήσθητι κύριε τῶν μισούντων καὶ ἀγαπώντων ἡμᾶς. μνήσθητι κύριε τῶν ἐντειλαμένων ἡμῖν τοῖς ἀναξίοις καὶ ἁμαρτωλοῖς εὔχεσθαι ὑπὲρ αὐτῶν, καὶ τὸ συμφέρον ταῖς ψυχαῖς αὐτῶν οἰκονόμησον. μνήσθητι κύριε τῶν διακονούντων, καὶ διακονησάντων ἡμῖν, καὶ συγχώρησον αὐτοῖς πάντα τὰ πλημμελήματα αὐτῶν, ἑκούσιά τε καὶ ἀκούσια. μνήσθητι κύριε τῶν καρποφορούντων, καὶ καλλιεργούντων ἐν τῇ ἁγίαις σου ἐκκλησίαις, καὶ μεμνημένων τῶν ἀδελφῶν ἡμῶν τῶν πενήτων. μνήσθητι κύριε τῆς ἁγίας σου καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας, τῶν ἱερέων, τῶν βασιλέων, τοῦ στρατοῦ καὶ παντὸς τοῦ χριστιανικωτάτου λαοῦ. μνήσθητι κύριε τῶν ἐξορίαις, καὶ αἰχμαλωσίαις, καὶ φυλακαῖς καὶ πάσῃ θλίψει κεκακωμένων. μνήσθητι κύριε τῶν ἐν ὄρεσι καὶ σπηλαίοις, καὶ ταῖς ὀπαῖς τῆς γῆς κακοχουμένων, καὶ ἐλέησον αὐτοὺς καὶ ἡμᾶς διὰ τὸ ὄνομά σου τὸ ἅγιον. μνήσθητι κύριε τῶν ἐν μακαρίᾳ τῇ μνήμῃ κοιμηθέντων πιστῶς, καὶ ἀνάπαυσον αὐτοὺς, ὅπου ἐπισκοπεῖ τὸ φῶς τοῦ προσώπου σου κύριε, ἔνθα οἱ δίκαιοι ἐπαναπαύονται. εὐχαῖς καὶ ἱκεσίαις τῆς παναχράντου δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, καὶ πάντων τῶν ἁγίων σου. καὶ βοήθησον, καὶ ὁδήγησον ἡμᾶς εἰς τὸν φόβον σου καὶ εἰς τὸν πόθον σου, καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν σκανδάλων καὶ παγίδων τοῦ πονηροῦ, καὶ ἀπὸ πάντων τῶν ἐχθρῶν ἡμῶν. ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος εἶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Τέλος τῆς ἀκολουθίας τῶν κοιμηθέντων.



Τῷ σαββάτῳ ἑσπέρας τῆς ἁγίας πεντηκοστῆς, οὐ στιχολογοῦμεν τὸ μακάριος ἀνήρ. ἀλλὰ μετὰ τὸ Εὐλόγει ἡ ψυχή μου καὶ τὴν συναπτὴν τὸ κύριε ἐκέκραξα. ἱστῶμεν στίχους ἰ. καὶ ψάλλομεν στιχηρὰ ἦχος πλ. β΄. Τὸ α΄. τρίς.

Αγνοοῦντα τὰ ἔθνη κύριε, τὴν τοῦ παναγίου πνεύματος, ἐν τοῖς ἀποστόλοις σου γινομένην δύναμιν. τὴν ἐναλλαγὴν τῶν γλωσσῶν, μέθην εἶναι ἐνόμιζον. ἡμεῖς δὲ στηριχθέντες ὑπ' αὐτῶν, ἀπαύστως οὕτω λέγομεν. τὸ πνεῦμά σου τὸ ἅγιον, μὴ ἀντανέλης ἀφ' ἡμῶν, δεόμεθα φιλάνθρωπε.

Τὸ β΄. τρίς.

Κύριε τοῦ ἁγίου πνεύματος ἡ ἐπιφοίτησις τοῖς ἀποστόλοις ἐμφορήσασα, ἐν ἑτέραις γλώσσαις λαλεῖν παρεσκεύασεν. ὅθεν τὸ παράδοξον, τοῖς μὲν ἀπίστοις μέθη ἐνομίζετο.

τοῖς τριατοφαέσιν ἰδιώμασιν. [illegible] πὲρ νοῦ ὁ τόκος σου. τίκτεις γὰρ τὸν προόντα, καὶ γαλουχεῖς ἀφράστως τὸν τροφοδότην τοῦ κόσμου, ἀνακλίνεις τὸν τοῦ παντὸς συνοχέα, Χριστὸν τὸν λυτρωτὴν ἡμῶν παναμώμε.

[illegible] · Ο οἶκος [illegible]

Ο Καὶ νεκρῶν καὶ ζώντων ἐξουσιάζων ὡς θεὸς, ἀνάπαυσον τοὺς σοὺς δούλους ἐνταῖς σκηναῖς τῶν ἐκλεκτῶν. εἰ γὰρ καὶ ἥμαρτον σῶτερ ἀλλ' οὐκ ἀπίστησαν ἐκ σοῦ.

Εἰς τοὺς [illegible] ἦχος πλ. δ'. [illegible] εἰς τὸν ἑσπερινόν.

Τῶν ἀπ' αἰῶνος σήμερον. [illegible] δόξα καὶ νῦν [illegible] πλ. δ'. [illegible]

Α Μέμπτος ὑπάρχει, τοῖς ἀσώτως βιοῦσιν ἡ κόλασις, βρυγμὸς ὀδόντων, καὶ κλαυθμὸς ἀπαράκλητος. ζόφος ἀφεγγὴς, καὶ σκότος ἐξώτερον, καὶ σκώληξ ἀκοίμητος, δάκρυα ἀνενέργητα, καὶ κριτὴς ἀσυμπάθητος, διὰ τοῦτο πρὸ τέλους βοήσωμεν λέγοντες, δέσποτα Χριστὲ, οὓς ἐξελέξω μετὰ τῶν ἐκλεκτῶν σου ἀνάπαυσον. [illegible] χ[illegible] ησότητα ἐποίησας κύριε μετὰ τῶν δούλων σου κατὰ τὸν λόγον σου.

Β Βρόντησεν ἡ σάλπιγξ, ὡς ἐξ ὕπνου νεκροὶ ἐξανίστανται, ζωὴν ποθοῦντες τὴν αἰώνιον τεύξασθαι. ἤλπισαν εἰς σὲ τὸν κτίστην καὶ κύριον. μὴ κρίνῃς τοὺς δούλους σου. θνητὸς γὰρ ὁ ἀθάνατος δι' ἡμᾶς ἐχρημάτισας. διὰ τοῦτο πρὸ τέλους βοήσωμεν λέγοντες. δέσποτα Χριστὲ, οὓς ἐξελέξω μετὰ τῶν ἐκλεκτῶν σου. ἀνάπαυσον. [illegible] ήσεται ἡ ψυχή μου καὶ αἰνέσει σε, καὶ τὰ κρίματά σου βοηθήσει μοι.

Ε Π' ὤμων τὸν ζυγόν σου ὡς ἀράμενοι σῶτερ οἱ δοῦλοι σου, ζυγοῦ πταισμάτων, ἐλευθέρωσον εὐσπλαγχνε. ἤθεσι χρηστοῖς, γραφέντας ὁσίως τε, ἐν σκότοις ἐν λύτρωσαι, θέλησι καὶ ἀπάθειαν, ἡδονὴν τε καὶ αἴνεσιν, ὡς μισήσαντες, ἔνθεν ἀνάπαυσον κράζοντας· δέσποτα Χριστὲ, μὴ καταισχύνῃς ἐν τῇ σῇ παρουσίᾳ τοὺς δούλους σου. [illegible]

Φ Ιλάνθρωπε οἰκτίρμον, ἐλεῆμον, καὶ μόνε μακρόθυμε, Χριστὲ κοινάμου. βασιλεῦ ἐπουράνιε. ψάλλοντες ἰδοὺ, καὶ πίστει σοὶ κράζομεν, ὡς ὄντως ὑπεράγαθος, τῆς σῆς μητρὸς ταῖς δεήσεσι, σὺ τοὺς πάντας οἰκτείρας, διάσωσον, λέγοντας. δέσποτα Χριστὲ. μὴ καταισχύνῃς ἐν τῇ σῇ παρουσίᾳ τοὺς δούλους σου.

Π ρεσβείαις τῆς τεκούσης σε Χριστὲ, καὶ τῶν μαρτύρων σου, ἀποστόλων, προφητῶν, ἱεραρχῶν ὁσίων καὶ δικαίων, καὶ πάντων τῶν ἁγίων τοὺς κοιμηθέντας δούλους σου ἀνάπαυσον.

Η [illegible]

Μ Νήσθητι κύριε τοῦ κόσμου, καὶ ἐλέησον πάντας, καὶ ἀντιλαβοῦ πάντων. τοῖς ἐν θαλάσσῃ πλέουσι σύμπλευσον. τοῖς ἐν ὁδοιπορείᾳ συνόδευσον. τοὺς ὑπὸ πνευμάτων ἀκαθάρτων πειραζομένους ἐλευθέρωσον,

λησῇ τῇ πιστῶς σου οἰκήτορας. Διδοὺς αὐτοῖς τὴν σὴν οὐράνιον ἀνάπαυσιν.

ᾠδὴ ζ. ὁ εἱρμός. Ὁ ἐν ἀρχῇ τὴν γῆν θεμελιώσας.

Τῶν εὐσεβῶς θανέντων ἐξ αἰῶνος μνημόσυνα τελοῦντες ἐκβοῶμεν. εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας κύριε ὁ θεὸς τῶν πατέρων ἡμῶν. Τῶν ἀπ᾽ αἰῶνος ἐξ ἀπίνης θανέντων, καὶ ἐκ βολῆς παντοδαπῆς ῥιφείσης, σιδήρου, ξύλου, παντοίου λίθου. ἀνάπαυσον ὁ θεὸς κεκοιμημένους πιστούς. Ἐν τῇ φρικτῇ ἐλεύσει σου οἰκτίρμον ἐκ δεξιῶν σου τῶν προβάτων στῆσον τοὺς ὀρθοδόξως τὰ ἐν τῷ βίῳ λειτουργήσαντας Χριστὲ καὶ μετασάντας πρὸς σέ. Ὁ ἀπὸ γῆς τὸν χοῦν δημιουργήσας τὸ τῆς σαρκὸς, καὶ πνεύματι ζωώσας, σωτὴρ οἰκτίρμον, οὓς προσελάβου ἀνάπαυσον ὁ θεὸς ἐν τῇ ἀγήρῳ ζωῇ. δόξα. Ὁ ἐν τρισὶν ἡλίοις ἡ θεότης, μιᾷ φωτὸς συγκράσει ἀνυμνείσθω, πατὴρ, υἱός τε, καὶ θεῖον πνεῦμα τῇ φύσει ἓν, ἀλλὰ τρία ὑποστάσεσιν. καὶ νῦν. Δαβιτικόν σοι μελῳδοῦμεν ᾆσμα, ὄρος θεοῦ σὲ καλοῦντες παρθένε, ἐν ᾧ οἰκήσας σαρκὶ ὁ λόγος ἐθέωσεν ἡμᾶς πνευματικῶς ἐν αὐτῷ.

ᾠδὴ η. ὁ εἱρμός. Τὸν ἐν ὄρει ἁγίῳ δοξασθέντα.

Ὁ ἐκτρέψας πρωΐαν σκιὰν θανάτου, ἀνατείλας ὡς ἥλιος ἐκ τάφου. υἱοὺς τῆς ἀναστάσεως ποίησον κύριε τῆς δόξης πάντας τοὺς θανέντας ἐν πίστει εἰς αἰῶνας. Τῶν ἀδήλων καὶ κρυφίων ὁ γνώστης, ὅταν μέλλεις ἐκκαλύπτειν τοῦ σκότους, τὰ ἔργα καὶ βουλὰς τῶν καρδιῶν ἡμῶν, τότε μὴ σαφῆς, λόγον μετὰ πάντων τῶν πίστει κοιμηθέντων. Ὅταν μέλλῃς καθίσαι ἐπὶ θρόνου, καὶ κελεύσῃς εἰς κρίσιν παραστῆναι τοὺς ἐξ ἐσχάτων γῆς διὰ τῆς σάλπιγγος συναθροιζομένους, τότε φεῖσαι πάντων, Χριστὲ ὡς ἐλεήμων. Τοὺς θανέντας ἄφνω ἐκ συμπτωμάτων, ἐκ βοῆς τε σφοδρᾶς τε καὶ τάχους δρόμου, ῥαπίσματος, πυγμῆς τε, καὶ λακτίσεως, κύριε τῆς δόξης πίστει κοιμηθέντας ἀνάπαυσον ὡς οἶδας. δόξα. Ὡς μονάδα τῇ οὐσίᾳ ὑμνῶ σε, ὡς τριάδα τοῖς προσώποις σε σέβω, πάτερ, υἱὲ, καὶ πνεῦμα τὸ πανάγιον, ἄναρχον τὸ κράτος τῆς σῆς βασιλείας δοξάζω εἰς αἰῶνας. Ἡ εἰ θρυζῶντος πηγὴ ἐσφραγισμένη, ἀνεδείχθης θεοτόκε παρθένε, ἀνάνδρως γὰρ τὸν κύριον γεννήσασα, τῆς ἀθανασίας τοὺς πιστοὺς ποτίζεις, τὸ νᾶμα εἰς αἰῶνας.

ᾠδὴ θ. ὁ εἱρμός. Τὸν προδηλωθέντα.

Ἔνθα εὐφραινομένων ἐστὶν ἡ κατοικία, κύριε σὺν ἁγίων πάντων, τοὺς ἀπ᾽ αἰῶνος κεκοιμημένους ἐν πίστει τε, καὶ ἐλπίδι, ἀγαλλιασθῆναι καταξίωσον. Ἅπασον κατ᾽ ὄνομα τῶν ἐν πίστει θανέντων ἀπὸ τοῦ αἰῶνος, καὶ γονεῖς γονεῦσι τε ἀκατακρίτως παραστῆναί σοι, τότε ἐν τῇ παρουσίᾳ σου καταξίωσον. δόξα. Εἷς ἐν τριάδι θεὸς δόξα σοι ἀπαύστως, εἷς γὰρ καὶ θεὸς ἔφησας, ἀλλ᾽ εἷς πέλει τῇ φύσει, ὁ πατὴρ, ὁ υἱὸς καὶ τὸ θεῖον πνεῦμα,

ἀλλάξαντας τὸν βίον, ἐν ὑπερηφανίᾳ παθόντας, ἢ δυσπραγίᾳ πάντας ἀνάπαυσον σωτὴρ ἡμῶν. Δόξα. Ξένον ὅτι ἓν καὶ τρία ἡ θεότης, ὅλη καθ' ἑνὸς προσώπου ἀμερίστως, πατὴρ γάρ, υἱός, καὶ ἅγιον πνεῦμά ἐστι τὰ προσκυνούμενα, ὡς εἷς δὲ θεός. Καὶ νῦν. Θεῖον ἡμᾶς ἐν χερσὶ σου κυβερνῶσα κλυδωνιζομένους σάλῳ ἁμαρτίας, εἰς σωτηρίους λιμένας, κυριοτόκε ἐκλυτρουμένη ἐκ παντοίων δεινῶν.

ᾠδὴ ε'. ὁ εἱρμός. Ὀρθρίζει τὸ πνεῦμα μου πρὸς σέ.

Ἑκάστου μνημόσυνα τῶν θανέντων εὐσεβῶς ἐκ τοῦ αἰῶνος κύριε, ποιούμενος σήμερον ἐκτενῶς σοὶ βοῶμεν πάντας ἀνάπαυσον μετὰ τῶν ἀξίων σου. Ἐκ πάσης οὓς ἔλαβες γενεᾶς καὶ γενεᾶς, ἐν βασιλεῦσιν, ἐν ἄρχουσιν, ἢ ἐν μονάζουσιν, ὀρθοδόξως οἰκτίρμων τῆς αἰωνίου λύτρωσαι κολάσεως. Ἁπάντων ὧν ἔπλασας τὰ συμφέροντα εἰδώς, οὓς παρεχώρησας κύριε ἀθρόοις συμπτώμασι παρ' ἐλπίδα τεθνάναι, ῥῦσαι κολάσεως πάσης ὁ θεὸς ἡμῶν. Δόξα. Ὁ μόθρονε ἄναρχε, τρισυπόστατε μονάς, ἡ διαιρέσει τὴν ἕνωσιν καὶ ἔμπαλιν ἔχουσα τοῖς προσώποις τὴν φύσιν, εἰς ἓν ἡμᾶς συνάψον, θέλημα τῶν σῶν ἐντολῶν. Καὶ νῦν. Ὑπὲρ τὰ πύρίμορφα σεραφίμ, ὤφθης ἁγνὴ τιμιωτέρα κυήσασα, τὸν τούτοις ἀπρόσιτον Ἰησοῦν τὸν σωτῆρα, σαρκώσει θεώσει θεώσαντα τῶν γηγενῶν τὸ φύραμα.

[illegible] αι.

Τοὺς θανάτου ὁ λύσας τὰς ὀδύνας, παθῶν, ἀρχηγὲ τῆς ζωῆς ὁ θεὸς ἡμῶν, τοὺς ἐξ αἰῶνος κεκοιμημένους, δούλους σου ἀνάπαυσον. Τοῖς ἀρρήτοις σου κρίμασιν, οὓς ἔκτειναν φαρμακοποσίαι, δηλητήρια, ὀστώδεις πνίξεις μετὰ ἁγίων κύριε ἀνάπαυσον. Ὅταν κρίνῃς τὰ σύμπαντα, ἑστῶτα γυμνὰ καὶ τετραχηλισμένα πρὸ προσώπου σου, τότε οἰκτίρμον φεῖσαι τῶν λατρευσάντων σοι πιστῶς ὁ θεός. Τῇ ἐσχάτῃ σου σάλπιγγι, σαλπίζοντος τοῦ σοῦ ἀρχαγγέλου, εἰς ἀνάστασιν ζωῆς ἁπάντων, τότε Χριστὲ τοὺς δούλους σου ἀνάπαυσον. Δόξα. Θεαρχία τρισάγιε, ὁ μόθρονε, ὁ πατήρ, ὁ υἱός, σὺν τῷ πνεύματι. σὺ εἶ θεός μου ὁ παντοκράτωρ, συνέχων τὸ πᾶν. Καὶ νῦν. Ἐκ τῆς ῥίζης ἀνέτειλέ σου ἄνθος ζωῆς, Ἰεσσαὶ προπάτωρ ἀνασκίρτησον, ὁ σώζων κόσμον ἐκ τῆς ἁγνῆς νεάνιδος Χριστὲ ὁ θεός.

Κοντάκιον ἦχος β'.

Ὁ τῇ σῇ ἐξουσίᾳ μόνε οἰκτίρμον, ἐκ τῆς γῆς διαπλάσας γένος ἀνθρώπων, πρὸς γῆν δὲ πάλιν κελεύσας μετέρχεσθαι τοὺς ἐξ αἰῶνος θανέντας, ἐν τῇ ἐσχάτῃ ἀναστήσονται σάλπιγγι διδοὺς αὐτοῖς τὴν σὴν οὐράνιον ἀνάπαυσιν. ὁ οἶκος.

Δέξαι ἡμῶν τὸν ὕμνον οἰκτίρμον ἐκ καρδίας βοώντων, συντετριμμένῃ τε ψυχῇ πρὸς σὲ βοῶντι, καὶ κράζοντι. ἵνα ἐν ὥρᾳ τῆς κρίσεώς σου, τοὺς θανέντας τοῦ βίου ἐκ τοῦ αἰῶνος. ἢ ἐν κρυμνοῖς, ἢ ἐν γῇ, ἢ ἐν λίμναισι κύριε παραδόξου. πταισμάτων τούτοις ἐν ἀπλαγχνίᾳ σου λόγῳ συγχώρησιν, καὶ παράδεισον δείξῃς αὐτοῖς, σὺν

σου. Οὕσπερ κατεκάλυψεν ὑγρὰ καὶ πόλεμος ἐθέρισε, σεισμὸς δὲ οὓς συνέσχε, καὶ ἔκτειναν φονοῦντες, καὶ πῦρ οὓς ἐτέφρωσε, τῶν πιστῶν ἐλεῆμον ἐν μερίδι τάξον τῶν δικαίων σου. Αὐτὰ παρορῶν, τὰ τῆς σαρκὸς ὀφλήματα σωτὴρ ἡμῶν. ἐν πάσῃ ἡλικίᾳ παντὸς γένους ἀνθρώπων, περὶ τοῦ κριτηρίου σου στῆσον ἀκατακρίτους, σοὶ τῷ κτίστῃ ἀπολογουμένους. Δόξα. Τρία μιᾶς φύσεως ὑμνῶ πρόσωπα αὐθυπόστατα, ἀγέννητον πατέρα, υἱὸν τὸν γεννηθέντα, καὶ πνεῦμα τὸ ἅγιον, ἄναρχον βασιλείαν, ἐξουσίαν, θεότητα μίαν. Καὶ νῦν. Ὄντως σὺ ἐφάνης οὐρανὸς ἐπὶ τῆς γῆς μειζότερος τοῦ ἀνωτάτου πολὺ ἀνύμφευτε παρθένε. ἐκ σοῦ γὰρ ἀνέτειλεν ἥλιος ἐν τῷ κόσμῳ, ὁ διαπρέπων τῆς δικαιοσύνης.

ᾠδὴ γ΄. ὁ εἱρμός. Ὁ στερεώσας ἐν τῇ χειρί σου λόγε θεοῦ.

Τοὺς διανύσαντας τὸν τοῦ βίου δρόμον ἐν δόξῃ δ' εὐσεβεῖ, τῆς δικαιοσύνης ἀναδήσασθαι στέφανον, ἀξίωσον ὁ θεὸς τῶν αἰωνίων ἀγαθῶν ἀπολαῦσαι. Τοὺς ἐφνιδίως ἀναρπασθέντας, καταφλεχθέντας ἀστραπαῖς, καὶ ἐναποκαλύψαντας ἐν κρύοις, καὶ πάσης πληγῆς ἀνάπαυσον ὁ θεός, ὅτε τὰ πάντα ἐν πυρὶ δοκιμάσῃς. Τὴν ἀειτάραχον τὴν τοῦ βίου θάλασσαν πλεύσαντας Χριστέ, ἐν τῷ τῆς ἀφθάρτου σου ζωῆς καταξίωσον λιμένι, καταδραμεῖν τοὺς ὀρθοδόξῳ ζωῇ κυβερνηθέντας. Οὓς πᾶσα φύσις τῶν ἐναλίων καὶ πετεινῶν τοῦ οὐρανοῦ ἔλαβε κατάβρωμα Χριστὲ τοῖς σοῖς κρίμασιν ἀνάστησον ὁ θεός, ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ μετὰ δόξης. Δόξα. Νοητικῶς τὴν θείαν μονάδα, εἰς τρία πρόσωπα ἁπλῶς, ἅμα τοῦ τεμεῖν ἐπισυνάπτω τὰ ἄτομα, ὡς τάχος γὰρ ἀστραπῆς διαλάμπουσα ὁρᾶται εἰς ἑνάδα. Καὶ νῦν. Ἀκατανόητόν σου τὸ θαῦμα. πλὴν γὰρ ἀνδρὸς κυοφορεῖς, καὶ τὴν παρθενίαν σου ἁγνὴ φρουρεῖς τίκτουσα. διὸ ἀγγέλων πλήθη, καὶ βροτῶν γένος ὑμνεῖ σε εἰς αἰῶνας.

Κάθισμα πλ. δ΄. Τὴν σοφίαν τοῦ.

Ὁ τὰ πάντα ποιήσας νεύματι σῷ, τοὺς ἐν πίστει θανέντας χριστιανούς, πατέρας, προπάτορας, πάπποις τε, καὶ προπάπποις. συγγενεῖς καὶ φίλους, πλουσίους καὶ πένητας, βασιλεῖς, ἱερεῖς τε, λαϊκοὺς καὶ μονάζοντας, ὅπου τῶν ἁγίων καὶ δικαίων σου πέλει ἁπάντων ἡ οἴκησις, δυσωποῦμεν ἀνάπαυσον, ταῖς πρεσβείαις τῆς τεκούσης σε δέσποτα, Χριστὲ ὁ θεός. τῶν πταισμάτων ἄφεσιν δίδους αὐτοῖς, ὧν ἔπληξαν ζῶντες ὡς ἄνθρωποι.

ᾠδὴ δ΄. ὁ εἱρμός. Ἐξ ὄρους κατασκίου.

Πατέρων, προπατόρων, πάππων καὶ προπάππων, ἐκ τῆς ἀπ' ἀρχῆς καὶ μέχρι τῶν ἐσχάτων, ἐν ἀνομίᾳ θανέντων καὶ ἐν πίστει, ἁπάντων μνημόνευσον σωτὴρ ἡμῶν. Ἐν ὄρει ἐν ὁδῷ, ἐν τόποις, ἐν ἐρήμοις τὸν βίον καταλῦσαι φθάσαντας ἐν πίστει, μοναδικούς τε μιγάδας, νέοις πρεσβύτας, μετὰ ἁγίων Χριστὲ σκήνωσον. Ἐκλύπης καὶ χαρᾶς ἐλθούσης παρ' ἐλπίδα, τοὺς πιστοὺς παρ' ἀθὶς ἀλλά-

της [illegible] ἀλλὰ μόνῃ [illegible] τῇ αἰω-
[illegible]
Τὰ [illegible] ψάλλομεν ἐν τῇ
μεγάλῃ [illegible] στιχολογοῦντες, καὶ τὸν
[illegible] τον [illegible] καὶ τὰ λοιπὰ,
καὶ [illegible].
Εἰς τὸν [illegible] εὐλογεῖ ὁ ἱερεύς. λέ-
γων. Εὐλογητὸς ὁ θεὸς ἡμῶν πάν-
ποτε [illegible] τὸ παναγίου. διαξ.
[illegible] ὅτι σοῦ. τὸ ἑξάψαλ
μον. [illegible] μεγάλη. εἶτα ἀλ
ληλούια [illegible] ἦχος β. στίχος ά. Ἀνα
θρώπ[illegible] ὥσπερ χόρτος. ἅτι πνεῦμα διῆλ
θεν. Ἀναστήσονται οἱ νεκροί. τὸ ῥοπ-
[illegible] κύριε ὡς ἀγαθός. καὶ θ΄. Μὴ
τὴρ ἁγία. ζήτει ἅπαντα [illegible] καὶ
[illegible] τα στιχολογεῖται ὁ ἄμωμος [illegible]
τοῦ ἀλληλούια εἰς ἦχον πλαγ. ά. ζή-
τει ψαλ. [illegible] καὶ εἰς τό. Σὸς ἐγώ
εἰμι σῶσόν με. λέγε βοῶν. πλαγίου ά.
Τὴν πολυτάραχον. καὶ τὴν [illegible]
Ὁ θεὸς τῶν πνευμάτων καὶ πάσης σαρ
κός. ὁ τὸν θάνατον. ζήτει [illegible] καὶ μετὰ
τὸ τέλος τοῦ ἀμώμου ψάλλομεν [illegible]
πλαγίου ά. τὰ εὐλογητάρια. Τῶν
ἁγίων ὁ χορός. καὶ [illegible] ὁδὸν τὴν στενὴν.
[illegible] Ἀνάπαυσον. δόξα. Τὸ τρι-
λαμπές. καὶ νῦν. Τὸν ἄναρχον καὶ υἱόν
σου δέσποινα. [illegible]
[illegible] εἶτα [illegible] πλαγίου ά. Ἀ-
νάπαυσον σωτὴρ ἡμῶν. [illegible] μνώ-
σθης ὁ θεὸς ἡμῶν. [illegible] εἶτα
[illegible]

Η αὐτῇ ἡμέρᾳ μνείαν τῶν ἀπ᾽ αἰῶνος εὐσεβῶς τελευτησάντων ἀνθρώπων πάντων οἱ θειότατοι πατέρες ἐθέσπισαν ἐκτελεῖν. δι᾽ αἰτίαν τοιαύτην. ἐπειδὴ γὰρ πάντες ἄωρον πολλάκις ἐπὶ ξένης ὑπέστησαν θάνατον, ἐν θαλάσσῃ τε καὶ ἀβάτοις ὄρεσι κρημνοῖς τε καὶ χάσμασι, καὶ λιμοῖς, καὶ πολέμοις καὶ ἐμπρησμοῖς, καὶ ἄλλως παντοίοις θανάτοις ὑπομεμενηκότες. ἴσως δὲ καὶ πένητες ὄντες καὶ ἄποροι, καὶ τῶν νενομισμένων ψαλμῳδιῶν καὶ μνημοσυνῶν οὐκ ἔτυχον. φιλανθρώπως οἱ θεῖοι πατέρες κινούμενοι κοινῶς, μνείαν τῶν ἁπάντων τῆς καθολικῆς ἐκκλησίας ποιεῖσθαι ἐθέσπισαν. ἀπὸ τῶν ἱερῶν ἀποστόλων διαδεξάμενοι. ἵνα καὶ οἱ μὴ τῶν νενομισμένων ἀνὰ μέρος διάπνος συμβάματος τετυχηκότες, τῇ νῦν κοινῇ μνείᾳ κἀκεῖνοι περιλαμβάνοιντο δέχνυώτες, ὡς καὶ τὰ ὑπὲρ αὐτῶν γινόμενα μεγάλην αὐτοῖς προξενεῖ τὴν ὠφέλειαν, καθ᾽ ἕνα μὲν οὖν τρόπον, οὕτως ἡ τοῦ θεοῦ ἐκκλησία τὴν μνείαν ἐπιτελεῖ τῶν ψυχῶν.

Εἶτα ὁ ν΄. ὁ κανὼν [illegible] ἀ-
[illegible] ἦχος [illegible] ἀνα-
[illegible]

ΠΑντες δυσωπήσωμεν Χριστὸν, τελοῦντες μνήμην σήμερον, τῶν ἀπ᾽ αἰῶνος νεκρῶν, ἵνα τῆς αἰωνίου πυρὸς αὐτοὺς ῥύσηται, πίστει κεκοιμημένους, καὶ ἐλπίδι ζωῆς αἰωνίου. [illegible] τῶν κριμάτων σου Χριστὲ, πανσόφως σὺ προώρισας ἑκάστου τέλος ζωῆς, τὸν ὅρον, καὶ τὸν τρόπον, διὸ οὓς ἐκάλυψε τάφος ἐν πάσῃ χώρᾳ ἐν τῇ κρίσει σῶσον πανοικτίρμον. [illegible]ρυς τῆς ζωῆς ἡμῶν ὁδοὺς, διὸ τοὺς ἀφυπνώσαντας ἐκ τοῦ τοῦ βίου νυκτὸς, ἡμέρας ἀνεσπέρου υἱοὺς δεῖξον κύριε. ἱερεῖς ὀρθοδόξους, βασιλεῖς τε καὶ πάντα τὸν λαόν σου.

πνεύματί σου. Εἶτα [illegible]

Μετὰ τῶν ἁγίων ἀνάπαυσον. [illegible] Αὐτὸς μόνος. [illegible] Πανα- γία παρθένε. [illegible] εἰς [illegible] [illegible] φορλαδ. εἶτα [illegible] ψαλμὸς. Ἐλέησόν με ὁ θεὸς κατὰ τὸ μέγα. [illegible] εἶτα [illegible] ὁ εἱρμὸς. παῖδες ἑβραίων [illegible] εἰς τὸν κανόνα τοῦ [illegible] καὶ μετὰ [illegible] θ΄. ᾠδὴν ψάλλομεν προσ. ἦχος πλα- γίου δ΄.

Τοὺς μεταστάντας σωτὴρ ἀνά- παυσον μετὰ τῶν σῶν δικαίων ἐν χώρᾳ ἀθανάτου βυθοῖς. σὺ γὰρ ἀνα- μάρτητος μόνος ὑπάρχεις καὶ εὔ- σπλαγχνος. στίχος. Χρηστότητα ἐ- ποίησας κύριε μετὰ τῶν δούλων σου κατὰ τὸν λόγον σου. Ὁ διὰ πάθους σταυροῦ καὶ τὸν θάνατον, καὶ τὰ τοῦ ᾅδου κλεῖ- θρα συντρίψας τῇ δυνάμει σου, αὐ- τὸς καὶ τοὺς δούλους σου, μετὰ τῶν ἐκλεκ- τῶν σου ἀνάπαυσον. στίχος. Ζήσεται ἡ ψυχή μου καὶ αἰνέσει σε καὶ τὰ κρίμα- ματά σου βοηθήσει μοι. Ὑπερυψοῦ- μέν σε ὁ θεὸς, ὁ οὕτως εὐδοκήσας θε- λήματι ἁγίῳ σου, τὸν ἄνθρωπον τίκ- τεσθαι, καὶ τὴν φθαρτὴν μεταποιεῖσθαι. Δόξα [illegible] νῦν [illegible]. Τὴν θεομήτορα κόρην ἅπαντες ἐν ὕμνοις ἀσιγήτοις ἀξίως εὐφημήσωμεν. δι᾽ αὐτῆς γὰρ ἅπαντες ἐκ τῆς φθορᾶς ἐλυτρώ- θημεν.

Εἶτα τὸ Ἅγιος [illegible] τὸ παναγία τριάς. Τὸ πάτερ ἡμῶν. ὅτι σοῦ. καὶ λέγο- μεν. τὸ τροπ. Μνήσθητι κύριε ὡς ἀγαθὸς τῶν δούλων σου. καὶ τὸ [illegible] ἡ- της ἁγία τοῦ ἀχράντου. [illegible] ἐκτενὴς. ὁ ἱερεὺς ἅπαξ λέγει.

Χριστὸς ὁ ἀληθινὸς θεὸς ἡμῶν, πρεσ- βείαις τῆς παναχράντου αὐτοῦ μη- τρὸς δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, καὶ πάντων τῶν ἁγίων, τοὺς κοιμηθέντας δούλους σου ἀνάπαυσον καὶ ἡμᾶς ἐλέησον, ὡς ἀ- γαθὸς καὶ φιλάνθρωπος.

Εἶτα [illegible] τὰ [illegible] λογ[illegible] κόλλυβα.

Τοῦ κυρίου δεηθῶμεν.

Κύριε ὁ θεὸς ἡμῶν, ἡ ἐλπὶς πάν- των τῶν ἐπικαλουμένων σε, καὶ ἐπε- γνωκότων σου τὸ πανάγιον ὄνομα, τὰ εἰς μνήμην τῶν προαναπαυσαμένων δούλων σου ἐν τῷ ἁγίῳ ναῷ σου προ- τεθέντων σπέρματα, εὐλόγησον. καὶ ὧν, δι᾽ ὧν, καὶ ἐφ᾽ οἷς αὐτὰ προσηνέχ- θησαν ἐν κόλποις Ἀβραὰμ, καὶ Ἰ- σαὰκ, καὶ Ἰακὼβ, ἐν χώρᾳ ζώντων κα- τασκήνωσον, ἄνεσιν αὐτοῖς καὶ τῶν πλημμελημάτων συγχώρησιν παρεχό- μενος. καὶ δέσποτα ὁ τὴν ἀνθρωπί- νην ἀσθένειαν εἰδὼς, καὶ τὸ ταύτης εὐόλισθον, μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τῶν ἐν πίστει εἰς σέ. καὶ ἐλπίδι μεταστάν- των. δίδου καὶ ἡμῖν ἐκτελεῖν ἐν ἀγαθωσύνῃ τὰς ἐντολάς σου, καὶ τοὺς τὴν αὐτῶν κοίμησιν ἐκτελοῦν- τας ἀξίως τῆς προαιρέσεως ἀμοι- βόμενος. Τὰ ἐλέη τοῦ θεοῦ καὶ τὴν βασιλείαν τῶν οὐρανῶν, καὶ τὴν ἄφεσιν τῶν ἁμαρτιῶν αὐτῶν αἰτησά- μενοι ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ θεῷ πα- ραθώμεθα. Ὅτι σὺ εἶ ἡ ζωὴ καὶ ἡ ἀνάπαυσις τῶν κεκοιμημένων δού- λων σου Χριστὲ ὁ θεὸς ἡμῶν. καὶ σοί.

Οὐ [illegible] ψάλλομεν ἁγίου τινὸς ἐν [illegible] τῇ σῇ ἡμέρᾳ. εἰ [illegible] τὰ [illegible]

[illegible] ἦχος πλάγιος δ΄ πρὸς τὸ ἅ [illegible].

Ὕδατι [illegible] … ἀκολουθία τῆς [illegible] … ἀλλ᾽ ἡ … [illegible] … λέξις. Ἔτι καὶ ἔτι ἐκτενῶς τοῦ κυρίου.

Ὑπὲρ κοιμήσεως, ἀνέσεως, ἀφέσεως ἁμαρτιῶν, καὶ μακαρίας μνήμης τῶν ψυχῶν τῶν δούλων τοῦ θεοῦ, τοῦ κυρίου δεηθῶμεν. Ὅπως κύριος ὁ θεὸς ἡμῶν κατατάξῃ τὰς ψυχὰς αὐτῶν ἐν κόλποις Ἀβραάμ, καὶ Ἰσαάκ, καὶ Ἰακώβ. τοῦ κυρίου δεηθῶμεν. Ὑπὲρ τοῦ ῥυσθῆναι αὐτούς τε καὶ ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου, καὶ ἀνάγκης τοῦ κυρίου δεηθῶμεν. Ἀρχ.

Ὁ θεὸς ὁ τῶν πνευμάτων καὶ πάσης σαρκός. ὁ μεταφέρων ἀπὸ τῶν εἰς τὰ σά. ὁ ζωῆς καὶ θανάτου ἐξουσίαν ἔχων, μνησθῆναι καταξίωσον τῶν δούλων σου τούτων, ὑπὲρ ὧν ἱκεσίαν σοι προσφέρομεν; ὑπέρβηθι αὐτῶν τε καὶ ἡμῶν τὰ ἀνθρώπινα πταίσματα. ἐὰν γὰρ ἀνομίας παρατηρήσῃς κύριε κύριε τίς ὑποστήσεται. τούτοις μὲν ἐκεῖ ἀνάπαυσον, καὶ ἡμᾶς ἐν ταῦθα ἐλέησον καὶ ὁδήγησον εἰς τὴν ἐπουράνιον σου βασιλείαν. ὅτι σὺ εἶ ἡ ἀνάπαυσις τῶν κεκοιμημένων δούλων σου Χριστὲ ὁ θεὸς ἡμῶν καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ πατρί, καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι. νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Εἰρήνη πᾶσι. ὁ χορός. Καὶ τῷ πνεύματί σου.

[illegible] πλάγιος δ΄.

Ἀνάπαυσον σωτὴρ ἡμῶν μετὰ δικαίων τοὺς δούλους σου, καὶ τούτους κατασκήνωσον ἐν ταῖς σκηναῖς σου καθὼς γέγραπται, παρορῶν ὡς ἀγαθὸς τὰ πλημμελήματα, τὰ ἑκούσια, καὶ τὰ ἀκούσια καὶ πάντα τὰ ἐν ἀγνοίᾳ καὶ γνώσει φιλάνθρωπε.

Δόξα καὶ νῦν.

Γινώσκεις ὁ θεὸς ἡμῶν, ὅτι ἐν ἁμαρτίαις γινώμεθα. διότι ἱκετεύομεν τοὺς μεταστάντας ἀνάπαυσον, συγχωρῶν ὡς ἀγαθὸς τὰ πλημμελήματα αὐτῶν, ἃ ὡς ἄνθρωποι φθαρτοὶ ἐν βίῳ ἔπραξαν. πρεσβείαις τῆς θεοτόκου καὶ πάντων τῶν ἁγίων σου. Εἶτα ᾠδὴ δ΄. Σύμμον ἰσχὺς. καὶ μετὰ τὴν ς΄. ᾠδὴν ὁ διάκονος [illegible] μικράν. Ἔτι καὶ ἔτι ἐκτενῶς τοῦ κυρίου. Ὑπὲρ κοιμήσεως, ἀνέσεως, ἀφέσεως ἁμαρτιῶν αὐτῶν. Ὅπως κύριος ὁ θεὸς ἡμῶν κατατάξῃ τὰς ψυχὰς αὐτῶν. Ὑπὲρ τοῦ ῥυσθῆναι αὐτούς τε καὶ ἡμᾶς ἀπὸ πάσης. Ἡ ἀρχ.

Ὁ φυλάσσων τὰ νήπια κύριε ἐν τῷ παρόντι βίῳ. ἐν δὲ τῷ μέλλοντι ἑτοιμάσας αὐτοῖς κατὰ τὴν ἁπλότητα αὐτῶν τοὺς Ἀβρααμιαίους κόλπους, ἐν οἷς αὐλίζεται τὰ τῶν δικαίων πνεύματα. αὐτὸς δέσποτα σωτὴρ ἀγαθέ, τὰς ψυχὰς τῶν δούλων σου πρόσδεξαι ἐν εἰρήνῃ. ὅτι αὐτὸς εἶ πάσης τῶν τοιούτων ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν, καὶ σοῦ ἐστὶν ἡ δόξα καὶ μεγαλοπρέπεια, σὺν τῷ ἀνάρχῳ σου πατρί, καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου πνεύματι. νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Εἰρήνη πᾶσιν. ὁ λαός. Καὶ τῷ πνεύ-

τες. φεῖσαι σωτὴρ, καὶ οὓς προσελάβου μετὰ τῶν ἐκλεκτῶν σου ἀνάπαυσον. [illegible] Σὺ εἶ ὁ Θεὸς ἡμῶν. ζήτει εἰς τὸ εὐρολόγιον εἰς τὴν ἀκολουθίαν τοῦ σαββάτου φ. ρλβ΄. καὶ νῦν. Πρεσβείαις τῆς. ζήτει ὁμοίως. Ἀπολ. Μνήσθητι κύριε ὡς ἀγαθὸς τῶν. ζήτει φ. ρλ΄. καὶ νῦν. Μήτηρ ἁγία.

Καὶ μετὰ τὴν ἀπόλυσιν τοῦ ἑσπερινοῦ ψάλλομεν τὴν ἀκολουθίαν τῶν κοιμηθέντων εἰς μνήμην τῶν κοιμηθέντων. ἰδίως μὲν τοι μετὰ τὴν κοίμησιν τούτους τελευτήσαντας τῇ τρίτῃ ἡμέρᾳ, καὶ ἐννάτῃ καὶ μ΄. καὶ ἐνιαυτῷ. Κοινῶς δὲ τὸ πρῶτον Σάββατον τοῦ ὀκτωβρίου μηνός. τῷ Σαββάτῳ τῆς ἀποκρέω, καὶ πρὸ σαββάτου τῆς ἁγίας πεντηκοστῆς. ὅτε δὲ τῇ παρασκευῇ λέγομεν τὰ προγεγραμμένα, καὶ τὰ παρόντα.

Ὁ ἱερεύς. Εὐλογητός.

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Τὸ τρισάγιον, τὸ παναγία τριάς. τὸ πάτερ ἡμῶν. ὅτι σοῦ. Δεῦτε προσκυνήσωμεν γ΄. καὶ ὁ ϟ΄. ψαλμός. Ὁ κατοικῶν ἐν βοηθείᾳ. ζήτει φ. ξέ. εἶτα δόξα καὶ νῦν. ἀλληλούια γ΄. εἶτα συναπτὴ μεγάλη. Ἐν εἰρήνῃ τοῦ κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης.

Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος.

Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου, καὶ τῶν μετὰ πίστεως. Ἀλλὰ ε΄.

Ὑπὲρ τῶν προανεπαυσαμένων ἀδελφῶν ἡμῶν τοῦ κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ συγχωρηθῆναι αὐτοῖς πᾶν πλημμέλημα ἑκούσιόν τε καὶ ἀκούσιον τοῦ κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ εἰσδεχθῆναι τὰ πνεύματα αὐτῶν ἐν τόπῳ φωτεινῷ. τοῦ κυρίου δεηθ.

Ὑπὲρ τοῦ κοινωνοὺς αὐτοὺς γενέσθαι τῆς ἀλύπου εὐφροσύνης, τῆς ἀπ᾽ αἰῶνος ἁγίων τοῦ κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἀπολαῦσαι αὐτοὺς ἤχου ἑορταζόντων, καὶ ἀγγέλων χοροστασίας, τοῦ κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ καταξιωθῆναι αὐτοὺς τῆς ἐλλάμψεως τῆς μακαρίας, καὶ ζωαρχικῆς τριάδος τοῦ κυρίου. Ὅπως κύριος ὁ Θεὸς ἡμῶν κατατάξῃ τὰ πνεύματα αὐτῶν ἐν κόλποις Ἀβραὰμ, καὶ Ἰσαὰκ, καὶ Ἰακώβ. ἔνθα οἱ δίκαιοι ἐπαναπαύονται τοῦ κυρίου δεηθ.

Ὑπὲρ τοῦ ῥυσθῆναι αὐτούς τε καὶ ἡμᾶς ἀπὸ πάσης θλίψεως ὀργῆς, κινδύνου, καὶ ἀνάγκης τοῦ κυρίου δεηθῶμ.

Εἶτα ἡ εὐχή. Ὁ Θεὸς τῶν πνευμάτων καὶ πάσης σαρκός. Τὰ ἐλέη τοῦ Θεοῦ. Ὅτι σὺ εἶ ἡ ἀνάπαυσις. ζήτει φ. ρλ΄. Εἰρήνη πᾶσι. ὁ λαός. Καὶ τῷ πνεύματί σου. εἶτα ψάλλομεν εἰς ἦχον πλάγιον δ΄. τό. Ἀλληλούια γ΄. εἶτα στίχος α΄. Ἄνθρωπος [illegible] φ. ρλ΄. εἶτα τὸ [illegible] ἦχος [illegible]

Ὁ Βυθοῖς σοφίας φιλανθρώπως πάντα οἰκονομῶν, ὁ τὸ συμφέρον πᾶσιν ἀπονέμων, μόνε δημιουργὲ ἀνάπαυσον κύριε τὰς ψυχὰς τῶν δούλων σου, ἐν σοὶ γὰρ τὴν ἐλπίδα ἀνέθεντο τῷ ποιητῇ καὶ πλάστῃ Θεῷ. [illegible] Σὲ καὶ τεῖχος καὶ λιμένα ἔχομεν, καὶ πρεσβείαν εὐπρόσδεκτον, πρὸς ὃν ἔτεκες Θεὸν Θεοτόκε ἀνύμφευτε τῶν πιστῶν ἡ σωτηρία.

Εἶτα

ϛανίου βασιλείας αὐτοῦ. ...

Ο τῷ οἰκείῳ αἵματι βροτοὺς σωτὴρ ἐξωνησάμενος, καὶ θανάτῳ σου θανάτου τοῦ πικροῦ ἐκ λυτρωσάμενος ἡμᾶς, καὶ ζωὴν αἰώνιον παρέχων τῇ ἀναστάσει σου ἡμῖν, πάντας ἀνάπαυσον κύριε τοὺς κοιμηθέντας δ' εὐσεβῶς. ἢ ἐν ἐρήμοις, ἢ ἐν πόλεσιν, ἢ ἐν θαλάσσῃ, ἢ ἐν γῇ, ἢ ἐν παντὶ τόπῳ, βασιλεῖς, ἱερεῖς, ἀρχιερεῖς, μοναστὰς καὶ μιγάδας ἐν ἡλικίᾳ πάσῃ παγγενῆ. καὶ ἀξίωσον αὐτοὺς τῆς οὐρανίου βασιλείας σου. Τὸ β'. δίσ.

Τῇ ἐκ νεκρῶν ἐγέρσει σου Χριστὲ, οὐκ ἔτι ὁ θάνατος κυριεύει τῶν θανέντων δ' εὐσεβῶς. διὸ αἰτοῦμεν ἐκτενῶς τοὺς σοὺς δούλους ἀνάπαυσον ἐν αὐλαῖς σου, καὶ ἐν κόλποις Ἀβραάμ, τοὺς ἐξ Ἀδὰμ μέχρι σήμερον, λατρεύσαντάς σοι καθαρῶς, πατέρας, καὶ ἀδελφοὺς ἡμῶν, φίλους ὁμοῦ καὶ συγγενεῖς, ἅπαντα ἄνθρωπον τὸν τοῦ βίου λειτουργήσαντα πιστῶς, καὶ πρὸς σὲ μεταστάντα πολυειδῶς καὶ πολυτρόπως ὁ θεὸς, καὶ ἀξίωσον τούτοις τῆς οὐρανίου βασιλείας σου. Δόξα ...

Δεῦτε πάντων τῶν πιστῶς ἐκ τοῦ αἰῶνος θανέντων, τελοῦντες μνημόσυνα, κράζωμεν ἐν ἐκτενείᾳ πρὸς τὸν τῶν ὅλων κύριον, τοῦ ῥύσασθαι αὐτοὺς ἐκ πυρὸς ἀσβέστου, καὶ ἰοβόλων σκωλήκων βορᾶς, ἀπὸ σκότους ἀφεγγοῦς, βρυγμοῦ ὀδόντων, καὶ δεινῆς πάσης κατακρίσεως, ὅτε καθίσῃ εἰς κριτήριον τὴν παγκόσμιον χαρμονὴν, καὶ τὰς πράξεις εὐθύνων ἁπάσης πνοῆς. ἑκάστῳ ἀποδιδοὺς κατ' ἀξίαν τῶν ἔργων αὐτοῦ. διὸ βοήσωμεν τότε παύτας ἀνάπαυσον φιλάνθρωπε τοὺς θανέντας πιστῶς. Καὶ νῦν ... Παρθένε ἀπειρόγαμε ἡ τεκοῦσα τὸν κύριον δ' λογημένη. διάσωζε τοὺς δούλους σου. τοὺς πιστῶς σὲ δυσωποῦντας. εἰς σὲ γὰρ τὴν ἐλπίδα ἀνέθεντο τὴν τιμιωτέραν τῶν χερουβίμ. Εἰς τὴν σ... ...

Λύγος τοῦ Ἀδὰμ ἐχρημάτισεν ἡ τοῦ ξύλου ἀπόγευσις. πάλαι ἐν Ἐδέμ, ὅτε ὄφις ἰὸν ἐξηρεύξατο. δι' αὐτοῦ γὰρ εἰσῆλθεν ὁ θάνατος, παγγενῆ κατεσθίων τὸν ἄνθρωπον. ἀλλ' ἐλθὼν ὁ δεσπότης καθεῖλε τὸν δράκοντα, καὶ ἀνάπαυσιν ἡμῖν ἐδωρήσατο, πρὸς αὐτὸν οὖν βοήσωμεν. φεῖσαι σωτὴρ, καὶ οὓς προσελάβου μετὰ τῶν ἐκλεκτῶν σου ἀνάπαυσον. ...

... Χρηστότητα ἐποίησας κύριε μετὰ τῶν δούλων σου κατὰ τὸν λόγον σου. Λόγος τοῦ θεοῦ ἐνυπόστατος ὑπῆρχας δόκησει, σάρκα προσλαβὼν, καὶ ψυχὴν νοερὰν αὐτεξούσιον, διὰ τοῦτο ἐν δύο ταῖς φύσεσι τὸν τεχθέντα υἱὸν προσκυνήσωμεν, τὸν αὐτόκτιστον ὁμοῦ τε καὶ ἄκτιστον, μεμαθήκαμεν ἀτρέπτως τὸν ἕνα θεόν. ᾧ βοήσωμεν λέγοντες, φεῖσαι σωτὴρ, καὶ οὓς προσελάβου μετὰ τῶν δικαίων ἀνάπαυσον. ... ζήσεται ἡ ψυχή μου καὶ αἰνέσει σε καὶ τὰ κρίματά σου βοηθήσει μοι.

Ὄντως ματαιότης τὰ σύμπαντα, καὶ γὰρ μάτην ταράττεται πᾶς γηγενὴς, θησαυρίζων πυρὸς ὑπεκκαύματα, ἐννοήσωμεν τὴν φλόγα τὴν ἄσβεστον καὶ τὸν σκώληκα περὶ τὸν ἀκοίμητον, καὶ βοήσωμεν λέγον-

τες

ἀσώματοι ἔλεγον, ὃν βρότον βλέπετε, καὶ πάλιν Χριστὸς ἐνδόξῳ ἥξει. Ἡ ἀγεωργήτως βλαστήσασα, τὸν ἐπουράνιον στάχυν, τὸν διατρέφοντα θεϊκῇ δυναστείᾳ, τὰ πέρατα παρθένε, ἐμπλησον πεινῶσαν τὴν ταπεινὴν ψυχήν μου.

ᾠδὴ ϛ΄. Τὸν τῆς ἀρχῆς λοιπόν.

Κράζει Μωϋσῆς ἐν πνεύματι, ἀγγελικαὶ δυνάμεις ἐνισχυσάτωσαν, τῷ παμβασιλεῖ σωματικῶς, ἀναβαίνοντι ἀπὸ γῆς, πρὸς τὰ ἄνω βασίλεια, καὶ θρόνῳ καθίσαντι τῷ πατρικῷ, φύσιν τιμήν ἐκπῶτον. Πύλας νοητὰς ἐπάρατε, προφητικῶς ἐβόα ἤδη ἐν πνεύματι, ὁ μονογενὴς υἱὸς θεοῦ ἐβασίλευσεν, ἐπὶ πάντα τὰ ἔθνη, καὶ ἄνεισι σαρκὶ πρὸς τὸν πατέρα, ὃν κατερχόμενος οὐκ ἔλιπεν. Ὃ λος γλυκασμὸς καὶ ἔφεσις, ὁ σὸς ὑπάρχει υἱὸς καὶ κύριος, ἄχραντε ἁγνή. ὃν ἐκτενῶς καθικέτευε, σὺν ταῖς ἄνω ἀπείροις δυνάμεσι, πικρίας ψυχοφθόρου, ἁμαρτημάτων λυτρωθῆναι ἡμᾶς.



ΑΚΟΛΟΥΘΙΑ ΤΩΝ ΑΠ' ΑΙΩΝΟΣ ΠΑΝΤΩΝ.

ΚΕΚΟΙΜΗΜΕΝΩΝ ΟΡΘΟΔΟΞΩΝ ΧΡΙΣΤΙΑΝΩΝ.

ψαλλομένη τῷ πρώτῳ Σαββάτῳ τῆς Ὀκτα[illegible], ἢς μίαν δεσποὶ τῷ Σαββάτῳ τῆς ἀποκρέου. καὶ τῷ Σαββάτῳ τῆς Πεντηκοστῆς. Τῇ παρασκευῇ ὀψὲ εἰς τὸ κύριε ἐκέκραξα στιχηρὰ πλαγίου δ΄. γίνονται ϛ΄.



ΤΩΝ ἀπ' αἰῶνος σήμερον νεκρῶν ἁπάντων κατ' ὄνομα, μετὰ πίστεως ζησάντων εὐσεβῶς, μνήμην τελοῦντες οἱ πιστοὶ τὸν σωτῆρα καὶ κύριον ἀνυμνήσωμεν αἰτοῦντες ἐκτενῶς, τούτους ἐν ὥρᾳ τῆς κρίσεως ἀπολογίαν ἀγαθὴν δοῦναι αὐτῷ τῷ θεῷ ἡμῶν, τῷ πᾶσαν κρίνοντι τὴν γῆν, τῆς δεξιᾶς αὐτοῦ παραστάσεως τυχόντας ἐν χαρᾷ καὶ ἐν μερίδι δικαίων, καὶ ἐν ἁγίων κλήρῳ φωτεινῷ, καὶ ἀξίους γενέσθαι τῆς οὐ-

[illegible] [illegible]

Πατέρων θείων σήμερον, τὴν μνήμην ἑορτάζοντες, ταῖς παρακλήσεσι τούτων, δεόμεθα πανοικτίρμον, πάσης βλάβης αἱρέσεων, ῥῦσαι λαόν σου κύριε, καὶ πάντας καταξίωσον, πατέρα, λόγον δοξάζειν, καὶ πανάγιον πνεῦμα.

Εἰς [illegible] αἶνοις [illegible] ἀναστάσιμα [illegible] ἦχος [illegible] δόξα [illegible] ἦχος β΄. [illegible]

Σήμερον ὁ Χριστὸς εἰς οὐρανοῖς ἐν δόξῃ. δοξολογία μεγάλη. καὶ τελειοῦται. [illegible] β΄.

Ἀναστὰς ἐκ τοῦ μνήματος. [illegible]

Ὑπερδεδοξασμένος εἶ Χριστὲ ὁ θεὸς ἡμῶν. [illegible] ἐκτενής, αἱ αἰτήσεις καὶ [illegible].



Τῇ [illegible] τῆς ἀναλήψεως. καὶ [illegible] [illegible] ἦχος β΄. Ὅτε [illegible].

Πληρώσας ἀγαθὲ, πατρὸς τὴν εὐδοκίαν, ἑνώσας τε τὰ ἄνω, τοῖς κάτω, ἀνελήφθης ἐν δόξῃ πρὸς τὸ πρότερον.

[illegible] τὰ [illegible]

Οὐ λείπω ὀρφανοὺς, οὓς περ ἐγὼ συνῆξα, ὁ κύριος τοῖς φίλοις, ἐλάλει ἀλλὰ πέμψω, ἡμῖν πνεῦμα τὸ ἅγιον.

[illegible]

Ὥσπερ τοῖς μαθηταῖς, ἀπέστειλας ἐξ ὕψους, τὸ συμφυές σου πνεῦμα, καὶ τῷ λαῷ σου πέμψον, Χριστὲ σωτὴρ τὴν χάριν σου.

Δόξα καὶ νῦν τῆς ἀναλήψεως. Ὅτε θέλεις.

Εἰς τὸ ἀπόδειπνον [illegible] ἦχος α΄. ὁ εἱρμός. Σοῦ ἡ τροπαιοῦχος δεξιά.

Σοῦ τὴν ἐπὶ γῆς χαμαιπετῆ, ἀγνοησάντων ἀγγέλων κατάβασιν, ταύτην ἀναβαίνοντος, ἐν οὐρανοῖς μεμαθηκότες ἔλεγον. τίς οὗτος ὑπάρχει ὁ βασιλεὺς τῶν δυνάμεων; σταύρωσιν ἑκούσιον Χριστὲ, καθ' ὑπομείνας ἀνέσης τριήμερος, αὖθις ἀνελήφθης τε πρὸς οὐρανοὺς τῶν μαθητῶν ὁρώντων σε, καὶ ἐκπληττομένων. τὴν ὑπὲρ νοῦν δυναστείαν σου. γ΄. Τάγματα ἀγγέλων ἀληθῶς, ἐπουρανίων ἁγνὴ ὑπερβέβηκας, λόγον σωματώσασα, τὸν τοῦ πατρὸς, ὃν ἐκτενῶς ἱκέτευε, πράξεων ἀλόγων ἡμᾶς ῥυσθῆναι παναμώμε.

[illegible] Τὸ [illegible]

Ἄσατε καὶ ψάλατε κυρίῳ, ἀλαλάξατε φόβῳ αἱ πατριαὶ τῆς γῆς, ἀνελείφθη ἐν δόξῃ γὰρ σήμερον, σμικρύνας τοῖς ἐπουρανίοις ἡμᾶς εἰς τοὺς αἰῶνας. Ἄνδρες Γαλιλαῖοι τί ὁρῶντες, εἰς τὸ ὕψος οὕτως ἐν φόβῳ ἑστήκατε, μαθηταῖς οἱ

τὸν χιτῶνα φοροῦσα τῆς ἀληθείας, τὸν ὑφαντὸν ἐκ τῆς ἄνω θεολογίας, ὀρθοτομεῖ καὶ δοξάζει τῆς εὐσεβείας τὸ μέγα μυστήριον.

Ἐν ὑψηλῷ κηρύγματι τῆς τοῦ Χριστοῦ ἐκκλησίας, ἀκούσωμεν βοώσης, ὁ διψῶν ἐρχέσθω καὶ πινέτω, ὁ κρατὴρ ὃν φέρω, κρατὴρ ἐστὶ τῆς σοφίας· τοῦτο τὸ πόμα ἀληθείας λόγῳ κεκέρακα. ὕδωρ οὐ προχέων ἀντιλογίας, ἀλλ' ὁμολογίας· ἧς πίνων ὁ νῦν Ἰσραήλ, θεὸν ὁρᾷ φθεγγόμενον, ἴδετε, ἴδετε ὅτι αὐτὸς ἐγώ εἰμι, καὶ οὐκ ἠλλοίωμαι, ἐγὼ θεὸς πρῶτος, ἐγὼ καὶ μετὰ ταῦτα, καὶ πλήν μου ἄλλος οὐκ ἔστιν ὅλως, ἐντεῦθεν οἱ μετέχοντες, πλησθήσονται καὶ αἰνέσουσι, τῆς εὐσεβείας τὸ μέγα μυστήριον.

ᾠδὴ ζ', ὁ εἱρμός. Δροσοβόλον μὲν ἔτι.

Τὸν υἱὸν βροντῆς μιμούμενοι θεσπέσιοι, λόγον πατρὶ συνάναρχον, καὶ ὁμόθρονον, πνευμόρφοις στόμασιν ὑμῶν. τοὺς πάντας διδάσκετε βοᾶν. εὐλογητὸς εἶ ὁ θεὸς ὁ τῶν πατέρων ἡμῶν. Ὡς ὑπέρμαχοι τῷ λόγῳ βοηθήσαντι, ἥκετε θεομακάριστοι, οἰκουμένης γὰρ ἐκ περάτων ἤθροισεν ὑμᾶς, τὸ πνεῦμα τὸ ἅγιον βοᾶν. εὐλογητὸς εἶ ὁ θεὸς ὁ τῶν πατέρων ἡμῶν. θ'. Νεανίας οὐκ ἡ κάμινος οὐκ ἔφλεξε, γέννησιν προτυποῦσαν τὴν σήν, τὸ γὰρ θεῖον πῦρ, σὲ μὴ φλέξαν ᾤκησεν ἐν σοί. καὶ πάντας ἐφώτισε βοᾶν. εὐλογημένη ἡ θεὸν σαρκὶ κυήσασα.

Χορὸς τῶν ποιμένων ὁ πανάοιδιμος, ἀθροισθεὶς θεοφρόνως· τριάδα ἄκτιστον, νῦν θεολογῶν πάντας διδάσκει βοᾶν. σὲ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας. Ἱεράρχαι ποιμένες οἱ ἀξιάγαστοι, τὴν Χριστοῦ ἐκκλησίαν καταφωτίζουσιν, ἄλλοι ἀλλαχοῦ ταύτην καταφαιδρύναντες· καὶ ὑπερυψοῦντες εἰς πάντας τοὺς αἰῶνας. θ'. Μυστικῶς ἐν εἰκόσι προεθεάσαντο, οἱ προφῆται σὲ πάντες λόγον κυήσασαν. σάρκα γὰρ ἐκ σοῦ λαβὼν οὗτος προῆλθε διπλοῦς. ὃν ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

ᾠδὴ θ'. Θεὸν ἀνθρώποις.

Νομὴν Ἀρείου, δεινῆς αἱρέσεως, ὡς ἰατροὶ ψυχῶν τε καὶ σωμάτων διεστήσατε, ἱερῶς τῆς πίστεως τὸ σύμβολον, πᾶσιν ἐκτεθεικότες, ὃ νῦν κατέχοντες, μνήμην τὴν ὑμῶν ἱερουργοὶ ἀεὶ δοξάζομεν. Ὡς φῶς ὑπάρχων Χριστὲ παναχραντον, τῆς τῶν παθῶν ἀχλύος τὴν ψυχήν μου ἐκλύτρωσαι, ταῖς πρεσβείαις δέσποτα τῶν σῶν λειτουργῶν, τῶν νῦν σὲ κηρυξάντων, ἄναρχον. ἄκτιστον, κτίστην τε τῶν ὅλων καὶ θεόν, πατρὶ συνάναρχον. θ'. Νεκροῖς ἀνάστασις νῦν δεδώρηται, διὰ τῆς ἀφράστου, καὶ ἀρρήτου κυήσεως, θεοτόκε δέσποινα, ζωὴ γὰρ ἐκ σοῦ, σαρκὶ προσκειμένη. πᾶσιν ἐξέλαμψε, καὶ τὸ τοῦ θανάτου ἀμυδρὲς σαφῶς διέλυσεν.

δυσσεβῶς ὁ ἀσεβὴς, προσάπτων τῷ τμητικῷ τῶν πατέρων ξίφει ἀποτέμνεται. Ὡς πάλαι θεῖος Ἀβραὰμ, στρατευόμενοι πάντες, οἱ σεπτοὶ θεηγόροι, τοὺς ἐχθρούς σου ἀγαθὲ, τοὺς μανιώδεις τῇ σῇ δυναστείᾳ κραταιῶς ἀπώλεσαν. Οὐδένες λόγοι σε βροτῶν, οὐδὲ γλῶσσα παρθένε, δ' ἀφημνεῖν σε ἀξίως, ἐκ σοῦ γὰρ ἀνδροσποράς, ὁ ζωοδότης Χριστὸς, σαρκωθῆναι πάναγνε ηὐδόκησε.

Κάθισμα ἦχος δ´. Ταχὺ προκατάλαβε

Φωστῆρες ὑπέρλαμπροι, τῆς ἀληθείας Χριστοῦ, τῷ κόσμῳ ἐδείχθητε, ἐπὶ τῆς γῆς ἀληθῶς, πατέρες μακάριοι τήξαντες τὰς αἱρέσεις, τῶν δυσφήμων γλωσσαλγῶν, σβέσαντες τὰς φλογώδεις τῶν βλασφήμων συγχύσεις, διὸ ὡς Ἱεράρχαι Χριστοῦ, πρεσβεύσατε σωθῆναι ἡμᾶς.

Δόξα καὶ νῦν· τὸ τῆς ἀναλήψεως.

ᾨδὴ δ´. Χριστός μου δύναμις.

Ὑπὲρ σοῦ δέσποτα ἀγωνιζόμενος, ὁ χορὸς τῶν πατέρων σου τοὺς ἐχθροὺς, ἄγαν ἐτροπώσατο, καὶ συμφυῆ σε τῷ πατρὶ, καὶ τῷ πνεύματι ἐδέξατο σε. Μεσίτης γέγονας θεὸς καὶ ἄνθρωπος, τοῦ θεοῦ καὶ ἀνθρώπων. ὅθεν Χριστὲ δύο σε ταῖς φύσεσιν, ἀναγνωρίζοντες θεόνοι θεόφρονες ἐκήρυξαν. Νεκρόν με ἔδειξε φυτοῦ ἀπόγευσις, τῆς ζωῆς γὰρ τὸ ξύλον ἐκ σοῦ φανὲν, πάναγνε ἀνέστησε, καὶ παραδείσου τῆς τρυφῆς κληρονόμον με κατέστησεν.

ᾠδὴ ε´. Τῷ θείῳ φέγγει σου ἀγαθέ

Σοφίαν δύναμιν τοῦ πατρὸς, λόγον ἐνυπόστατον Χριστὲ, σὲ συνελθόντες ἐκήρυξαν, οἱ τῆς παναγίας ἱεροσύνης σεπτῶς. τῷ μύρῳ σφραγισθέντες θεῖοι διδάσκαλοι. Ὑδάτων νάματα καθαρὰ, τῆς διδασκαλίας τὴν ὀρθόδοξον ἐκκλησίαν ποτίσαντες, ἐπὶ τῶν ὑδάτων τῆς ἀναπαύσεως νῦν, τρυφᾶτε δι' αἰῶνος ἀγαλλιώμενοι. Λυχνίαν πάναγνε φαεινὴν, πᾶσιν ἀπαυγάζουσαν Χριστὸν, δικαιοσύνης τὸν ἥλιον, σὲ ἰδόντες μόνη, θεογεννῆτορ ἁγνὴ, τὴν σὴν γὰρ προστασίαν ἐπικαλούμεθα.

ᾠδὴ ς´. ὁ εἱρμὸς. Τὴν βίου [illegible] θάλασσαν.

Ὁ θεῖος κατάλογος, τῶν πατέρων ὁ σεπτὸς, μονογενὲς ἀπαύγασμα, τῆς οὐσίας ἐκλάμψαν τῆς πατρικῆς, κηρύττει σε δέσποτα, καὶ πρὸ πάντων αἰώνων γεννηθέντα υἱόν. Γαστὴρ διαῤῥήγνυται κατὰ λόγον ἡ πηγὴ, τὴν δολερὰν καὶ ἄποτον, αἱρέσεων πηγάσασα δυσσεβῶν ἀρόβῳ δεήσεως ἱερέων, ἐνθέων πρεσβευσάντων. Ὁ μέγας προέγραψεν ἐν προφήταις Μωϋσῆς, σὲ κιβωτὸν καὶ τράπεζαν, καὶ λυχνίαν, καὶ στάμνον συμβολικῶς, σημαίνων τὴν σάρκωσιν, τὴν ἐκ σοῦ τοῦ ὑψίστου μητρόθεν παρθένε.

Κοντάκιον ἦχος πλαγίου δ´.

Τῶν ἀποστόλων τὸ κήρυγμα, καὶ τῶν πατέρων τὰ δόγματα ἡ ἐκκλησία μίαν πίστιν ἐκράτυνε, καὶ

παρ' αὐτῶν κυρωθέντα τε καὶ ὑπογραφέντα ἀρρήτοις λόγοις Θεοῦ. τελεσθείσης δὲ τῆς συνόδου, ἐπεὶ καὶ ἡ πόλις ἤδη ἀνοικοδομηθεῖσα πεπλήρωτο, μετακαλεῖται Κωνσταντῖνος ὁ μέγας, τοὺς ἁγίους ἐκείνους ἅπαντας ἄνδρας, οἳ καὶ συνελθόντες σύμπαντες, καὶ δεξάμενοι ταύτην ἀρκούντως, βασιλεύουσαν εἶναι τῶν πόλεων προσκυροῦσι, καὶ τῇ μητρὶ τοῦ λόγου ταύτην ἀνέθεντο. τοῦ βασιλέως κελεύσαντος, καὶ οὕτως οἱ ἅγιοι ἕκαστος οἴκαδε ἀνεχώρησαν. ἀλλὰ μήπω τοῦ μεγάλου πρὸς Θεὸν ἐκδημήσαντος Κωνσταντίνου, σὺν τῷ υἱῷ δὲ αὐτοῦ Κωνσταντίῳ τὰ σκῆπτρα διέποντος, ὁ Ἄρειος τῷ βασιλεῖ πρόσεισι. λέγων καταλιπεῖν ἅπαντα. καὶ τῇ ἐκκλησίᾳ ἑνωθῆναι θέλειν Θεοῦ, γράψας τοίνυν τὰς αὐτοῦ βλασφημίας, ἀπηώρησε τοῦ τραχήλου. καὶ ὡς δῆθεν τῇ συνόδῳ πειθόμενος, ἐκεῖνα τῇ χειρὶ περικρούων, τούτοις ἔλεγε πείθεσθαι. ἀμέλει καὶ ὁ βασιλεὺς δέξασθαι εἰς κοινωνίαν τὸν Ἄρειον τῷ πατριάρχῃ τῆς Κωνσταντινουπόλεως ἐνεκελεύετο. ἦν δὲ τότε μετὰ Μητροφάνην, Ἀλέξανδρος, ὃς τὸ δύστροπον εἰδὼς τοῦ ἀνδρὸς, ἀμφιβάλλων ἦν. καὶ δεόμενος τοῦ Θεοῦ δεῖξαι αὐτῷ, εἰ κατὰ γνώμην αὐτοῦ κοινωνήσει Ἀρείῳ. ἐπεὶ δ' ὁ καιρὸς ἐπέστη καθ' ὃν ἔδει συλλειτουργῆσαι αὐτῷ, θερμότερος γίνεται τῆς προσευχῆς. ὁ δὲ Ἄρειος περὶ τὴν ἐκκλησίαν ἐρχόμενος, περὶ τὸν κίονα τοῦ φόρου νυξάσης αὐτὸν τῆς γαστρὸς, εἰς δημόσιον ἀπόπατον εἴσεισι. κἀκεῖσε διαρραγεὶς, σὺμ πᾶσαν τὴν ἔνδοθεν πλάσιν κάτωθεν ἐξερεύγεται. τὴν τοῦ Ἰούδα ῥῆξιν ὑποστὰς, ἐπ' ἴσῃ προδοσίᾳ τοῦ λόγου, καὶ τὸν υἱὸν τοῦ Θεοῦ τῆς πατρικῆς οὐσίας ἀπορρηγνὺς, αὐτὸς διαρρήγνυται νεκρὸς εὑρεθείς. καὶ οὕτως ἡ τοῦ Θεοῦ ἐκκλησία, τῆς ἐκείνου λύμης ἀπήλλακται. ταῖς τῶν ἁγίων τριακοσίων δέκα καὶ ὀκτὼ θεοφόρων πατέρων πρεσβείαις Χριστὲ ὁ Θεὸς ἡμῶν ἐλέησον ἡμᾶς. ἀμήν.

Οἱ ἀναβαθμοὶ [illegible] πλα[illegible].
Ἀντίφωνον α΄. [illegible]
[illegible] Εὐαγγ[illegible].
Ἀνάστασιν Χριστοῦ [illegible]. Κανόνες γ΄. [illegible] ἀναστάσιμος πλαγ. β΄. [illegible] προσ. δ΄. καὶ τῆς ἀναλ[illegible] τῶν ἁγίων πατέρων δ΄ [illegible] καὶ νῦν. Ὁ κανὼν τῶν ἁγίων πατέρων. ἦχος πλαγ. β΄. [illegible]
Ὡς ἐν ἠπείρῳ [illegible]

Τὴν τῶν ἁγίων πατέρων ἀνευφημῶν, παναγίαν σύνοδον, τὸ πανάγιον αὐτῆς ἐν ἐμοὶ χρησμῴδημα βοῶν. ἱκετεύω σε Χριστὲ διαφυλάττεσθαι. Οἱ θεοφόροι πατέρες, ὡς ἀστραπαὶ, συνελθόντες σήμερον, σὲ Χριστὲ μονογενῆ, τῷ πατρὶ συνάναρχον υἱὸν, ὡμολόγησαν τρανῶς καὶ ὁμοούσιον. Πεποικιλμένη τῇ δόξῃ τῇ θεϊκῇ, ἡ σεπτὴ βασίλισσα, τῷ υἱῷ τῷ ἑαυτῆς, καὶ Θεῷ παρίσταται ἡμῶν σωτηρίαν ψυχικὴν καθικετεύουσα.

ᾠδὴ γ΄. ὁ εἱρμός. Οὐκ [illegible] σύ.

Ῥοὴν καὶ πάχος καὶ τομὴν, Ἄρειος ὁ παράφρων τῇ γεννήσει τῇ θείᾳ δυσσε-

περιΐστησι. τοῦ δὲ Ἀχιλλᾶ τελευτήσαντος Ἀλέξανδρος γίνεται. ὃς τὸν Ἄρειον πάλιν τὰ αὐτὰ καὶ χείρονα βλασφημοῦντα εὑρών, τῆς ἐκκλησίας ἐξέωσε διὰ συνόδου αὐτὸν καθελών. ὡς δὲ φησὶ Θεοδώρητος, ὅτι καὶ τρεπτῆς φύσεως τὸν Χριστὸν ἐδογμάτισε, καὶ τὸ ἄνουν καὶ ἔμψυχον ἀνειληφέναι σάρκα τὸν Χριστὸν, πρῶτος οὗτος ἤρξατο. ὁ μέντοι Ἄρειος πολλοὺς τῇ αὐτοῦ δυσσεβείᾳ ὑπαγαγὼν, γράφει καὶ οἰκειοῦται τὸν Νικομηδείας Εὐσέβιον. τὸν τύρου Παυλῖνον. Εὐσέβιόν τε τὸν καισαρείας, καὶ ἄλλους, καὶ κατὰ τοῦ Ἀλεξάνδρου χωρεῖ. ὁ δὲ Ἀλέξανδρος ἁπανταχοῦ τῆς οἰκουμένης τὰς βλασφημίας ἐκείνου, καὶ τὴν καθαίρεσιν πέμψας, πολλοὺς πρὸς ἄμυναν ἤγειρε. τῆς οὖν ἐκκλησίας ταραττομένης, καὶ πολλῶν δεομένων τὰ χριστιανῶν δέχεσθαι. ἐπερχομένων δὲ τῇ φιλονεικίᾳ τοῦ δόγματος. Ὁ μέγας Κωνσταντῖνος ἁπανταχοῦ τῆς οἰκουμένης δημοσίοις ὀχήμασι τοὺς παρόντας πατέρας συναγαγὼν ἐν Νικαίᾳ, ἐκεῖσε καὶ αὐτὸς παραγίνεται. καὶ δὴ τῶν πατέρων πάντων καθισάντων, προβὰς καὶ αὐτὸς ἐκάθισεν, οὐκ ἐν βασιλικῷ θρόνῳ, ἀλλ' ἐν ὑφειμένῳ τῆς ἀξίας καθίσματι. καὶ τῶν κατὰ τὸν Ἄρειον λαληθέντων ἀναθέματι μὲν ἐκεῖνος, καὶ οἱ ἐκείνῳ συμφρονοῦντες ἅπαντες ὑποβάλλονται. ὁ δὲ τοῦ θεοῦ λόγος παρὰ τῶν ἁγίων πατέρων, ὁμοούσιος καὶ ὁμότιμος καὶ συνάναρχος ἀνακηρύττεται τῷ πατρί. ἐκτιθέασι δὲ οὗτοι καὶ τὸ τῆς πίστεως ἅγιον σύμβολον. ἀγαγόντες αὐτὸ μέχρι τοῦ, καὶ εἰς τὸ πνεῦμα τὸ ἅγιον, τὸ γὰρ ἑξῆς ἡ δευτέρα ἀνεπλήρωσε σύνοδος. ἐκύρωσε δὲ πρὸς τούτοις ἡ πρώτη σύνοδος, καὶ τὴν τοῦ πάσχα ἑορτήν. πότε καὶ πῶς δὴ ἡμᾶς αὐτὴν ἐκτελεῖν. καὶ μὴ μετὰ Ἰουδαίων ὥσπερ ἦν πρότερον ἔθιμον, ἐκτιθέασι δὲ καὶ κανόνας περὶ ἐκκλησιαστικῆς καταστάσεως εἴκοσι. τὸ δὲ ἅγιον τῆς πίστεως σύμβολον, ὁ μέγας καὶ ἰσαπόστολος Κωνσταντῖνος ὕστερος πάντων ἐρυθροῖς ἐπεκύρωσε γράμμασιν. ἦσαν δὲ ἀρχιερεῖς μὲν τῶν ἁγίων τούτων πατέρων διακόσιοι τριάκοντα καὶ δύο. ἱερεῖς δὲ καὶ διάκονοι πρὸς δὲ καὶ μονάζοντες ὀγδοήκοντα καὶ ἕξ. οἱ συμπαρόντες δὲ, τριακόσιοι δέκα καὶ ὀκτώ. οἱ δ' ἐπισημότεροι, ἦσαν οὗτοι. Σίλβεστρος ὁ τῆς Ῥώμης ἀρχιερεύς, Μητροφάνης Κωνσταντινουπόλεως ἀσθενῶν. οὗτοι δὴ παρῆσαν διὰ τοποτηρητῶν. Ἀλέξανδρος ὁ Ἀλεξανδρίας σὺν Ἀθανασίῳ τῷ μεγάλῳ ἀρχιδιακόνῳ τότε ὑπάρχοντι. Εὐστάθιος ὁ Ἀντιοχείας, καὶ Μακάριος Ἱεροσολύμων. ὁ ὅσιος Κουδρούβης ἐπίσκοπος. Παφνούτιος ὁ ὁμολογητὴς, ὁ μυροβλύτης Νικόλαος. καὶ Σπυρίδων ὁ Τριμυθοῦντος. ὃς τὸν ἐκεῖσε φιλόσοφον καταβαλὼν, ἐβάπτισε, τὸ τρισήλιον αὐτῷ ὑποδείξας, ἐν τῷ μεταξὺ δὲ τῆς συνόδου δύο πρὸς θεὸν μεταστάντων πατέρων ἀρχιερέων, ὁ μέγας Κωνσταντῖνος τοῖς αὐτῶν κιβωτίοις τὸν ὅρον τῆς ἁγίας συνόδου ἐνθέμενος, καὶ ἀσφαλῶς περικλείσας, εὗρεν ἐκεῖνον καὶ

σας, καὶ δι' αὐτῆς πρὸς τὴν ἀληθινὴν πίστιν πάντας ἡμᾶς ὁδηγήσας πολυέλεε, Κύριε δόξα σοι.

Τὰ λοιπὰ κ[illegible] [illegible] ἀπὸ [illegible] τοῦ [illegible] Ἀγγελικαὶ δυνάμεις [illegible], καὶ τὸ μεσώνυκτ. προκ. [illegible] ἦχ. δ'. Ὑπερδεδοξασμένος. Τὸ κύριε ἐκέκραξα ἱστ. ιβ. καὶ ἀπόλυσις.

Εἰς τὸν ὄρθρον. εἰς τὸ Θεὸς κύριος [illegible] ἀναστάσιμον. Ἀγγελικαὶ δυνάμεις. δόξα τὸ τροπάριον τῆς ἀναλήψεως. καὶ νῦν τὸ τῶν ἁγίων πατέρων. καὶ μετὰ τὴν συνήθη στιχολογίαν ἀπὸ [illegible] ἀναστάσιμος καὶ κάθισμα ἀναστάσιμον. εἶτα ὁ ἀναγνώστης Πάτερ εὐλόγησον.

Τῇ αὐτῇ ἡμέρᾳ κυριακῇ ἕκτῃ ἀπὸ τοῦ πάσχα, τὴν ἐν Νικαίᾳ πρώτην σύνοδον ἑορτάζομεν τῶν τριακοσίων δέκα καὶ ὀκτὼ θεοφόρων πατέρων, δι' αἰτίαν τοιαύτην. ἐπειδὴ γὰρ ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς τὴν καθ' ἡμᾶς φορέσας σάρκα, τὴν οἰκονομίαν ἅπασαν ἀῤῥήτως ἐνήργησε, καὶ πρὸς τὸν πατρῷον κλῆρον ἀποκατέστη θρόνον. θέλοντες δεῖξαι οἱ ἅγιοι ὅτι ἀληθῶς ὁ υἱὸς τοῦ θεοῦ ἐγένετο ἄνθρωπος, καὶ τέλειος ἄνθρωπος, ἀνελήφθη θεὸς καὶ ἐκάθισεν ἐν δεξιᾷ τῆς μεγαλοσύνης ἐν ὑψηλοῖς. Η σύνοδος αὕτη τῶν ἁγίων πατέρων, οὕτως αὐτὸν ἀνεκήρυξε καὶ ἀνωμολόγησεν ὁμοούσιον, καὶ ὁμότιμον τῷ πατρὶ, τούτῳ τῷ λόγῳ μετὰ τὴν ἔνδοξον ἀνάληψιν τὴν παροῦσαν ἐθέσπισαν ἑορτὴν, ὡσανεὶ τὸν σύλλογον τῶν τοσούτων πατέρων προβιβάζοντες τοῦτον δὴ τὸν ἐν σαρκὶ ἀναληφθέντα, θεὸν ἀληθινὸν, καὶ ἐν σαρκὶ τέλειον ἄνθρωπον ἀνακηρύττοντα, ἡ δὲ σύνοδος αὕτη γέγονεν ἐπὶ Κωνσταντίνου τοῦ μεγάλου ἐν τῷ εἰκοστῷ ἔτει τῆς βασιλείας αὐτοῦ, τοῦ γὰρ διωγμοῦ παυσαμένου, οὗτος ἐν Ῥώμῃ πρότερον ἄρχει. μετέστησε δὲ καὶ τὴν πανευδαίμονα πόλιν, τὴν ἑαυτῷ ἐπώνυμον κτίσας ἔτει ἀπὸ τῆς κτίσεως κόσμου πεντακισχιλιοστῷ ὀκτακοσιοστῷ τριακοστῷ ὀγδόῳ, τὰ κατὰ τὸν Ἄρειον ἤρξατο. ὃς ὥρμητο μὲν ἐκ Λιβύης. εἰς Ἀλεξάνδρειαν δὲ γεγονὼς, καὶ διάκονος ὑπὸ τοῦ ἁγίου ἱερομάρτυρος Πέτρου Ἀλεξανδρείας χειροτονηθεὶς, ἐπειδὴ βλασφημεῖν κατὰ τοῦ υἱοῦ τοῦ θεοῦ ἤρξατο, κτίσμα τοῦτον ἀνακηρύττων, ἐξ οὐκ ὄντων τε γενέσθαι, καὶ πόῤῥω ὄντα τῆς θεϊκῆς ἀξίας, καταχρηστικῶς δὲ σοφίαν καὶ λόγον θεοῦ λέγεσθαι. ὡς δῆθεν ἀντικαθιστάμενος Σαβελλίῳ τῷ δυσσεβεῖ, μονοπρόσωπον, καὶ μονοϋπόστατον λέγοντι τὴν θεότητα. ἣν ποτὲ μὲν πατέρα γενέσθαι, ποτὲ δὲ υἱὸν, ποτὲ δὲ πνεῦμα ἅγιον. ταῦτα δὴ τὸν Ἄρειον βλασφημοῦντα, ὁ μέγας Πέτρος τῆς ἱερωσύνης ἀφίστησι, τὸν Χριστὸν ὡς βρέφος ἐπὶ τοῦ θυσιαστηρίου ἰδὼν, διεῤῥωγὸς ἀναβεβλημένον ἱμάτιον, καὶ λέγοντα τὸν Ἄρειον διαῤῥῆξαι αὐτό. Ἀχιλλᾶς δὲ ὁ μετὰ Πέτρον ἀρχιερατεύσας τῆς Ἀλεξάνδρου, ἐπὶ μεταμελείας ὑποσχέσει λύει πάλιν τὸν Ἄρειον, πρὸς δὲ καὶ πρεσβύτερον χειροτονεῖ, καὶ τῆς κατ' Ἀλεξάνδρειαν διδασκαλίας προΐ-

καὶ κρίνετε δικαίως ἀνὰ μέσον ἀνδρὸς, καὶ ἀνὰ μέσον τοῦ ἀδελφοῦ αὐτοῦ, καὶ ἀνὰ μέσον προσηλύτου αὐτοῦ, οὐκ ἐπιγνώσεσθε πρόσωπον ἐν κρίσει, κατὰ τὸν μικρὸν, καὶ κατὰ τὸν μέγα κρινεῖς, οὐ μὴ ὑποστείλῃ πρόσωπον ἀνθρώπου. ὅτι ἡ κρίσις τοῦ θεοῦ ἐστίν.

Τὸ γ. Δευτερονομίου τὸ ἀνάγνωσμα. κεφ. ι.

ΕΙπε Μωσῆς πρὸς τοὺς υἱοὺς Ἰσραήλ. Ἰδοὺ κυρίου τοῦ θεοῦ σου. ὁ οὐρανὸς καὶ ὁ οὐρανὸς τοῦ οὐρανοῦ, ἡ γῆ καὶ πάντα ὅσα ἐστὶν ἐν αὐτῇ, πλὴν τοὺς πατέρας ἡμῶν προείλετο κύριος ἀγαπᾷν αὐτοὺς, καὶ ἐξελέξατο τὸ σπέρμα αὐτῶν μετ' αὐτοὺς ὑμᾶς παρὰ πάντα τὰ ἔθνη κατὰ τὴν ἡμέραν ταύτην, καὶ περιτεμεῖσθε τὴν σκληροκαρδίαν ὑμῶν, καὶ τὸν τράχηλον ὑμῶν οὐ σκληρυνεῖτε. ὁ γὰρ κύριος ὁ θεὸς ἡμῶν, οὗτος θεὸς τῶν θεῶν, καὶ κύριος τῶν κυρίων, ὁ θεὸς ὁ μέγας καὶ ἰσχυρὸς καὶ φοβερὸς, ὅς τις οὐ θαυμάζει πρόσωπον, οὐδ' οὐ μὴ λάβῃ δῶρον, ποιῶν κρίσιν προσηλύτῳ καὶ ὀρφανῷ, καὶ χήρᾳ, καὶ ἀγαπᾷ τὸν προσήλυτον δοῦναι αὐτῷ ἄρτον καὶ ἱμάτιον, καὶ ἀγαπήσετε τὸν προσήλυτον. προσήλυτοι γὰρ ἦτε ἐν γῇ Αἰγύπτῳ. κύριον τὸν θεόν σου φοβηθήσῃ, καὶ αὐτῷ μόνῳ λατρεύσεις, καὶ πρὸς αὐτὸν κολληθήσῃ, καὶ ἐπὶ τῷ ὀνόματι αὐτοῦ ὀμῇ, οὗτος καύχημά σου, καὶ οὗτος θεός σου, ὅς τις ἐποίησέ σοι τὰ μεγάλα καὶ θαυμαστὰ καὶ τὰ ἔνδοξα ταῦτα, ἃ εἴδοσαν οἱ ὀφθαλμοί σου.

[illegible] ζηται φ. ιθ. [illegible] γίων πατέρων. [illegible] Ὁ θεὸς ἐν τοῖς ὠσὶν ἡμῶν ἠκούσαμεν οἱ πατέρες ἡμῶν ἀνήγγειλαν ἡμῖν.

Πλαγίου β.

Τὰς μυστικὰς σήμερον τοῦ πνεύματος σάλπιγγας τοὺς θεοφόρους πατέρας ἀνευφημήσωμεν, τοὺς μελῳδήσαντας ἐν μέσῳ τῆς ἐκκλησίας, μέλος ἐναρμόνιον θεολογίας, Τριάδα μίαν ἀπαράλλακτον οὐσίαν τε καὶ θεότητα, τοὺς καθαιρέτας Ἀρείου, καὶ ὀρθοδόξων προμάχους, τοὺς πρεσβεύοντας πάντοτε κυρίῳ, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν. στίχος β. Εὐλογητὸς εἶ κύριε ὁ θεὸς τῶν πατέρων ἡμῶν καὶ αἰνετὸν καὶ δεδοξασμένον.

Πλαγί δ. ἰδιό.

Ἀποστολικῶν παραδόσεων ἀκριβεῖς φύλακες γεγόνατε ἅγιοι πατέρες, τῆς γὰρ ἁγίας Τριάδος τὸ ὁμοούσιον ὀρθοδόξως δογματίσαντες, Ἀρείου τὸ βλάσφημον συνοδικῶς κατεβάλετε, μεθ' ὃν καὶ Μακεδόνιον, πνευματομάχον ἀπελέγξαντες, κατεκρίνατε Νεστόριον, Εὐτυχέα καὶ Διόσκουρον, Σαβέλλιόν τε, καὶ Σεβῆρον τὸν ἀκέφαλον, ὧν τῆς πλάνης αἰτήσασθε ῥυσθέντας ἡμᾶς ἀκηλίδωτον ἡμῶν τὸν βίον, ἐν τῇ πίστει φυλάττεσθαι δεόμεθα.

Δόξα. [illegible] ἰδιόμ. τῆς ἀναλήψεως. προσ. ἦχος πλαγ. δ'.

Υπερδεδοξασμένος εἶ Χριστὲ ὁ θεὸς τῶν πατέρων ἡμῶν. ὁ φωστῆρας ἐπὶ γῆς τοὺς πατέρας ἡμῶν θεμελιώσας

σας

πατρὶ καὶ πνεύματι σύνθρονον.

Κρημνῷ περιέπεσε τῆς ἁμαρτίας Ἄρειος ὀμμύσας τὸ φῶς μὴ βλέπειν, καὶ θείῳ παραδίδοται ἀγκίστρῳ τοῖς ἐγκάτοις, πᾶσαν ἐκδῦναι τὴν οὐσίαν, καὶ τὴν ψυχὴν βιαίως, ἄλλος Ἰούδας χρηματίσας, τῇ γνώμῃ καὶ τῷ τρόπῳ, ἀλλ' ἡ σύνοδος ἡ ἐν Νικαίᾳ υἱὸν Θεοῦ σε ἀνεκήρυξε κύριε, πατρὶ καὶ πνεύματι σύνθρονον.

Ἄρειος ὁ ἄφρων τῆς παναγίας, τέτμηται τριάδος τὴν μοναρχίαν, εἰς τρεῖς ἀνομοίους τε καὶ ἐκφύλους οὐσίας. ὅθεν πατέρες θεοφόροι, συνελθόντες προθύμως, ζήλῳ πυρούμενοι καθάπερ ὁ πρεσβύτης Ἠλίας, τῷ τοῦ πνεύματος τέμνουσι ξίφει. τὸν τῆς αἰσχύνης δογματίσαντα βλάσφημον, καθὼς τὸ πνεῦμα ἀπεφθέγξατο.

Δόξα καὶ νῦν. τῆς ἀναλήψεως. ἰδιόμελ. προκείμ. τῆς ἡμέρας. καὶ ἀναγν. σημεῖ. γ΄. τὸ α΄. γενέσεως. τὸ ἀνάγνωσμα. κεφ. ιδ΄.

Ἀκούσας Ἀβραμ, ὅτι ᾐχμαλώτευται Λὼτ, ὁ ἀδελφιδοῦς αὐτοῦ ἠρίθμησε τοὺς ἰδίους οἰκογενεῖς αὐτοῦ, τριακοσίους δέκα καὶ ὀκτώ, καὶ κατεδίωξεν ὀπίσω αὐτῶν ἕως Δάν. καὶ ἐπέπεσεν ἐπ' αὐτοὺς τὴν νύκτα αὐτὸς, καὶ οἱ παῖδες αὐτοῦ. καὶ ἐπάταξεν αὐτοὺς καὶ κατεδίωξεν αὐτοὺς ἕως Χαβὰ, ἥ ἐστιν ἐν ἀριστερᾷ Δαμασκοῦ. καὶ ἀπέστρεψε πᾶσαν τὴν ἵππον Σοδόμων. καὶ Λὼτ τὸν ἀδελφιδοῦν αὐτοῦ ἀπέστρεψε, καὶ πάντα τὰ ὑπάρχοντα αὐτοῦ, καὶ τὰς γυναῖκας, καὶ τὸν λαόν. ἐξῆλθε δὲ βασιλεὺς Σοδόμων εἰς συνάντησιν αὐτῷ, μετὰ τὸ ὑποστρέψαι αὐτὸν ἀπὸ τῆς κοπῆς τοῦ Χοδολλογόμορ, καὶ τῶν βασιλέων τῶν μετ' αὐτοῦ εἰς τὴν κοιλάδα τοῦ Σαβῆ. τοῦτο ἦν τὸ πεδίον τῶν βασιλέων. καὶ Μελχισεδὲκ βασιλεὺς Σαλὴμ ἐξήνεγκεν ἄρτους καὶ οἶνον. ἦν δὲ ἱερεὺς τοῦ θεοῦ τοῦ ὑψίστου. καὶ εὐλόγησε τὸν Ἀβραμ, καὶ εἶπεν. εὐλογημένος Ἀβραμ τῷ θεῷ τῷ ὑψίστῳ, ὃς ἔκτισε τὸν οὐρανὸν καὶ τὴν γῆν. καὶ εὐλογητὸς ὁ θεὸς ὁ ὕψιστος, ὃς παρέδωκε τοὺς ἐχθρούς σου ὑποχειρίους σοι.

Τὸ β΄. Δ[illegible] τὸ ἀνάγνωσμα. κε[illegible]

Εἶπε Μωσῆς πρὸς τοὺς υἱοὺς Ἰσραὴλ ἴδετε παραδέδωκα ἐνώπιον ὑμῶν τὴν γῆν, εἰσελθόντες κατακληρονομήσατε τὴν γῆν, ἣν ὤμοσε τοῖς πατράσιν ὑμῶν. τῷ Ἀβραὰμ, καὶ Ἰσαὰκ, καὶ Ἰακὼβ. δοῦναι αὐτὴν αὐτοῖς, καὶ τῷ σπέρματι αὐτῶν μετ' αὐτούς. καὶ εἶπον πρὸς ἡμᾶς ἐν τῷ καιρῷ ἐκείνῳ λέγων. οὐ δυνήσομαι μόνος φέρειν ὑμᾶς, κύριος ὁ θεὸς ἡμῶν ἐπλήθυνεν ὑμᾶς, καὶ ἰδοὺ ἐστὲ σήμερον ὡς τὰ ἄστρα τοῦ οὐρανοῦ τῷ πλήθει. κύριος ὁ θεὸς τῶν πατέρων ἡμῶν, προσθείη ὑμῖν ὡς ἐστὲ χιλιοπλασίως, καὶ εὐλογήσει ἡμᾶς, καθότι ἐλάλησεν ἡμῖν, καὶ ἔλαβον ἐξ ὑμῶν ἄνδρας σοφοὺς καὶ ἐπιστήμονας, καὶ συνετούς. καὶ κατέστησα αὐτοὺς ἡγεῖσθαι ἐφ' ὑμῶν, χιλιάρχους, καὶ ἑκατοντάρχους, καὶ δεκάρχους, καὶ γραμματοεισαγωγεῖς τοῖς κριταῖς ὑμῶν καὶ ἐνετειλάμην τοῖς κριταῖς ὑμῶν ἐν τῷ καιρῷ ἐκείνῳ λέγων. διακούετε ἀνὰ μέσον τῶν ἀδελφῶν ὑμῶν

καὶ

Ἀγγελικῶς οἱ ἐν κόσμῳ πανηγυρίσωμεν, τῷ ἐπὶ θρόνου δόξης Θεῷ ἐποχουμένῳ, κραυγάζοντες τὸν ὕμνον, ἅγιος εἶ ὁ Πατὴρ, ὁ οὐράνιος, ὁ συναΐδιος Λόγος, ἅγιος εἶ, καὶ τὸ Πνεῦμα τὸ πανάγιον. Οἱ Γαλιλαῖοι ὁρῶντες ἀναληφθέντα σε, ἀπὸ τοῦ ἐλαιῶνος, μετὰ σώματος Λόγε, ἤκουον ἀγγέλων βοώντων αὐτοῖς, τί ἑστήκατε βλέποντες, οὗτος ἐλεύσεται πάλιν μετὰ σαρκὸς, καθ' ὃν τρόπον ἐθεάσασθε.

Δόξα [illegible] νῦν [illegible] ἦχος β'.

Σήμερον ὁ Χριστὸς ἐν δόξῃ ἀνελήφθη. σήμερον τὸ γήϊνον πρόσλημμα δόξῃ θείᾳ τιμᾶται. αἱ δυνάμεις τῶν οὐρανῶν ἀγάλλονται. καὶ ἡ γῆ σὺν τοῖς ἀνθρώποις εὐφραίνεται. τὰ ἄνω τοῖς κάτω συνάπτεται. καὶ ὁ χοῦς εἰς οὐρανοὺς ἀναφέρεται. οἱ ἀπόστολοι ἰδόντες ἐξέστησαν. τὸ παράδοξον ὁρῶντες μυστήριον. ἡμεῖς δὲ ἀκαταπαύστως βοῶμεν. δόξα ἐν ὑψίστοις Θεῷ καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.

Δοξολογία μεγάλη. τὸ βασ. ἡ ἐκ[illegible] [illegible] καὶ ἀπο[illegible].



Τῇ ἑ. [illegible] [illegible]ἕως ἑσπέρας. εἰς τὸ [illegible] στιχηρὰ προσό[illegible] γ'. [illegible] μηναίου γ' [illegible] δόξα καὶ νῦν τῆς ἑορτῆς. [illegible].

Ὁ Θεὸς ἡμῶν ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ, πάντα ὅσα ἠθέλησεν ἐποίησεν.

Ἐν ἐξόδῳ Ἰσραὴλ ἐξ Αἰγύπτου.

[illegible]



Τῇ ἐπαύριον εἰς τὸν ὄρθρον [illegible] λογοῦμεν; ἀλλ' ἀπὸ τοῦ Θε[illegible]ος οἱ κανόνες τῆς ἑορτῆς β' τ. ς'. [illegible] μηναίου δ'. μετὰ τὴν δ'ζα [illegible] γ'. καθίσμα τοῦ μηναίου, [illegible] κοντάκιον τῆς ἑορτῆς [illegible] θ'. [illegible] στιχολογοῦμεν. Εἰς τοὺς αἴνους στιχηρὰ [illegible] ἑορτῆς δ', δόξα καὶ νῦν. Σήμερον ὁ Χριστὸς εἰς οὐρανοὺς ἐν δόξῃ. δοξολογία μεγάλη, καὶ ἀπολύσις.

Ἰστέον ὅτι ἡ ἑορτὴ αὐτὴ ἐννα[illegible] ψάλλεται, τῇ γὰρ [illegible] τῆς πεντηκοστῆς αὐτὴν ἀποδίδομεν.



Κυριακῇ ς' ἀπὸ τοῦ πάσχα [illegible] ἁγίων τριακοσίων δέκα καὶ ὀκτὼ [illegible]φόρων πατέρων, τῶν ἐν Νικαίᾳ. Τῷ σαββάτῳ ἑσπέρας στιχηρὰ ἀναστάσιμα. τοῦ πλαγίου β' ἤχου ἑξ [illegible] φ. σίθ. καὶ τῶν ἁγίων πατέρων προσόμοια γ'. ἦχος πλαγ. β'. ἡ ἀπεγνωσμένη.

Ἐκ γαστρὸς ἐτέχθης προεωσφόρου, ἐκ πατρὸς ἀμήτωρ πρὸ τῶν αἰώνων, κἂν Ἄρειος κτίσμα σε, καὶ οὐ Θεὸν δοξάζῃ, τόλμῃ συνάπτων σε τὸν κτίστην, τοῖς κτίσμασιν ἀφρόνως, ὕλην πυρὸς τοῦ αἰωνίου ἑαυτῷ θησαυρίζων. ἀλλ' ἡ σύνοδος ἡ ἐν Νικαίᾳ υἱὸν Θεοῦ σε ἀνεκήρυξε, κύριε

πατρὶ

ἁγνὴ ἐν τῇ γαστρί σου, τὸν τούτοις ἐποχούμενον βαστάσασα. ὃν σὺν ἀσωμάτοις βροτοὶ δοξολογοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

[illegible]. Παῖδας εὐαγεῖς [illegible].

Ὤφθησαν οἱ νόες ἀποστόλοις, ἐν τῇ ἀναλήψει, καὶ ἐφθέγγοντο. τί ἐνατενίζοντες, ἵστασθε θαμβούμενοι, οὗτος ὁ ἀνερχόμενος εἰς τὰ οὐράνια, ἐλεύσεται καὶ πάλιν τοῦ κρῖναι, τοὺς ἐν γῇ ἀνθρώπους. κριτὴς ὑπάρχων μόνος. Ἤρθη ὑπεράνω τῶν ἀγγέλων, ἡ φύσις ἡμῶν ἡ πάλαι ἔκπτωτος, καὶ θρόνῳ ἐνίδρυται θείῳ ὑπὲρ ἔννοιαν. δεῦτε πανηγυρίσωμεν, καὶ ἀνακράξωμεν. τὸν κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας. Ἰδοὺ ὁ υἱός σου θεοτόκε, σκυλεύσας σταυρῷ αὐτοῦ τὸν θάνατον, ἀνέστη τριήμερος. καὶ τοῖς μαθηταῖς αὐτοῦ ἐμφανισθεὶς ἀνέδραμε πρὸς τὰ οὐράνια, μεθ' οὗ σε προσκυνοῦντες ὑμνοῦμεν, καὶ δοξολογοῦμεν εἰς πάντας τοὺς αἰῶνας. ᾠδὴ θ'. ὁ εἱρμός.

Σὲ τὴν ὑπὲρ νοῦν καὶ λόγον μητέρα θεοῦ, τὴν ἐν χρόνῳ τὸν ἄχρονον ἀφράστως κυήσασαν, οἱ πιστοὶ ὁμόφρονες μεγαλύνομεν.

Σὲ τὸν λυτρωτὴν τοῦ κόσμου Χριστὸν τὸν θεόν, οἱ ἀπόστολοι βλέποντες, ἐνθέως ὑψούμενον, μετὰ δέους σκιρτῶντες ἐμεγάλυνον. Σὲ τὴν θεωθεῖσαν σάρκα ὁρῶντες Χριστὲ ἐν τῷ ὕψει οἱ ἄγγελοι, ἀλλήλοις διένευον ἀληθῶς οὗτός ἐστιν ὁ θεὸς ἡμῶν. Σὲ τὸν καταβάντα ἕως ἐσχάτου τῆς γῆς, καὶ τὸν ἄνθρωπον σώσαντα, καὶ τῇ ἀναβάσει σου ἀνυψώσαντα τοῦτον μεγαλύνομεν. Χαῖρε θεοτόκε μήτηρ Χριστοῦ τοῦ θεοῦ, ὃν ἐκύησας σήμερον ἐκ γῆς ἀνιπτάμενον, σὺν ἀγγέλοις ὁρῶσα ἐμεγάλυνες.

ἄλλος. [illegible]. Ἅπας [illegible].

Ὢ τῶν δωρεῶν, τῶν ὑπὲρ κατάληψιν, ὢ μυστηρίου φρικτοῦ. πάντων ὁ δεσπόζων γάρ, ἐκ γῆς ἀπαίρων πρὸς τὰ οὐράνια, τοῖς μαθηταῖς ἀπέστειλε, πνεῦμα τὸ ἅγιον. τὸ φωτίσαν, τούτων τὴν διάνοιαν, καὶ πυρίνους τελέσαν ἐν χάριτι. Σὺ πρὸς μαθητάς, ὁ κύριος ἔφησεν, ὑμεῖς καθίσατε, εἰς Ἱερουσαλήμ, κἀγὼ ἐκπέμψω ὑμῖν παράκλητον. ἄλλον πατρί, τὸν σύνθρονον, κἀμοῦ ὁμότιμον, ὡς ὁρᾶτε ἀναλαμβανόμενον, καὶ νεφέλῃ φωτὸς ἐποχούμενον. Φῶς τὸ ἐκ φωτός, ἐκλάμψαν παναμώμε, ἐκ σοῦ ἀνέτειλε, καὶ τὴν ἀμαυρότητα τῆς ἀθεΐας πᾶσαν διέλυσε, καὶ τοὺς νυκτὶ καθεύδοντας ἐφωταγώγησε. διὰ τοῦτο, πάντες κατὰ χρέος σε, εἰς αἰῶνας ἀεὶ μακαρίζομεν.

Ἐξαποστειλάριον. Τῶν μαθητῶν ὁρώντων σε ἀνελήφθης Χριστέ, πρὸς τὸν πατέρα συνεδριάζων, ἄγγελοι προτρέχοντες ἐκραύγαζον, ἄρατε πύλας ἄρατε, ὁ βασιλεὺς γὰρ ἀνῆλθε, πρὸς τὴν ἀρχίφωτον δόξαν.

Εἰς τοὺς αἴνους [illegible] στιχηρὰ [illegible] ἦχος α'. Τῶν οὐρανίων ταγμάτων.

Οἱ ἀρχηγοὶ τῶν ἀγγέλων καθορῶντες σωτῆρ, τὸ τῆς ἀνόδου ξένον, διηπόρουν ἀλλήλοις, τίς ἡ θέα αὕτη, ἄνθρωπος μὲν τῇ μορφῇ ὁ ὁρώμενος ὡς δὲ θεὸς ὑπεράνω τῶν οὐρανῶν μετὰ σώματος ἀνέρχεται:

Ἀγγε-

τὴν ἄσπορον γέννησιν, δι' ἧς ἐῤῥύσθημεν καταφθορᾶς καὶ κακώσεως, καὶ ζοφερᾶς τοῦ ᾅδου ἀγνὴ καθείρξεως.

Κοντάκιον ἦχος β´.

Τὴν ὑπὲρ ἡμῶν πληρώσας οἰκονομίαν, καὶ τὰ ἐπὶ γῆς ἑνώσας τοῖς οὐρανίοις, ἀνελήφθης ἐν δόξῃ Χριστὲ ὁ θεὸς ἡμῶν, οὐδαμόθεν χωριζόμενος· ἀλλὰ μένων ἀδιάστατος, καὶ βοῶν τοῖς ἀγαπῶσί σε. ἐγώ εἰμι μεθ' ὑμῶν καὶ οὐδεὶς καθ' ὑμῶν. Ὁ οἶκος.

Τὰ τῆς γῆς ἐπὶ τῆς γῆς καταλιπόντες, τὰ τῆς τέφρας τῷ χοῒ παραχωροῦντες. δεῦτε ἀνανήψωμεν καὶ εἰς ὕψος ἐπάρωμεν ὄμματα καὶ νοήματα πετάσωμεν τὰς ὄψεις ὁμοῦ καὶ τὰς αἰσθήσεις. ἐπὶ τὰς οὐρανίους πύλας οἱ θνητοί. νομίσωμεν εἶναι τοῦ ἐλαιῶνος εἰς ὄρος, καὶ ἀτενίζειν τῷ λυτρουμένῳ, ἐπὶ νεφέλης ἐποχουμένῳ· ἐκεῖθεν γὰρ ὁ κύριος εἰς οὐρανοὺς ἀνέδραμεν, ἐκεῖ καὶ ὁ φιλόδωρος τὰς δωρεὰς διένειμε τοῖς ἀποστόλοις αὐτοῦ. καλέσας ὡς πατὴρ καὶ στηρίξας αὐτούς. ὁδηγήσας ὡς υἱούς, καὶ λέξας πρὸς αὐτούς. οὐ χωρίζομαι ὑμῶν. ἐγώ εἰμι μεθ' ὑμῶν καὶ οὐδεὶς καθ' ὑμῶν.

ᾠδὴ ζ´. ὁ εἱρμός.

Ὁ ἐν καμίνῳ πυρὸς τοὺς ὑμνολογήσαντας παῖδας· εὐλογητὸς εἶ ὁ θεὸς ὁ τῶν πατέρων ἡμῶν.

Ὁ ἐν νεφέλῃ φωτός, ἀναληφθεὶς καὶ σώσας κόσμον. εὐλογητὸς εἶ ὁ θεὸς ὁ τῶν πατέρων ἡμῶν. Ἐπὶ τῶν ὤμων Χριστὲ τὴν πλανηθεῖσαν ἄρας φύσιν, ἀναληφθείς, τῷ θεῷ καὶ πατρὶ προσήγαγες. Τὴν νεκρωθεῖσαν ἡμῶν τῇ ἁμαρτίᾳ φύσιν ἄρας, τῷ σῷ ἰδίῳ πατρὶ σῶτερ προσήγαγες. θ´.

Ὁ ἐκ παρθένου τεχθείς, τὴν θεοτόκον ἀπειργάσω. εὐλογητὸς εἶ ὁ θεὸς ὁ τῶν πατέρων ἡμῶν.

ᾠδὴ ϛ´. Ὁ [illegible]

Φωτεινήσε φῶς ὑπάρχοντα, ὑπέλαβε νεφέλη κύριε, ἀπὸ τῆς γῆς ὑπὲρ νοῦν, ἀναλαμβανόμενον, καὶ ἐπουράνιοι δῆμοι ἤνεσαν, σὺν ἀποστόλοις λέγοντες. ὁ θεὸς εὐλογητὸς εἶ. Χεῖρας ἅπαντες γηθόμενοι, κροτήσωμεν τῇ ἀναλήψει Χριστοῦ. καὶ ἀλαλάξωμεν, ἀνέβη ὁ κύριος ἐν φωνῇ σάλπιγγος, καὶ ἐκάθισεν ἐκ δεξιῶν, ὡς σύνθρονος, τοῦ πατρὸς εἰς τοὺς αἰῶνας. θ´. Ὢ θαυμάτων παραδόξων, πῶς ἐχώρησας θεὸν ἀχώρητον θεοχαρίτωτε, τὸν σάρκα πτωχεύσαντα, καὶ μετὰ δόξης πολλῆς, εἰς οὐράνια ἀναληφθέντα σήμερον καὶ θεώσαντα ἀνθρώποις.

ᾠδὴ η´. ὁ εἱρμός.

Τὸν ἐκ πατρὸς πρὸ αἰώνων γεννηθέντα υἱὸν καὶ θεόν, καὶ ἐπ' ἐσχάτων τῶν χρόνων σαρκωθέντα ἐκ παρθένου μητρός, ἱερεῖς ὑμνεῖτε, λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Τὸν ἐνδυσάμενον τοῦ ὕπαις ἀναπλάττοντα ζωοδότην Χριστόν, εἰς οὐρανοὺς μετὰ δόξης, καὶ πατρὶ συγκαθεζόμενον. ἱερεῖς ὑμνεῖτε, λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας. Τὸν ἐκ δουλείας τῶν εἰδώλων τὴν κτίσιν λυτρωσάμενον, καὶ παραστήσαντα ταύτην ἐλευθέραν τῷ ἰδίῳ πατρὶ σὲ σωτὴρ ὑμνοῦμεν, καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας. Τὸν τῇ αὐτοῦ καταβάσει καθελόντα τὸν ἀντίπαλον, καὶ τῇ αὐτοῦ ἀναβάσει συνδοξάσαντα τὸν ἄνθρωπον. ἱερεῖς ὑμνεῖτε. Τῶν χερουβὶμ ὑπερτέρα ἀνεδείχθης δέσποινα

ἁγνὴ

καὶ τούτους ἀλλ' ὅσοι, καὶ τοῖς φωσφόροις νεφέλη ἐποχούμενος κόλποις ἔφθασεν, οὗς οὐδαμῶς καταλέλοιπε. Κόσμος ὅλος ἑορτάζει, ὁρατὸς καὶ ἀόρατος, ἐναγαλλιάσει, ἄγγελοι ἀριστῶσι καὶ ἄνθρωποι δοξολογοῦντες ἀπαύστως, τὴν ἀνάληψιν, τῆς σαρκὶ ἑνωθέντος ἡμῖν ἀγαθότητι. Μακαρία ἡ κοιλία σου πανάμωμε γέγονε, τὸν γὰρ τὴν κοιλίαν ἅδου ὑπερδόξως κενώσαντα, ἀνερμηνεύτως χωρῆσαι κατηξίωσαι, ὃν ἱκέτευε σῶσαι ἡμᾶς τοὺς ὑμνοῦντάς σε.

ᾠδὴ ε'. ὁ εἱρμός.

Ὀρθρίζοντες βοῶμέν σοι κύριε. σῶσον ἡμᾶς· σὺ γὰρ εἶ θεὸς ἡμῶν, ἐκτός σου ἄλλον οὐκ οἴδαμεν.

Πληρώσας εὐφροσύνης τὰ σύμπαντα ἐλεήμον, ταῖς ἄνω δυνάμεσι, μετὰ σαρκὸς ἐπεδήμησας. Ἀγγέλων αἱ δυνάμεις αἰρόμενον σὲ ἰδοῦσαι, τὰς πύλας ἐκραύγαζον τῷ βασιλεῖ ἡμῶν ἄρατε. Θ. Π αρθένον μετὰ τόκον, ὑμνοῦμέν σε θεοτόκε, σὺ γὰρ τὸν θεὸν λόγον σαρκὶ τῷ κόσμῳ ἐκύησας.

ἄλλος. ὁ εἱρμός. Ἐξέστη τὰ σύμπαντα.

Νεκρώσας τὸν θάνατον, τῷ σῷ θανάτῳ κύριε. λαβὼν οὓς ἠγάπησας ἀνῆλθες, τοῦ ἐλαιῶνος εἰς ὄρος ἅγιον, κἀκεῖθεν ἀνέδραμες Χριστὲ, πρὸς τὸν συγγεννήτορα, νεφέλῃ ἐποχούμενος. Ὁρῶντες ἐφθέγγοντο, τοῖς ἀποστόλοις ἄγγελοι, ἄνδρες Γαλιλαῖοι, τί ἐκθαμβεῖσθε τῇ ἀναλήψει τοῦ ζωοδότου Χριστοῦ; οὗτος ἥξει πάλιν ἐπὶ γῆς, κρῖναι κόσμον ἅπαντα, ὡς κριτὴς δικαιότατος. Θ. Π αρθένον φυλάξας σε, μετὰ τὸν τόκον ἄφθορον, ἄνεισι Χριστὸς πρὸς τὸν πατέρα θεογεννήτορ, ὃν οὐ κατέλιπεν, εἰ καὶ σάρκα εἴληφεν ἐκ σοῦ ἔννουν τε, καὶ ἔμψυχον, δι' ἔλεος ἄφατον.

ᾠδὴ ς'. ὁ εἱρμός.

Ἐκύκλωσε με ἄβυσσος [illegible] τὸ κῆτος [illegible] πρὸς σὲ τὸν φιλάνθρωπον [illegible] καὶ [illegible] με ἡ δεξιά σου [illegible].

Ἐσκίρτησαν ἀπόστολοι, ὁρῶντες μετάρσιον σήμερον, τὸν ποιητὴν αἰρόμενον ἐλπίδι τοῦ πνεύματος, καὶ φόβῳ ἐκραύγαζον. δόξα τῇ ἀνόδῳ σου. Ἐπέστησαν ἄγγελοι. βοῶντες Χριστὲ τοῖς μαθηταῖς σου, ὃν τρόπον κατίδετε, Χριστὸν ἀνερχόμενον, σαρκὶ ἐλεύσεται, δίκαιος πάντων κριτής. Ὡς εἶδόν σε σωτὴρ ἡμῶν, δυνάμεις αἱ οὐράνιαι, εἰς ὕψος αἰρόμενον σὺν σώματι, ἐκραύγαζον λέγουσαι. μεγάλη δέσποτα ἡ φιλανθρωπία σου. Θ. Π άτον σε ἀκατάφλεκτον, καὶ ὄρος καὶ κλίμακα ἔμψυχον. καὶ πύλην οὐράνιον, ἀξίως δοξάζομεν Μαρία ἔνδοξε ὦ θεοδόξων καύχημα.

ἄλλος. Τὴν θείαν ταύτην.

Ῥανάτωσαν ἡμῖν ἄνωθεν νεφέλαι, εὐφροσύνην αἰώνιον, Χριστὸς νεφέλῃ γὰρ, ὡς χερουβὶμ ἐποχούμενος, πρὸς τὸν αὐτοῦ πατέρα ἄνεισι σήμερον. Σαρκὸς φανεὶς ὁμοιώματι, τὰ πρώην συνεστῶτα συνήγαγες. εἰς ἓν φιλάνθρωπε, καὶ ἀνελήφθης ὁρώντων σου, τῶν μαθητῶν οἰκτίρμων πρὸς τὰ οὐράνια. Θ. Υ μνοῦμεν κόρη τὴν σύλληψιν. ὑμνοῦμέν σου τὴν

πρὸς τὸν αὐτοῦ πατέρα, ὅνπερ οὐ κατέλιπε κἂν σάρκα εἴληφεν.

ᾠδὴ γ΄. ὁ εἱρμός.

Δυνάμει τοῦ σταυροῦ σου Χριστὲ, στερέωσον τὸν νοῦν μου εἰς τὸ ὑμνεῖν καὶ δοξάζειν τὴν σωτήριον ἀνάληψιν.

Ἀνῆλθες ζωοδότα Χριστὲ, πρὸς τὸν πατέρα καὶ ἀνύψωσας ἡμῶν τὸ γένος φιλάνθρωπε τῇ ἀφάτῳ εὐσπλαγχνίᾳ σου. Ἐξίσταντο ἀγγέλων χοροὶ, Χριστὲ ὁρῶντες μετὰ σώματος ἀναληφθέντα καὶ ἀνύμνουν τὴν ἁγίαν σου ἀνάληψιν. Τὴν φύσιν τῶν ἀνθρώπων Χριστὲ, φθορᾷ πεσοῦσαν ἐξανέστησας· καὶ τῇ ἀνόδῳ σου ὑψώσας, καὶ σὺν σοὶ ἡμᾶς ἐδόξασας. θ΄. Ἱκέτευε ἀπαύστως ἁγνὴ τὸν προσελθόντα ἐκ λαγόνων σου. ῥυσθῆναι πλάνης διαβόλου τοὺς ὑμνοῦντάς σε μητέρα θεοῦ.

ἄλλος ὁ εἱρμός. Τοὺς σοὺς ὑμνολόγους.

Ἐπάρατε πύλας οὐρανίους, ἰδοὺ παραγέγονε Χριστὸς, ὁ βασιλεὺς τῆς κτίσεως, σῶμα φορέσας γήϊνον, ταῖς ἀνωτέραις ἔλεγον. δυνάμεσιν αἱ κατώτεραι. Ἡ γῆ ἑορτάζει καὶ χορεύει, ἀγάλλεται καὶ ὁ οὐρανὸς, τῇ ἀναλήψει σήμερον, τοῦ ποιητοῦ τῆς κτίσεως, τοῦ περιφανῶς ἑνώσαντος, τὰ διεστῶτα βουλήματι. θ. Θανάτου τεκοῦσα καθαιρέτην, τὸν μόνον ἀθάνατον θεὸν, παρθενομῆτορ ἄχραντε, τοῦτον ἀεὶ ἱκέτευε, τὰ θανατοῦντα πάθη με ἀπονεκρῶσαι καὶ σῶσαί με.

Κάθισμα. ἦχος πλάγιος δ΄. Τὴν σοφίαν τοῦ λόγου.

Ἐπιβὰς ἐν νεφέλαις τῶν οὐρανῶν. καταλείψας εἰρήνην τοῖς ἐπὶ γῆς. ἀνῆλθες καὶ ἐκάθισας τοῦ πατρὸς δεξιόθεν, ὡς ὁμοούσιος τούτῳ ὑπάρχων, καὶ πνεύματι. καὶ ἐν σαρκὶ γὰρ ὤφθης, ἀλλ᾽ ἄτρεπτος ἔμεινας, ὅθεν ἀναμένεις συντελείας τὸ πέρας, τοῦ κρῖναι ἐρχόμενον, ἐπὶ γῆς κόσμον ἅπαντα δικαιοκρίτα κύριε, φεῖσαι τῶν ψυχῶν ἡμῶν, τῶν πταισμάτων ἄφεσιν δωρούμενος, ὡς θεὸς ἐλεήμων τοῖς δούλοις σου. Δόξα καὶ νῦν τὸ αὐτό.

ᾠδὴ δ΄. ὁ εἱρμός.

Εἰσακήκοα κύριε τὴν ἀκοὴν τῆς δυναστείας τοῦ σταυροῦ σου ὡς ὁ παράδεισος ἠνοίγη δι᾽ αὐτοῦ, καὶ ἐβόησα δόξα τῇ δυνάμει σου κύριε.

Ἀνελήφθης ἐν δόξῃ, ὁ τῶν ἀγγέλων βασιλεὺς, τὸν παράκλητον ἡμῖν ἐκ τοῦ πατρὸς ἀποστελῶν. διὸ βοῶμεν δόξα Χριστὲ τῇ ἀναλήψει σου. Ὡς ἀνῆλθες ὁ σωτὴρ, πρὸς τὸν πατέρα σαρκὶ, κατεπλάγησαν αὐτῷ αἱ τῶν ἀγγέλων στρατιαὶ, καὶ ἐβόησαν. δόξα Χριστὲ τῇ ἀναλήψει σου. Αἱ τῶν ἀγγέλων δυνάμεις ταῖς ἀνωτέραις ἐβόων, πύλας ἄρατε Χριστῷ τῷ ἡμετέρῳ βασιλεῖ. ὃν ἀνυμνοῦμεν ἅμα πατρὶ, καὶ τῷ πνεύματι. θ. Ἡ παρθένος ἔτεκε, καὶ τὰ μητέρων οὐκ ἔγνω, ἀλλὰ μήτηρ μέν ἐστι, παρθένος δὲ διέμεινεν. ἣν ἀνυμνοῦντες χαῖρε θεοτόκε κραυγάζομεν.

ἄλλος ὁ εἱρμός. Ὁ καθήμενος ἐν δόξῃ.

Ἰησοῦς ὁ ζωοδότης, προσλαβὼν οὓς ἠγάπησεν. ἐλαιῶν εἰς ὄρος, αἴρει

καὶ

στόλοι τῷ ἀτενίζειν ἀποκαμόντες, ὑπέστρεψαν ἀπὸ τοῦ ὄρους τῶν ἐλαιῶν. ἔγγιστα δὲ τοῦτό ἐστι τῆς Ἱερουσαλὴμ δισχιλίοις τεσσαράκοντα ποδῶν βήμασι διέχον αὐτῆς. τοῦτο γάρ ἐστιν ἡ τοῦ σαββάτου ὁδός. οὕτω δὲ νενομοθέτηται τῷ Μωϋσῇ ἐπὶ τοσούτοις βήμασι τῷ σαββάτῳ περιπατεῖν, ὅτι περ καὶ ἡ σκηνὴ τοῦ μαρτυρίου τοσούτοις βήμασι ποδῶν ὑπῆρχεν, ἀφισταμένη τῆς τῶν Ἰουδαίων παρεμβολῆς. ἐξῆν γὰρ ἐκεῖσε, καὶ ἐν σαββάτῳ ἀπιέναι τινὰς προσκυνήσοντας. καὶ μὴ πλέον τὴν πορείαν ἐκτείνειν. διὰ τοῦτο ἐκλήθη καὶ σαββάτου ὁδός. δοκεῖ δέ τισιν ἐντεῦθεν, ὅτι καὶ ἡ τοῦ Χριστοῦ ἀνάληψις ἐν σαββάτῳ ἐγένετο. ὅπερ τέως ἀπίθανον. ὑποστρέψαντες δὲ οἱ ἀπόστολοι ἀνέβησαν ἐν τῷ ὑπερῴῳ, ἐν ᾧ ἦσαν καταμένοντες σὺν ταῖς μυροφόροις γυναιξὶ, καὶ τῇ τοῦ λόγου μητρὶ, νηστείᾳ καὶ προσευχῇ, καὶ δεήσει σχολάζοντες, καὶ τὴν ἐπιφοίτησιν τοῦ παναγίου πνεύματος ἐκδεχόμενοι, ὡς ἡ ὑπόσχεσις. Ὁ ἀναληφθεὶς ἐν δόξῃ Χριστὲ ὁ θεὸς ἡμῶν. ἐλέησον ἡμᾶς. ἀμήν.

Οἱ ἀναβαθμοὶ τοῦ δ΄ ἤχου. ἀντίφωνον ἕν. [illegible] ἦχος δ΄. Ἀνέβη ὁ θεὸς ἐν ἀλαλαγμῷ, κύριος ἐν φωνῇ σάλπιγγος. [illegible] Πάντα τὰ ἔθνη κροτήσατε χεῖρας. Πᾶσα πνοή, Εὐαγγέλιον ἑωθινὸν γ΄. ὁ ρ΄. ἔτι χρόνος [illegible] μετὰ τὸ εἱρμοῦ. ἦχος πλάγιος α΄. ᾠδὴ α΄. Ἰωάννου [illegible] ὁ εἱρμός.

Τ [illegible]

[illegible]

Ἄσωμεν πάντες λαοὶ, τῷ ἐπὶ ὤμων χερουβὶμ ἀναληφθέντι μετὰ δόξης Χριστῷ, καὶ συγκαθίσαντι ἡμᾶς ἐν δεξιᾷ τοῦ πατρός. ᾠδὴν ἐπινίκιον, ὅτι δεδόξασται. Τὸν μεσίτην θεοῦ, καὶ ἀνθρώπων χοροὶ ἀγγέλων θεασάμενοι, μετὰ σαρκὸς ἐν ὑψίστοις ἐξεπλήττοντο. συμφώνως δὲ ἀνέμελπον ὕμνον ἐπινίκιον. Τῷ ὀφθέντι θεῷ, ἐπὶ τοῦ ὄρους Σινᾶ, καὶ νόμον δόντι θεόπτῃ Μωσεῖ, τῷ ἐλαιῶν ἐκ τοῦ ὄρους ἀναληφθέντι σαρκὶ, αὐτῷ πάντες ᾄσωμεν. ὅτι δεδόξασται. Ἄχραντε μήτηρ θεοῦ. τὸν σαρκωθέντα ἐκ σοῦ, καὶ ἐκ τῶν κόλπων τοῦ γεννήτορος μὴ ἐκφοιτήσαντα θεὸν, ἀπαύστως πρέσβευε, ἐκ πάσης περιστάσεως σῶσαι οὓς ἔπλασεν.

Ἕτερος κανὼν τοῦ κυρίου Ἰωάννου. ἦχος δ΄. ᾠδὴ α΄. ὁ εἱρμός. Ἀνοίξω τὸ στόμα μου.

Ἀνέστης σήμερος, ὁ κατὰ φύσιν ἀθάνατος, καὶ ὤφθης τοῖς ἕνδεκα, καὶ πᾶσι τοῖς μαθηταῖς, καὶ ἀνέδραμες Χριστὲ πρὸς τὸν πατέρα, νεφέλῃ ὀχούμενος ὁ τοῦ παντὸς ποιητής. Ἰηράσαντα κύριε, κόσμον πολλοῖς ἁμαρτήμασι, καινίσας τῷ πάθει σου καὶ τῇ ἐγέρσει σου, ἀνελήλυθας ὀχούμενος νεφέλῃ, πρὸς τὰ ἐπουράνια. δόξα τῇ δόξῃ σου. [illegible] Δεσπότην ἐκύησας, πάντων πανάμωμε δέσποινα, τὸν πάθος ἑκούσιον καταδεξάμενον, καὶ ἀνελθόντα πρὸς

λάνθρωπε. Δόξα [illegible] τὸ αὐτό. [illegible]

ΤΗ αὐτῇ ἡμέρᾳ τῇ πέμπτῃ τῆς ἕκτης ἑβδομάδος ἀπὸ τοῦ πάσχα. τὴν ἀνάληψιν ἑορτάζομεν τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ἐπειδὴ γὰρ τοῖς μαθηταῖς συνὼν περὶ τοῦ παθεῖν, τὴν τοῦ παναγίου πνεύματος ἐπηγγείλατο παρουσίαν, εἰπών. συμφέρει, ἵνα ἀπέλθω. ἐὰν γὰρ ἐγὼ μὴ ἀπέλθω, ὁ παράκλητος οὐκ ἐλεύσεται. καὶ πάλιν, ὅταν δὲ ἔλθῃ ἐκεῖνος διδάξει ὑμᾶς εἰς πᾶσαν τὴν ἀλήθειαν, μετὰ τὸ ἐκ νεκρῶν ἀναστῆναι, ἐν ἡμέραις τεσσαράκοντα αὐτοῖς ὀπτανόμενος, οὐκ ἀεὶ ἀλλ' ἐκ διαλειμμάτων συνεσθίων τε αὐτοῖς καὶ πίνων, βεβαιοτέραν τὴν ἀνάστασιν παριστῶν. τό τε λοιπὸν πολλὰ περὶ τῆς τοῦ θεοῦ βασιλείας ἐπαγγειλάμενος παρηγγύα τούτοις ἀπὸ Ἱερουσαλὴμ μὴ χωρίζεσθαι, ἀλλ' ἐκεῖσε μένοντας τὴν τοῦ παναγίου πνεύματος παρουσίαν ἐκδέχεσθαι, βαπτισθησομένοις, καὶ δι' αὐτοῦ. ἐν ὕδατι γὰρ καὶ μόνῳ ἦσαν βαπτισθέντες τὸ πρότερον ὑπὸ Ἰωάννου, κἂν ἐσύστερον ὁ Ἐπιφάνιος Κύπρου ἱστόρησεν. ὅτι ὁ μὲν θεολόγος Ἰωάννης τὴν θεοτόκον βαπτίζει. ὁ Πέτρος δὲ καὶ αὐτὸς πάλιν τοὺς τῶν ἀποστόλων λοιπούς. παρήγγειλε δὲ αὐτοῖς μένειν εἰς Ἱερουσαλὴμ, ἵνα ἐκεῖσε πρῶτον τὸ κήρυγμα τοῦ εὐαγγελίου βεβαιωθῇ, μήπως εἰς ἀλλοτρίους ἀπόντας τόπους οἱ ἐχθροὶ διαβάλλοιντο. καὶ ὅτι ἐχρῆν καθάπερ εἶπεν ἂν στρατιώτας ἐν τεῦθεν περισκευασθῆναι τοῖς ὅπλοις τοῦ πνεύματος. καὶ οὕτως εἰς μάχην χωρῆσαι τοῖς ἐχθροῖς τοῦ Χριστοῦ. ἐπεὶ δ' ὁ καιρὸς ἐπέστη τῆς ἀναλήψεως ἐξάγει μὲν αὐτοὺς ἐπὶ τὸ ὄρος τῶν ἐλαιῶν. καλεῖται δὲ οὕτως. ὅτι πλείσταις ἐλαίαις κατάφυτον ἦν, καὶ διαλεγόμενος αὐτοῖς περὶ τῆς εἰς τὰ πέρατα αὐτοῦ ἀνακηρύξεως. ἔτι δὲ καὶ περὶ ἀκαταλύτου αὐτοῦ βασιλείας τῆς ἐν τῷ μέλλοντι. ἐπειδὴ κἀκείνοις οὐδέ ποτε ἐρωτᾷν μέλλοντας ἑώρα, παρούσης ἐκεῖσε καὶ τῆς ἀχράντου αὐτοῦ μητρὸς, ἐφίστησιν ἀγγέλους αὐτοῖς, τὴν εἰς οὐρανοὺς ἄνοδον ὑποδείξαντας, καὶ δὴ βλεπόντων ἐπήρθη ἐκ τοῦ μέσου αὐτῶν, νεφέλης ἐκεῖνον ὑπολαβούσης, καὶ οὕτω ὑπὸ τῶν ἀγγέλων παραπεμπόμενος, διακελευομένων ἀλλήλοις, τὴν οὐρανίων θυρῶν ἔπαρσιν, καὶ καταπληττομένων, τὸ ἐξ αἱμάτων τῆς σαρκὸς αὐτοῦ ἐρυθρὸν, ἀνέβη καὶ ἐκάθισεν ἐκ δεξιῶν τοῦ πατρὸς, θεώσας τὴν σάρκα, καὶ θαρρεῖν λέγειν ποιήσας ταύτην ὁμόθεον, δι' ἧς ἡμεῖς κατηλλάγημεν τῆς ἀρχαίας ἔχθρας διαλυθείσης, τοῖς μέντοι ἀποστόλοις ἄγγελοι ἐν εἴδει ἀνδρῶν ἐπέστησαν λέγοντες. ἄνδρες Γαλιλαῖοι τί ἑστήκατε καταπληττόμενοι καὶ εἰς οὐρανὸν ἀτενίζοντες. οὗτος ὃν βλέπετε μετὰ σαρκὸς θεὸν τὸν Ἰησοῦν, οὕτως ἐλεύσεται πάλιν, μετὰ σαρκὸς δηλαδὴ, πλὴν οὐχ' ὡς πρότερον πενιχρῶς τε καὶ ἡσυχῇ, ἀλλὰ μετὰ δόξης μεγάλης, καθὼς νῦν ὁρᾶτε ὑπὸ ἀγγέλων παραπεμπόμενον. τότε οἱ ἀπό-

στολοι

μῶν· οὗτός ἐστιν ἀληθῶς ὁ βασιλεὺς τῆς δόξης· καὶ ἵνα τί αὐτοῦ ἐρυθρὰ τὰ ἱμάτια ἐκ Βοσὸρ ἥξει, ὅπερ ἐστὶ τῆς σαρκός. αὐτὸς δὲ ὡς θεὸς ἐν δεξιᾷ καθίσας τῆς μεγαλοσύνης, ἀπέστειλας ἡμῖν τὸ πνεῦμα τὸ ἅγιον· ἵνα ὁδηγήσῃ καὶ σώσῃ τὰς ψυχὰς ἡμῶν. στίχος α. Πάντα τὰ ἔθνη κροτήσατε χεῖρας, ἀλαλάξατε τῷ θεῷ ἐν φωνῇ ἀγαλλιάσεως.

Ἦχος πλάγιος β΄.

Κύριε τῆς οἰκονομίας πληρώσας τὸ μυστήριον, παραλαβὼν τοὺς σοὺς μαθητὰς εἰς τὸ ὄρος τῶν ἐλαιῶν ἀνελάμβανες. καὶ ἰδοὺ τὸ στερέωμα τοῦ οὐρανοῦ παρῆλθες, ὁ δι᾽ ἐμὲ πτωχεύσας κατ᾽ ἐμὲ, καὶ ἀναβὰς ὅθεν οὐκ ἐχωρίσθης, τὸ πανάγιόν σου πνεῦμα ἐξαπόστειλον, φωτίζον τὰς ψυχὰς ἡμῶν. στίχος β. Ἀνέβη ὁ θεὸς ἐν ἀλαλαγμῷ, κύριος ἐν φωνῇ σάλπιγγος.

Ἦχος πλαγίου δ΄.

Σήμερον ἐν οὐρανοῖς αἱ ἄνω δυνάμεις τὴν ἡμετέραν φύσιν θεώμεναι, θαυμάζουσαι τοῦ ξένου τρόπου τὴν ἄνοδον. διηπόρουν ἀλλήλαις λέγουσαι τίς οὗτος ὁ παραγινόμενος; βλέπουσαι δὲ τὸν οἰκεῖον δεσπότην τὰς οὐρανίους πύλας αἴρειν διεκελεύοντο. μεθ᾽ ὧν ἀπαύστως ὑμνήσωμεν, τὸν μετὰ σαρκὸς ἐκεῖθεν πάλιν ἐρχόμενον, ὡς κριτὴν τῶν ἁπάντων καὶ θεὸν παντοδύναμον.

Δόξα καὶ νῦν. πλάγιος β΄.

Κύριε ἀπόστολοι ὡς εἶδόν σε ἐν νεφέλαις ἐπαιρόμενον, ὀδυρμοῖς δακρύων ζωοδότα Χριστὲ, κατηφείας πληρούμενοι θρηνοῦντες ἔλεγον. δέσποτα μὴ ἐάσῃς ἡμᾶς ὀρφανοὺς, οὓς δι᾽ οἶκτον ἠγάπησας δούλους σου ὡς εὔσπλαγχνος, ἀλλ᾽ ἀπόστειλον ὡς ὑπέσχου ἡμῖν τὸ πανάγιόν σου πνεῦμα φωταγωγοῦν τὰς ψυχὰς ἡμῶν.

Τροπάριον ἦχος δ΄.

Ἀνελήφθης ἐν δόξῃ Χριστὲ ὁ θεὸς ἡμῶν χαροποιήσας τοὺς μαθητὰς τῇ ἐπαγγελίᾳ τοῦ ἁγίου πνεύματος. βεβαιωθέντων αὐτῶν διὰ τῆς εὐλογίας. ὅτι σὺ εἶ ὁ υἱὸς τοῦ θεοῦ ὁ λυτρωτὴς τοῦ κόσμου.

Τὸ αὐτὸ τροπάριον καὶ εἰς τὸ ἀπόδειπνον καὶ ὁ κανὼν τοῦ μηναίου. εἶτα μετὰ τὸ τρισάγιον πάλιν τὸ αὐτὸ τροπάριον. γίνεται δὲ καὶ ἐκτενὴς τῶν κοιμηθέντων πατέρων. Τὸ κύριε ἐλέησον ιβ. καὶ ἀπόλυσις.

Εἰς τὸν ὄρθρον εἰς τὸ θεὸς κύριος. τροπάριον γ΄. στιχολογοῦμεν ἀντίφωνα γ΄. Τὸ α΄. ψαλμ. μϛ΄. φ. λα΄. Πάντα τὰ ἔθνη κροτήσατε. Τὸ β΄. ψαλμ. νϛ΄. φ. λζ΄. Ἐλέησόν με ὁ θεὸς ἐλέησόν με. Τὸ γ΄. ψαλμ. κβ΄. καὶ κγ΄. ὁμοῦ φυλ. ιγ΄. καὶ ιδ΄. Κύριος ποιμαίνει με. καί. Τοῦ κυρίου ἡ γῆ. εἶτα καθίσματα ἦχος α΄.

Τοῦ λίθου σφραγισθέντος

Ἀγγέλων θαυμαζόντων τῆς ἀνόδου τὸ ξένον, καὶ μαθητῶν ἐκπληττομένων τὸ φρικτὸν τῆς ἐπάρσεως, ἀνῆλθες μετὰ δόξης ὡς θεὸς, καὶ πύλαι σοι ἐπήρθησαν σωτήρ. διὰ τοῦτο αἱ δυνάμεις τῶν οὐρανῶν ἐθαύμαζον βοῶσαι. δόξα τῇ καταβάσει σου σωτὴρ, δόξα τῇ βασιλείᾳ σου, δόξα τῇ ἀναλήψει σου μόνε φι-

καὶ τοὺς λίθους ἐκ τῆς ὁδοῦ διαῤῥίψατε, ἐξάρατε σύσσημον εἰς τὰ ἔθνη. Ἰδοὺ γὰρ κύριος ἐποίησεν ἀκουστὸν ἕως ἐσχάτου τῆς γῆς. εἴπατε τῇ θυγατρὶ Σιὼν, ἰδοὺ ὁ σωτήρ σου παραγέγονεν ἔχων τὸν παρ᾽ αὐτοῦ μισθὸν, καὶ τὸ ἔργον αὐτοῦ πρὸ προσώπου αὐτοῦ. καὶ καλέσει αὐτὸν λαὸν ἅγιον, λελυτρωμένον ὑπὸ κυρίου, σὺ δὲ κληθήσῃ ἐπιζητουμένη πόλις, καὶ οὐκ ἐγκαταλελειμμένη. Τίς οὗτος ὁ παραγινόμενος ἐξ Ἐδώμ; ἐρύθημα ἱματίων ἐκ Βοσόρ; οὕτως ὡραῖος ἐν στολῇ, βίᾳ μετὰ ἰσχύος; ἐγὼ διαλέγομαι δικαιοσύνην καὶ κρίσιν σωτηρίου, καὶ διατί σου ἐρυθρὰ τὰ ἱμάτια, καὶ τὰ ἐνδύματά σου ὡς ἀπὸ πατητοῦ ληνοῦ πλήρης καταπεπατημένης; ληνὸν ἐπάτησα μονώτατος, καὶ τῶν ἐθνῶν οὐκ ἔστιν ἀνὴρ μετ᾽ ἐμοῦ; καὶ κατεπάτησα αὐτοὺς ἐν τῷ θυμῷ μου, καὶ κατέθλασα αὐτοὺς ὡς γῆν, καὶ κατήγαγον τὸ αἷμα αὐτῶν εἰς γῆν, ἡμέρα γὰρ ἀνταποδόσεως ἐπῆλθεν αὐτοῖς, καὶ ἐνιαυτὸς λυτρώσεως πάρεστι. καὶ ἐπέβλεψα καὶ οὐκ ἦν ὁ βοηθός. καὶ προσενόησα, καὶ οὐδεὶς ἀντελαμβάνετο. καὶ ἐῤῥύσατο αὐτοὺς ὁ βραχίων μου, καὶ ὁ θυμός μου ἐπέστη, καὶ κατεπάτησα αὐτοὺς τῇ ὀργῇ μου, καὶ κατήγαγον τὸ αἷμα αὐτῶν εἰς γῆν. τὸν ἔλεον κυρίου ἐμνήσθην, τὰς ἀρετὰς κυρίου ἐν πᾶσιν οἷς ἡμῖν ἀνταποδίδωσι. κύριος κριτὴς ἀγαθὸς τῷ οἴκῳ Ἰσραὴλ, ἐπάγει ἡμῖν κατὰ τὸ ἔλεος αὐτοῦ καὶ κατὰ τὸ πλῆθος τῆς δικαιοσύνης αὐτοῦ. καὶ εἶπεν οὐχ ὁ λαός μου; τέκνα οὐ μὴ ἀθετήσωσι. καὶ ἐγένετο αὐτοῖς εἰς σωτηρίαν ἐκ πάσης θλίψεως αὐτῶν. οὐ πρέσβυς, οὐδ᾽ ἄγγελος, ἀλλ᾽ αὐτὸς ὁ κύριος ἔσωσεν αὐτοὺς, διὰ τὸ ἀγαπᾶν αὐτοὺς, καὶ φείδεσθαι αὐτῶν. αὐτὸς ἐλυτρώσατο αὐτοὺς, καὶ ἀνέλαβεν αὐτοὺς, καὶ ὕψωσεν αὐτοὺς πάσας τὰς ἡμέρας τοῦ αἰῶνος.

Τὸ γ. Προφητείας Ζαχαρίου κ. ιδ.

Τάδε λέγει κύριος. ἰδοὺ ἡμέρα ἔρχεται κυρίου. καὶ στήσονται οἱ πόδες αὐτοῦ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐπὶ τὸ ὄρος τῶν ἐλαιῶν, τὸ κατέναντι Ἱερουσαλὴμ ἐξ ἀνατολῶν. καὶ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐξελεύσεται ὕδωρ ζῶν ἐξ Ἱερουσαλὴμ, τὸ ἥμισυ αὐτοῦ εἰς τὴν θάλασσαν τὴν ἐσχάτην, ἐν θέρει καὶ ἔαρ ἔσται οὕτω. καὶ ἔσται κύριος εἰς βασιλέα ἐπὶ πᾶσαν τὴν γῆν. ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἔσται κύριος εἷς, καὶ τὸ ὄνομα αὐτοῦ ἕν, κυκλοῦν πᾶσαν τὴν γῆν, καὶ τὴν ἔρημον ἀπὸ γαβαὰ ἕως ῥεμβὼν κατὰ νότον Ἱερουσαλήμ. καὶ ὑψωθήσεται καὶ ἐπὶ τοῦ τόπου μενεῖ, ἀπὸ τῆς πύλης τῆς πρώτης, ἕως τῆς πύλης τοῦ Γομόρ. καὶ ἕως τοῦ πύργου ἀναμεὴλ, καὶ ἕως τοῦ πύργου τῶν γωνιῶν, καὶ ἕως τῶν ὑπολινίων τοῦ βασιλέως καὶ κατοικήσουσιν ἐν αὐτῇ, καὶ ἀνάθεμα οὐκ ἔτι ἔσται. καὶ κατοικήσει Ἱερουσαλὴμ πεποιθότως.

Εἰς τὸν στίχον στιχηρὸν ἦχος β΄.

Ἀναλαμβανομένου σου Χριστὲ εἰς τὸ ὄρος τῶν ἐλαιῶν. αἱ δυνάμεις ὁρῶσαι ἑτέρα τῇ ἑτέρᾳ ἐβόων. τίς ἐστιν οὗτος; καὶ φησὶ πρὸς αὐτὰς, οὗτός ἐστιν ὁ κραταιὸς καὶ δυνάστης, οὗτός ἐστιν ὁ δυνατὸς ἐν πολέμῳ.



Τῇ δ'. ἑσπέρας τῇ ἀποδόσει τῆς ἀναλήψεως εἰς τὸ κύριε ἐκέκραξα, ἱστῶμεν στίχους ι'. καὶ ψάλλομεν στιχηρὰ ἰδιόμελα, πλαγίου δ'. Ἰωάννου μοναχοῦ. τὸ α'. γ'.

Ὁ κύριος ἀνελήφθη εἰς οὐρανούς, ἵνα πέμψῃ τὸν παράκλητον τῷ κόσμῳ. οὐρανοὶ ἡτοίμασαν τὸν θρόνον αὐτοῦ, νεφέλαι τὴν ἐπίβασιν αὐτοῦ, ἄγγελοι θαυμάζουσιν, ἄνθρωπον ὁρῶντες ὑπεράνω αὐτῶν, ὁ πατὴρ ἐκδέχεται, ὃν ἐν κόλποις ἔχει συναΐδιον, τὸ πνεῦμα τὸ ἅγιον κελεύει πᾶσι τοῖς ἀγγέλοις αὐτοῦ, ἄρατε πύλας οἱ ἄρχοντες ὑμῶν. πάντα τὰ ἔθνη κροτήσατε χεῖρας, ὅτι ἀνέβη Χριστὸς ὅπου ἦν τὸ πρότερον. Τὸ β'. γ'.

Κρεῖς τῇ σῇ ἀναλήψει ἐξεπλάγησαν τὰ χερουβίμ, θεωρήσαντά σε τὸν θεὸν, ἐπὶ νεφελῶν ἀνερχόμενον, τὸν ἐπ' αὐτῶν καθεζόμενον, καὶ δοξάζομέν σε. ὅτι χρηστὸν τὸ ἔλεός σου δόξα σοι. Τὸ γ'. β'.

ΕΝ τοῖς ὄρεσι τοῖς ἁγίοις θεωροῦντές σε τὰς ὑψώσεις Χριστὲ, τὸ ἀπαύγασμα τῆς δόξης τοῦ πατρὸς ἀνυμνοῦμέν σου τὴν φωτοειδῆ τοῦ προσώπου μορφὴν, προσκυνοῦμέν σου τὰ παθήματα, τιμῶμεν τὴν ἀνάστασιν, τὴν ἔνδοξον ἀνάληψιν δοξάζοντες. ἐλέησον ἡμᾶς.

Δόξα καὶ νῦν πλαγ. δ'.

ΤΩν κόλπων τῶν πατρικῶν, μὴ χωρισθεὶς γλυκύτατε Ἰησοῦ, καὶ τοῖς ἐπὶ γῆς ὡς ἄνθρωπος συναναστραφεὶς σήμερον ἐπ' ὄρους τῶν ἐλαιῶν ἀνελήφθης ἐν δόξῃ, καὶ τὴν πεσοῦσαν φύσιν ἡμῶν συμπαθῶς ἀνυψώσας τῷ πατρὶ συνεκάθησας, ὅθεν αἱ οὐράνιαι τῶν ἀσωμάτων τάξεις τὸ θαῦμα ἐκπληττόμεναι, ἐξίσταντο θάμβει, καὶ τρόμῳ συνεχόμεναι, τὴν σὴν φιλανθρωπίαν ἐμεγάλυνον, μεθ' ὧν καὶ ἡμεῖς οἱ ἐπὶ γῆς, τὴν πρὸς ἡμᾶς σου συγκατάβασιν, καὶ τὴν ἀφ' ἡμῶν ἀνάληψιν δοξολογοῦντες ἱκετεύομεν, λέγοντες. ὁ τοὺς μαθητὰς καὶ τὴν τεκοῦσάν σε θεοτόκον χαρᾶς ἀπείρου πλήσας ἐν τῇ σῇ ἀναλήψει, καὶ ἡμᾶς ἀξίωσον τῶν ἐκλεκτῶν σου τῆς χαρᾶς δ' εὐχαῖς αὐτῶν διὰ τὸ μέγα σου ἔλεος.

Εἶτα εἴσοδος. προκείμενον τῆς ἡμέρας, καὶ τὰ ἀναγνώσματα γ'. τὸ α'. Προφητείας Ἡσαΐου τὸ ἀνάγνωσμα κεφ. β'.

ΤΑ δὲ λέγει κύριος. ἔσται ἐν ταῖς ἐσχάταις ἡμέραις ἐμφανὲς τὸ ὄρος κυρίου, καὶ ὁ οἶκος τοῦ θεοῦ ἐπ' ἄκρου τῶν ὀρέων, καὶ ὑψωθήσεται ὑπεράνω τῶν βουνῶν, καὶ ἥξουσιν ἐπ' αὐτὸ πάντα τὰ ἔθνη. καὶ πορεύσονται λαοὶ πολλοὶ, καὶ ἐροῦσι. δεῦτε ἀναβῶμεν εἰς τὸ ὄρος κυρίου, καὶ εἰς τὸν οἶκον τοῦ θεοῦ Ἰακώβ. καὶ ἀναγγελεῖ ἡμῖν τὴν ὁδὸν αὐτοῦ, καὶ πορευσόμεθα ἐν αὐτῇ.

Τὸ β'. Προφητείας Ἡσαΐου τὸ ἀνάγνωσμα. κεφ. ξβ'. ἐξ γ'.

ΤΑ δὲ λέγει κύριος. πορεύεσθε διὰ τῶν πυλῶν μου σκευάσατε τὴν ὁδὸν μου, καὶ ὁδοποιήσατε τῷ λαῷ μου,



Εἰς τὸ ἀπόδειπνον. τριῴδιον ἦχος πλάγιος α. ὁ εἱρμός. Ἄσωμεν τῷ κυρίῳ.

Διὰ τοῦ σοῦ τιμίου σταυροῦ κύριε τῆς τοῦ ξύλου ἅπαντες ἐῤῥύσθημεν κατάρας. διό σου δοξάζομεν τὴν ἀγαθότητα. Ξένη μορφῇ ἰδοῦσαι ἐξαστράπτοντα μυροφόρον ἄγγελον τὴν θείαν ἐμυοῦντο, τοῦ κτίστου ἀνάστασιν χαρᾶς πληρούμεναι. Ἀνατολὴ παρθένε ἐχρημάτισας τοῦ ἡλίου ἄχραντε, τοῦ τῆς δικαιοσύνης. διό σου δοξάζομεν τὴν ἀγαθότητα.

ᾠδὴ η. ὁ εἱρμός. Τὸν ποιητὴν τῆς κτίσεως.

Θεὸν σαρκὶ σταυρούμενον, ὁ ἥλιος βλέψας ἐσκοτίζετο, καὶ γῆ ἐσαλεύθη, καὶ ἐῤῥήγνυντο πέτραι. Πατέρα τὸν παναίτιον, λόγον συναΐδιον, καὶ πνεῦμα θεοῦ ἄκτιστον τριάδα ὑμνήσωμεν ἀπαύστως. Ῥῦσαι ἡμᾶς κολάσεως, καὶ τῆς αἰωνίου κατακρίσεως, τοὺς σὲ ἀνυμνοῦντας εἰς πάντας τοὺς αἰῶνας.

ᾠδὴ θ. ὁ εἱρμός. Σὲ τὴν μακαρίαν ἐν γυναιξί.

Πύλας τοῦ θανάτου, καὶ τοὺς μοχλοὺς λύσας, ἐκ νεκρῶν τριήμερος, ἐξανέστης ἡ πάντων σωτήρ μου ἐξανάστασις. Ἔλυσας νεκροῖς Χριστὲ τὴν ζωὴν, καὶ ἐξαναστὰς τριήμερος ἀνελήφθης ἐν δόξῃ ὁρώντων τῶν σῶν μαθητῶν. Ἴλεον ἡμῖν ἀπέργασαι, ἄχραντε παρθένε τὸν υἱόν, καὶ θεὸν τῶν ἁπάντων, τοῖς πίστει ἀνυμνοῦσί σε.

Δεῖ εἰδέναι ὅτι πᾶσα ἡ ἀναστάσιμος ἀκολουθία καὶ τὸ ἅγιος κύριος ὁ θεὸς τοῦ ὄρθρου καὶ τὰ λοιπὰ μέχρι τῆς δ. ψάλλονται τῆς ἀναστάσεως, καὶ τότε ἀποδίδομεν.

Τῇ γ´ ἡμέρας ἀποδίδονται πάντα τὰ ἀναστάσιμα, εἰς τὸ κύριε ἐκέκραξα στιχηρὰ ἀναστάσιμα ς´. δόξα καὶ νῦν πλάγιος δ´. Τίς λαλήσει τὰς δυναστείας. εἰς τὸ στίχον τοῦ μηναίου. δόξα καὶ νῦν. Δικαιοσύνης ἥλιε. τρόπον τὸν συναΐαρχον λόγον. χαῖρε πύλη κυρίου. καὶ ἀπόλ. Τῇ δ´. εἰς τὸν ὄρθρον εἰς τὸ θεὸς κύριος τὸν συνάναρχον λόγον. καὶ τὸ χαῖρε πύλη κυρίου α. μετὰ τὴν στιχολογίαν κάθισμα ἀναστάσιμον, καὶ ἀνάγνωσις, ἀνάστασιν Χριστοῦ ὁ ν´. κανόνες δύο τοῦ πάσχα Ἀναστάσεως ἡμέρα. τροπ. ς´. καὶ τοῦ μηναίου δ´. ἀπὸ γ´ κάθισμα τοῦ μηναίου, ἀπὸ ς. κοντάκιον. Εἰ καὶ ἐν τάφῳ, καὶ ἐξαποστειλάριον. Σαρκὶ ὑπνώσας. Εἰς τοὺς αἴνους πᾶσα πνοὴ στιχηρὰ ἀναστάσιμα τοῦ πάσχα πλάγιος α. Πάσχα ἱερὸν ἡμῖν σήμερον, καὶ ἕτερα δύο, ποιοῦμεν αὐτὰ δ´. δόξα καὶ νῦν πλάγιος α. Ἀναστάσεως ἡμέρα καὶ λαμπρυνθῶμεν. τὸ Χριστὸς ἀνέστη γ´. εἶτα δοξολογία μεγάλη. τὸ τροπ. τὸν συνάναρχον λόγον χαῖρε πύλη κυρίου. ἡ ἐκτενὴς αἱ αἰτήσεις, καὶ ἀπόλ.

Θεὲ τῶν ὅλων, καὶ κτίστα τοῦ παντὸς, τοὺς ὑμνολογοῦντας, καὶ πιστῶς προσκυνοῦντας, τὸ κράτος σου, παντοίων πειρατηρίων σῶζε. Π αρθένε ἄχραντε θεοχαρίτωτε, ἣ τὸν δυσώπει υἱὸν διαπαντὸς, μή με καταισχυνθῆ ἐν ἡμέρα τῆς δίκης, ἀλλὰ συναριθμῆσαι τοῖς ἐκλεκτοῖς προβάτοις.

ᾠδὴ ζ. ὁ εἱρμός. Ο ποιήσας με μεγαλεῖα.

Η Γέρθης καθὼς εἶπας, ζωοδότα ἐκ τῶν νεκρῶν, καὶ ὤφθης τοῖς ἁγίοις μαθηταῖς μετὰ τὴν ἔγερσιν, ὁ σημεῖα ποιήσας, καὶ ὀμματώσας τυφλοὺς, μεθ' ὧν σε εἰς αἰῶνας μεγαλύνομεν. Τριαδικόν.

Φῶς τὸν πατέρα σέβω, φῶς δοξάζω καὶ τὸν υἱὸν, φῶς αἰνυμνῶ τὸ πνεῦμα τὸ ἅγιον, ἓν φῶς ἀμέριστον, ἐν τρισὶ χαρακτῆρσι, κατανοούμενον, θεὸν βασιλέα πάσης κτίσεως. Θ.

Φ ανεῖσα πλατυτέρα οὐρανῶν παρθένε ἁγνὴ, ἐχώρησας θεὸν σωματικῶς, τὸν ἀχώρητον, καὶ ἐκύησας πάντων εἰς ἀπολύτρωσιν, τῇ πίστει ἀδιστάκτῳ αἰνυμνούντων σε.

Κ. α. [illegible] ἅγιος [illegible] ὁ θεὸς ἡμῶν, καὶ τὸ [illegible] τοῦ τυφλοῦ [illegible] ἡμερον.

Τοὺς νοεροὺς μου ὀφθαλμοὺς, πεπηρωμένους κύριε, ἐκζοφερᾶς ἁμαρτίας, σὺ φωταγώγησον ἐν θεὸς, οἰκτίρμον τὴν ταπείνωσιν, καὶ τοῖς τῆς μετανοίας ἀπόπλυνον δάκρυσιν.

Εἰς τοὺς αἴνους [illegible] πνοὴ, στιχηρὰ ἀναστάσιμα ἦχος πλαγ. α. ἡ. ζήτει φ. σίζ. Δόξα πλαγ. δ'.

Ο διὰ σπλάγχνα ἐλέους σαρκωθεὶς Χριστὸ ὁ θεὸς, τὸν τοῦ φωτὸς ἐστερημένον ἀπὸ μήτρας, σπλάγχνοις ἀφάτοις οἰκτιρμῶν λαμπηδόνος θείας καταξιώσας, τούτου τὰς κόρας τῷ χοΐ τοῖς πλαστουργοῖς δακτύλοις σου περισφαύσας, αὐτὸς καὶ νῦν φωτοπάροχε, καὶ ἡμῶν καταύγασον, τὰ τῆς ψυχῆς αἰσθητήρια, ὁ μόνος ἄφθονο πάροχος. [illegible] νῦν [illegible] χεις, καὶ τὰ λοιπά.



Τῇ κυριακῇ [illegible] εἰς τὸ κύριε ἐκέκραξα [illegible] πλαγ. [illegible] Τίς λαλήσει τὰς δυναστείας. Δ ικαιοσύνης ἥλιε.

Ο διὰ σπλάγχνα ἐλέους. Ηχου ε. Δόξα εἰς τὰ κύριε ἐκέκραξα [illegible] δόξα τοῦ στίχου καὶ ἡ δόξα εἰς τοὺς αἴνους [illegible] τοῦ μυσαίου γ'. δόξα καὶ νῦν θ'.

Εἰς τὸν στίχον καθὼς προστέτακται, ἀναστάσιμον ά. κατανυκτικὸν ά. καὶ μαρτυρικὸν ἕν. τοῦ πλαγ. [illegible] εἰς τὸ δόξα καὶ νῦν τοῦ [illegible] ἦχος δ'.

Ο Λον τὸν βίον ὁ τυφλὸς νύκτα λογιζόμενος ἐβόησε πρὸς σὲ κύριε, ἄνοιξόν μου τὰς κόρας υἱὲ Δαβὶδ, ὁ σωτὴρ ἡμῶν, ἵνα μετὰ πάντων κἀγὼ ὑμνήσω σου τὴν δύναμιν.

ζοντας. θ΄ Τὸν τόκον σου ἄχραντε τὴν ὑπὲρ φύσιν δοξολογοῦμεν, μακαρίζοντες, πίστει σε πανάμωμε, ὡς Θεοῦ τῶν ὅλων λοχεύτριαν.

ᾠδὴ ε΄. ὁ [illegible] τῷ [illegible].

Τὰ ὄμματα ἀνοίξας τοῦ μὴ ἰδόντος τὸ φῶς τὸ αἰσθητόν, ψυχῆς ἐφώτισας τὰς κόρας, δοξάζειν ἔπεισας τοῦτον ἐπιγνόντα σε ποιητήν, διὰ σπλαγχνίαν ὀφθέντα βροτόν. Τριάδα ἐν μονάδι, καὶ ἐν μονάδι τριάδα, οἱ πιστοὶ δοξολογήσωμεν, πατέρα, καὶ υἱὸν ἅπαντες, πνεῦμα τὸ εὐθὲς ἕνα Θεὸν δημιουργὸν τοῦ παντὸς ἀληθῶς. θ. Πῶς τέτοκας μὴ γνοῦσα παρθενομῆτορ ἁγνή, πεῖραν ἀνδρὸς θεοχαρίτωτε, πῶς τρέφεις τὸν τὴν κτίσιν τρέφοντα, μόνος ὡς ἐπίσταται αὐτός, ὁ τοῦ παντὸς ποιητής.

ᾠδὴ ς΄. ὁ εἱρμὸς. Εἰς τὴν [illegible] τὴν.

Πηλὸν ποιήσας ὀφθαλμοὺς τυφλοῦ ἐπέχρισας, τοῦ ἐκ γενετῆς, καὶ ἐχαρίσω αὐτῷ τὸ βλέπειν, ὑμνοῦντί σου λόγε τὴν ἄφατον δύναμιν, δι᾽ ἧς ἔσωσας τὸν κόσμον. Ἡ τρισυπόστατος μονάς, πάτερ ἀγέννητε, υἱὲ γεννητέ, καὶ πνεῦμα ἐκπορευτόν, τρισάγιε κύριε, μία οὐσία καὶ δύναμις, σῶζε πάντα τὸν λαόν σου. θ. Τὰ μεγαλεῖα σου ἁγνή, τίς διηγήσεται; Θεὸν γὰρ ἐν σαρκὶ ἔτεκες ὑπερφυῶς, διὰ σοῦ ῥυόμενον κόσμον, παρθένε πανάμωμε ἀπὸ πάσης ἁμαρτίας.

Κοντάκιον ἦχος δ΄.

Τῆς ψυχῆς τὰ ὄμματα πεπηρωμένος, σοὶ Χριστὲ προσέρχομαι, ὡς ὁ τυφλὸς ἐκ γενετῆς, ἐν μετανοίᾳ κραυγάζων σοι, σὺ τῶν ἐν σκότει τὸ φῶς τὸ ὑπέρλαμπρον.

Ῥεῖθρόν μοι δώρησαι Χριστὲ σοφίας τῆς ἀρρήτου, καὶ γνώσεως τῆς ἄνω, τὸ φῶς τῶν ἐν τῷ σκότει, καὶ πλανωμένων ὁδηγέ, ἵνα ἐξισχύσω τὰ θαυμάσια τὰ σά, ὁ τάλας διηγήσασθαι, ἅπερ ἡ θεία βίβλος ἐδίδαξε τοῦ εὐαγγελίου τῆς εἰρήνης. δηλονότι τὴν τοῦ τυφλοῦ θαυματοποιΐαν, ὅτι ἐκ γενετῆς τυφλὸς ὑπάρχων, ὀφθαλμοὺς τοὺς αἰσθητοὺς ἀπολαμβάνει, καὶ τοὺς τῆς ψυχῆς ἐν πίστει ἀνακραυγάζων. σὺ τῶν ἐν σκότει τὸ φῶς ὑπέρλαμπρον.

ᾠδὴ ζ΄. ὁ εἱρμός. Πυρὸς σβ[illegible]τῶν.

Πηλὸν ἐπέχρισας τοῖς ὀφθαλμοῖς τοῦ τυφλοῦ, καὶ τοῦτον προστάξας πρὸς Σιλωὰμ ἀπελθεῖν, νιψάμενος δὲ ἀνέβλεψεν, ὑμνολογῶν σε Χριστὲ βασιλεῦ τοῦ παντός. Πατέρα ἄναρχον, συνάναρχόν τε υἱόν, καὶ πνεῦμα πανάγιον ὑμνολογήσωμεν. ἅγιος, ἅγιος, ἅγιος εἶ ὁ Θεὸς βασιλεῦ τοῦ παντός. θ. Μετὰ τὴν κύησιν παρθένος ὤφθης ἁγνή, Θεὸν γὰρ ἐγέννησας, καινοτομήσαντα φύσεις ἄχραντε, τῇ δυνάμει αὐτοῦ, ὃν ἐκδυσώπει ἀεὶ τοῦ σωθῆναι ἡμᾶς.

ᾠδὴ η΄. ὁ εἱρμός. Ἀγγ[illegible] αἰώνων.

Τυφλὸν ὀμμάτωσας, σοὶ προσελθόντα Χριστέ, τοῦτον προστάξας πηγῇ τοῦ Σιλωὰμ νίψασθαι, καὶ βλέψαι, καὶ Θεόν σε κηρύξαι, σαρκὶ ἐπιφανέντα εἰς κόσμου σωτηρίαν. Τριὰς ἀμέριστε, μονὰς ἀσύγχυτε,

ἔχρισεν, αὐτὶ τοῦ ἐδίδαξεν αὐτοὺς πρῶτον, ὅτι ὡσεὶ σταγὼν κατέβη ἐπὶ τῆς γῆς, καὶ ἐσαρκώθη ἐκ τῆς ἁγίας παρθένου. εἶτα καὶ τὸ θεῖον βάπτισμα παραδέδωκεν. ὃ δή ἐστιν ὁ Σιλωάμ, ἔπειτα ὁ ἐξ ἐθνῶν χριστιανικὸς λαὸς ὑπὲρ Χριστοῦ πρὸς πάντας παῤῥησιάζεται, καὶ διώκεται, καὶ μαρτυρεῖ, καὶ ὕστερον παρ᾽ αὐτοῦ ἀνακηρύττεται, καὶ δοξάζεται. Τῷ ἀπείρῳ ἐλέει σου φωτοδότα Χριστὲ ὁ θεὸς ἡμῶν ἐλέησον καὶ σῶσον ἡμᾶς. ἀμήν.

Οἱ ἀν[illegible] πρ[illegible] πᾶσα [illegible], Εὐαγγέλιον ἑω[illegible] ἀνα[illegible] Χ[illegible] ὁ ν΄ κανόνες β΄. ἀνα[illegible] μοι [illegible] ς΄. καὶ τοῦ τυφλοῦ ς΄. ᾠδὴ α΄. ἦχος πλάγιος α΄ ὁ εἱρμός. Σὲ τὸν ἐφ᾽ ὕδασιν [illegible].

Θαύματι παράδοξα ἐπιτελῶν ὁ λυτρωτής, ἰάσατο καὶ τυφλὸν ἐκ γεννητῆς, πηλὸν ἐπιχρίσας, καὶ εἰπών. πορεύθητι καὶ νίψαι ἐν τῷ Σιλωάμ, ὅπως γνῷς με θεὸν ἐπὶ γῆς βαδίζοντα, σάρκα φορέσαντα διὰ σπλάγχνα οἰκτιρμῶν. Μίαν τρισυπόστατον οὐσίαν σέβοντες πιστοί, δοξάσωμεν τὸν πατέρα, καὶ υἱόν, καὶ πνεῦμα τὸ ἅγιον, ποιητὴν καὶ κύριον, καὶ λυτρωτὴν τοῦ παντός, ἕνα ἄκτιστον θεόν, σὺν ἀσωμάτοις κράζοντες, ἅγιος, ἅγιος, ἅγιος εἶ βασιλεῦ. Μήτραν ἀπειρόγαμον τὴν σὴν κατῴκησεν ἁγνή, κύριος διὰ σπλάγχνα οἰκτιρμῶν, σῶσαι βουλόμενος, τὸν φθαρέντα ἄνθρωπον, ταῖς μεθοδείαις τοῦ ἐχθροῦ. αὐτὸν οὖν ἱκέτευε τὴν πόλιν ταύτην σώζειν, πάσης ἁλώσεως, καὶ ἐχθρῶν ἐπιδρομῆς.

Σ[illegible]

Τυφλὸν ἐκ γεννητῆς προσελθόντα σοι ἰάσω πανοικτίρμον, δοξάζοντα τὴν οἰκονομίαν σου καὶ τὰ θαυμάσια. Τὸν πατέρα προσκυνοῦμεν προάναρχον, υἱὸν καὶ πνεῦμα θεῖον, ἰσάκτιστον, φύσιν τρισυπόστατον, ἕνα θεὸν τοῦ παντός. Παρθενικῆς ἀπὸ γαστρὸς ἀπεκύησας, θεὸν σεσαρκωμένον, ὃν αἴτησαι πανάγια δέσποινα, κατοικτειρῆσαι ἡμᾶς.

Κα[illegible] δόξα, καὶ νῦν. [illegible]

Ὁ τῶν ὅλων δεσπότης, καὶ ποιητής, παρερχόμενος εὗρεν ἐν ὁδῷ, τυφλὸν καθεζόμενον, θρηνωδοῦντα καὶ λέγοντα, οὐ κατεῖδον ἐν βίῳ τὸν ἥλιον λάμποντα, οὐδὲ τὴν σελήνην τὸ φέγγος αὐγάζουσαν, ὅθεν ἐκβοῶσι ὁ τεχθεὶς ἐκ παρθένου, φωτίσας τὰ σύμπαντα, φώτισόν με εὔσπλαγχνε, ἵνα κράζω προσπίπτων σοι, δέσποτα Χριστέ, τῶν πταισμάτων ἄφεσιν δώρησαι διὰ πλῆθος ἐλέους ἡμῖν φιλάνθρωπε.

Ε[illegible]

Ὀμματώσας κύριε τυφλὸν ἐκ μήτρας γεγεννημένον, εἰπών. ἄπελθε νίψαι, καὶ ἀνάβλεψον τὴν ἐμὴν δοξάζων θεότητα. Ὁ μόνημι ἄναρχε, τριὰς ἀμέριστε τῇ οὐσίᾳ, μεριστὴ ταῖς ὑποστάσεσι, σῶζε πάντας τοὺς πιστῶς σε πόθῳ δοξάζοντας.

ἡ τοῦ ὕδατος ἔχροια, καὶ ἐξ ἐκείνου οὕτως ἐγίνετο. ἵνα τοίνυν δείξῃ καὶ ὁ Χριστὸς, ὅτι ἐκ Θεοῦ καὶ αὐτὸς, διὰ τοῦτο τὸν τυφλὸν ἀποστέλλει ἐκεῖ, καὶ τὸ φῶς αὐτίκα ἐφέπεται. τοῦ μέντοι ἔδοξεν ἀπεσταλμένον τὸν Σιλωὰμ ἑρμηνεύεσθαι. καὶ διὰ τὸν παρόντα τυφλὸν ἀποσταλέντα παρὰ Χριστοῦ, ὀμματοῦται τοίνυν νιψάμενος, ὁ τυφλὸς ἀῤῥήτῳ τινὶ δυνάμει, μηδ᾽ αὐτοῦ τοῦ παθόντος τὸ μυστήριον ἐξειδότος. οἱ δὲ γειτνιῶντες αὐτῷ, καὶ ἄλλως γνώριμοι κατιδόντες αὐτὸν ἐξεπίτηδες ἀναβλέψαντα ἀμφιβάλλοντες ἦσαν, ἐκεῖνος δ᾽ οὖν ὡμολόγει ὁ πρώην εἶναι τυφλὸς, καὶ τὸ αἴτιον τῆς ὁράσεως ἐρωτώμενος, ἰατρὸν τοῦ πάθους τὸν Χριστὸν ἀνεκήρυσσεν. τῶν οὖν φαρισαίων τὸ παράδοξον ἀκηκοότων σημεῖον, πάλιν ὁ σωτὴρ βλασφημεῖται, ὡς τὸ σάββατον μὴ τηρῶν. ἐν σαββάτῳ γὰρ ὡς ἔοικε, καὶ τὸ κατὰ τὸν τυφλὸν διεπράχθη. σχίσμα τοίνυν γίνεται τούτων μεταξὺ, τῶν μὲν λεγόντων ἐκ Θεοῦ εἶναι τὸν Ἰησοῦν, διὰ τὰ γινόμενα θαύματα, τῶν δὲ μὴ ἀπὸ Θεοῦ, ὅτι τὸ σάββατον οὐ τηρεῖ. οἱ οὖν ἀγαθὴν περὶ αὐτοῦ δόξαν ἔχοντες τὸν τυφλὸν ἐρωτῶσι. σὺ τί λέγεις περὶ αὐτοῦ; ὁ δὲ προφήτην τοῦτον ἀνακηρύσσει, ὃ δὴ παρ᾽ ἐκείνοις ἦν τιμιώτερον. οἱ δὲ πάλιν διαπιστοῦσιν, ὅτι τυφλῷ γε ὄντι τὴν θεραπείαν ὁ Χριστὸς ἐχαρίσατο, ἀμέλει καὶ τοὺς γονεῖς αὐτοῦ μεταστέλλονται, μὴ τοῖς γείτοσιν ἴσως πιστεύοντες, ὅθεν καὶ μᾶλλον αὐτὸ συσκιάσαι θέλοντες, ἐπὶ πλεῖον ποιοῦσι

καταδήλον. τῶν γεννητόρων ἅπαντα διομολογούντων. κἂν διὰ τὸ μὴ ἀποσυνάγωγοι γενέσθαι εἰς τὴν ἐκείνου ἡλικίαν τὴν πρᾶξιν ἀνάθεσιν, ἀλλὰ καὶ πάλιν πρὸς τὸν τυφλὸν λέγουσι. δὸς δόξαν τῷ Θεῷ, ὅτι ἐκεῖθεν ἡ ἴασις δῆθεν οὐχ ὑπὸ τοῦ Χριστοῦ, ἁμαρτωλὸς γάρ ἐστιν ὅτι λύει τὸ σάββατον, ὁ δὲ ἔργοις δηλῶσαι θέλων, ὅτι Θεός ἐστιν, οὐκ οἶδα φησίν. ἓν ἐπίσταμαι, ὅτι τυφλὸς ὢν, δι᾽ αὐτοῦ βλέπω. πάλιν οὖν εἶπον αὐτῷ, πῶς ἤνοιξέ σου τοὺς ὀφθαλμούς. ὁ δ᾽ ἀχθόμενος, οὐ κατὰ λεπτὸν λέγει. ἀλλὰ συνιστᾷ, ὅτι εἰ μὴ ἀπὸ Θεοῦ ἦν, οὐκ ἂν τοιοῦτο σημεῖον ἐποίησε, καὶ πρῶτον μὲν ὑβρίζεται παρ᾽ ἐκείνων, ὡς ὁμολογήσας μαθητὴς εἶναι ἐκείνου, καὶ ὅτι εἶπεν οὐδεὶς ἀνέῳξεν ὀφθαλμοὺς τυφλοῦ γεγεννημένου. τυφλοὺς γὰρ καὶ ἄλλοι ὠμμάτωσαν. γεγεννημένου δὲ τυφλοῦ, οὐδ᾽ εἷς. ἐμπαίζοντες τοίνυν αὐτὸν πόῤῥω τῆς συναγωγῆς ἔβαλλον. μετὰ δὲ ταῦτα, εὑρίσκει αὐτὸν ὁ Ἰησοῦς, καὶ λέγει αὐτῷ. σὺ πιστεύεις εἰς τὸν υἱὸν τοῦ Θεοῦ; ὁ δὲ μαθὼν ὅς τις ἐστὶν, ὅτι ὁ μετ᾽ αὐτοῦ λαλῶν, καὶ ὁρώμενος δι᾽ αὐτοῦ. οὐ γὰρ ἤδει αὐτὸν πρότερον ἅτε τυφλὸς ὢν, προσεκύνησεν αὐτῷ, καὶ μαθητὴς αὐτοῦ ἐχρημάτισε, τὴν εὐεργεσίαν ἀνακηρύττων. ῥηθείη δ᾽ ἂν καὶ ἀναγωγικῶς, τυφλὸς μὲν, καὶ ὁ ἐξ ἐθνῶν λαός. ὅν τινα παράγων, ἀντὶ τοῦ ἐν τῇ γῇ διατρίβειν, οὐκ ἐν οὐρανῷ, εὗρεν ὁ Χριστὸς, ἣ καὶ διὰ τὸν ἑβραϊκὸν ἦλθε λαόν. παροδικῶς δὲ διέβη καὶ εἰς τὰ ἔθνη, καὶ πτύσας χαμαὶ καὶ πηλὸν ποιήσας

ἔχει·

Εἰς τὸν ὄρθρον. εἰς τὸ θεὸς κύριος βοτ. πλ.α γ. ά. Τὸν συνάναρχον λόγον β΄. καὶ τὸ θ΄. χαῖρε πύλη κυρίου. καὶ μετὰ τὴν στιχολογίαν. ἡ ὑπακοή, ἀναστάσιμος ζήτει φ. σιβ΄. καὶ ἀνάγνωσις.

Τῇ αὐτῇ κυριακῇ πέμπτῃ ἀπὸ τοῦ πάσχα, τὸ εἰς τὸν ἐκ γενετῆς τυφλὸν ἑορτάζομεν τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ θαῦμα, ὃ δὴ καὶ αὐτό, ἐξ ὕψους διεπράχθη, καθὰ καὶ τὸ τῆς σαμαρείτιδος, καὶ τὸ τοῦ παραλύτου. γέγονε δὲ οὕτω. τοῦ Χριστοῦ διαλεγομένου τοῖς Ἰουδαίοις, καὶ ἑαυτὸν ἴσον ἀποδεικνύντος τῷ πατρί, καὶ πρὶν Ἀβραὰμ γενέσθαι ἐγώ εἰμι λέγοντος, ἐκεῖνοι λίθοις κατ' αὐτοῦ βάλλουσιν. ὁ δὲ ἀναχωρῶν ἐκεῖθεν, εὑρίσκει τὸν τυφλὸν προσαιτοῦντα. ἦν δὲ οὕτω γεννηθείς, τύπον καὶ τὰ κοῖλα ἔχων μόνον τῶν ὀφθαλμῶν. εὑρὼν οὖν αὐτὸν ὁ σωτὴρ οὕτως ἔχοντα, ἐρωτᾶται παρὰ τῶν μαθητῶν, ἀκηκοότων ἐν τῷ εἰς τὸν παράλυτον, ἴδε ὑγιὴς γέγονας, μηκέτι ἁμάρτανε, καὶ ὅτι ἁμαρτία γονέων ἐπὶ τέκνα, ῥαββί, τίς ἥμαρτεν; οὗτος, ἢ οἱ γονεῖς αὐτοῦ, ἵνα τυφλὸς γεννηθῇ. ἄλλως τε καὶ δόξα ἐπικούριός τις ἐκράτει, τὰς ψυχὰς προϋπάρχειν. καὶ ἁμαρτήσας αὔλως κατάγεσθαι εἰς τὰ σώματα, ἅπερ ἅπαντα ἀναιρῶν ὁ Χριστὸς ἔφησεν. οὐ διὰ ταῦτα, ἀλλ' ἵνα φανερωθῇ τὰ ἔργα τοῦ θεοῦ, ἤγουν ἐμοῦ. οὐ γὰρ περὶ τοῦ πατρὸς ὁ λόγος, τὸ δὲ ἵνα τῆς ἀποφάσεως ἐστίν, οὐ τῆς αἰτίας, καὶ τοῦτο εἰπὼν ὁ Χριστὸς πτύσας χαμαί, καὶ πηλὸν ποιήσας, ἐπέχρισε τοῖς τύποις τῶν ὀφθαλμῶν αὐτοῦ, καὶ πρὸς τὴν τοῦ Σιλωὰμ πηγὴν ἀπελθεῖν καὶ νίψασθαι ἐγκελεύεται. ἵνα δείξῃ, ὅτι αὐτός ἐστιν ὁ κατ' ἀρχὰς χοῦν λαβὼν ἀπὸ τῆς γῆς καὶ πλάσας τὸν ἄνθρωπον. ἐπεὶ δὲ πάντων ὁ ὀφθαλμὸς τῶν ἐν τῷ σώματι κυριώτερον, τοῦτον πλάττει μὴ ὄντα. δεικνύων, ὅτι καὶ τῇ ψυχικῇ δυνάμει, κίνησιν αὐτός ἐστιν ὁ παρέχων, οὐκ ἐχρίσατο δὲ ὕδατι, ἀλλὰ πτύσματι, ἵνα γνώριμον εἴη, ὡς ἡ χάρις ἅπασα, ἀπὸ τοῦ ἐμπτύσαντος στόματος ἦν, καὶ ὅτι πρὸς τὸν Σιλωὰμ αὐτὸν ἀποπέμπειν ἔμελλε. νίψασθαι δὲ αὐτὸν προτρέπει. ἵνα μήτις τῇ ἐκεῖθεν γῇ καὶ τῷ πηλῷ δοίη τὴν θεραπείαν. στέλλει δὲ αὐτὸν πρὸς τὸν Σιλωάμ, ἵνα πολλοὺς ἔχει τῆς ἰάσεως μάρτυρας, πολλοῖς γὰρ ἂν συνηντήσεν ἀπιών, κεχρισμένος πηλῷ τὰ ὄμματα, φασὶ δέ τινες ὡς νιψάμενος οὐκ ἀπεβάλλετο τὸν ἐκ τοῦ πτύσματος πηλόν, ἀλλ' αὐτὸς ὁ πηλὸς τῇ προσβολῇ τοῦ ὑγροῦ, πρὸς ὀφθαλμῶν πλάσιν μετεσχηματίζετο. Σιλωὰμ δὲ ἀπεσταλμένος ἑρμηνεύεται. ἡ γὰρ κολυμβήθρα αὕτη, ἔξω τῆς πόλεως Ἱερουσαλὴμ ἐτύγχανεν, ἐπεὶ δὲ Ἐζεκίου πολεμίων περικαθισάντων τὴν πόλιν, καὶ τὴν Σιλωὰμ κατεχόντων, ἀνεχαιτίσθη τὸ ὕδωρ ἐκεῖθεν πρινὴ δὲ, καὶ φρέατα καὶ λάκκους ὀρύξαι, τοὺς ἔνδον εἰς ὑποδοχὴν ὕδατος. εἴ τις κελεύσει τοῦ προφήτου Ἡσαΐου ἐκεῖσε ἐστέλλετο, τὸ ὕδωρ πάλιν ἀθρόον ἐξήρχετο, καὶ ὑδρεύετο, εἰ δέ τις ἐξ ἑαυτοῦ ἢ καὶ πολέμιος, ἐπείχετο

ἡ τοῦ

ᾠδὴ θʹ. ὁ εἱρμός. Εὔα μὲν τῷ τῆς πα.

Η πλάνης θελήσει ἐν σταυρῷ, καὶ ἥλιος, θεωρῶν σε ὑπεράγαθε, φόβῳ συνέστειλεν ἀκτῖνας, ἐσείσθησαν τῆς γῆς τὰ θεμέλια, καὶ πέτραι διεσχίσθησαν δέσποτα, καὶ τοῦ ναοῦ τὸ καταπέτασμα. Ὡς ἐγέρθης ἐκ τάφου ἀναστὰς, τριήμερος ἀποστόλοις καὶ ἐβόησας, ἄπειτε φίλοι μαθηταί μου, κηρύξατε ἐν πᾶσι τοῖς ἔθνεσιν, ἃ ἴδετε καὶ γνῶτε θαύματα, τῶν ὑπὲρ λόγον δυναστείας μου.



Τῇ παρασκευῇ τῆς αὐτῆς ἑβδομάδος ἑσπέρας εἰς τὸ κύριε ἐκέκραξα. στιχηρὰ ἀναστάσιμα γʹ. καὶ τοῦ μηναίου γʹ. δόξα καὶ νῦν θʹ. Εἰς τὸν στίχον, στιχηρὸν ἀναστάσιμον τοῦ στίχου, καὶ τοῦ ἀλφαβήτου. Δόξα καὶ νῦν τῆς κυριακῆς. Εἰς τὸν ὄρθρον, εἰς τὸ θεὸς κύριος. τροπ. ἦχος δʹ. τὸ φαιδρὸν τῆς ἀναστάσεως. βʹ. καὶ τὸ θʹ. ἡ στιχολογία τοῦ ἀμώμου. εἶτα κάθισμα ἀναστάσιμον, καὶ ἀνάγνωσιν. ἀνάστασιν Χριστοῦ. ὁ νʹ. οἱ κανόνες ὁ ἀναστάσιμος τροπ. ϛʹ. καὶ τοῦ μηναίου δʹ. ἀπὸ γʹ. κάθισμα τοῦ μηναίου, ἀπὸ ϛʹ. τὸ κοντάκιον, ἀπὸ θʹ. ἐξαποστειλάριον, ἅγιος κύριος ὁ θεός. εἰς τοὺς αἴνους πᾶσα πνοή. στιχηρὰ ἀναστάσιμα δʹ. τοῦ δʹ. ἤχου. δόξα. ἰδιόμ. τῆς κυριακῆς. δόξα ἐν ὑψίστοις θεῷ τὸ μεγάλου. τὸ τροπ. τὰ λοιπὰ καὶ ἀπόλ.



Κυριακῇ ϛʹ. ἀπὸ τοῦ πάσχα τοῦ ἐκ γενετῆς τυφλοῦ. Τῷ σαββάτῳ ἑσπέρας μετὰ τὴν στιχολογίαν εἰς τὸ κύριε ἐκέκραξα στιχηρὰ ἀναστάσιμα ϛʹ. τοῦ πλαγίου αʹ. ἤχου. Διὰ τοῦ τιμίου σου σταυροῦ. ζήτει φ. σια. δόξα καὶ νῦν ἦχος πλαγίου δʹ.

Τίς λαλήσει τὰς δυναστείας σου Χριστὲ, ἢ τίς ἐξαριθμήσει τῶν θαυμασίων σου τὰ πλήθη. διπλοῦς γὰρ ὡς ὡράθης ἐπὶ γῆς δι' ἀγαθότητα, διπλᾶς καὶ τὰς ἰάσεις τοῖς νοσοῦσιν ἐχορήγεις. οὐ μόνον γὰρ τοὺς ὀφθαλμοὺς τοῦ σώματος διήνοιξας, τοῦ ἀπὸ μήτρας πηρωθέντος, ἀλλὰ καὶ τοὺς τῆς ψυχῆς. ὅθεν θεόν σε ὁμολογεῖ τὸν κρυπτόμενον, καὶ πᾶσι παρέχοντα τὸ μέγα ἔλεος.

Εἰς τὸν στίχον. στιχηρὸν ἀναστάσιμον τοῦ στίχου. καὶ τὰ τοῦ ἀλφαβήτου. ζήτει φ. ρίβ. δόξα καὶ νῦν πλαγ. δʹ.


Δικαιοσύνης ἥλιε νοητὲ Χριστὲ ὁ θεὸς, ὁ τὸν ἐκ μήτρας τοῦ φωτὸς ἐστερημένον, διὰ τῆς σῆς ἀχράντου παλάμης ψαύσας φωτίσας κατ' ἄμφω, καὶ ἡμῶν τὰ ὄμματα τῶν ψυχῶν αὐγάσας, υἱοὺς ἡμέρας δεῖξον, ἵνα πίστει βοῶμέν σοι, πολλή σου καὶ ἄφατος, ἡ εἰς ἡμᾶς εὐσπλαγχνία φιλάνθρωπε δόξα σοι.

Τὸ τροπ. τὸν συνάναρχον λόγον. ζήτει ὁμοίως. καὶ θʹ. χαῖρε πύλη κυρίου. τὰ λοιπὰ καὶ ἀπόλ.

Εἰς τὸ ἀπόδειπνον κανὼν τῆς θεοτόκου.

σιν καὶ λύτρωσιν, ζωοδότα κύριε δόξα σοι.

Καὶ μετὰ τὸ στιχ. εἰάσας ἐκ τοῦ μνήματος ἡ ἐκτενὴς, αἱ αἰτήσεις, καὶ τὰ λ.



Τῇ κυριακῇ τῆς σαμαρείτιδος καὶ ὅλῃ τῇ ἑβδομάδι ἑσπέρας στιχηρὰ εἰς τὸ κύριε ἐκέκραξα. ἦχος δ'. Ὡς γενναῖον ἐν μάρτυσιν.

Σὺ πηγὴ ἀγαθότητος, καθ' ὑπάρχων καὶ πέλαγος, τῆς ζωῆς ταμίας τε μόνε εὔσπλαγχνε, πῶς γυναικὶ Σαμαρείτιδι ὁμιλῶν ἐφώνησας, δός μοι ὕδωρ τοῦ πιεῖν, ὅπως λάβῃς τὴν ἄφεσιν, αἰνυμνοῦμεν σου, τὴν πολλὴν εὐσπλαγχνίαν, δι' ἧς σῴζεις τὸ βρότειον ἅπαν τὸ γένος, διὰ πολλὴν ἀγαθότητα. Δεῦτε ἴδετε ἄνθρωπον, ὃς εἶπέ μοι σήμερον, τῇ πηγῇ καθήμενος ὅσα ἔπραξα. προφήτης γὰρ ἀληθέστατος, ὑπάρχει καὶ μέγιστος, τὰ κρυπτὰ καὶ φανερὰ, ἐπιστάμενος ἅπαντα, ἀλλὰ δώρησαι ὕδωρ ζῶν, ὃ παρέχεις τοῖς διψῶσιν, ἵνα μὴ διψήσω πάλιν. εἰς τὸν αἰῶνα φιλάνθρωπε. Η πηγὴ ἡ ἀέναος, ἡ ζωὴ ἡ ἀθάνατος, ῥεῖθρον τὸ ἀκένωτόν τε καὶ ἄφθαρτον, ὁ ὁδοιπορήσας ἐκάθητο, πλησίον τοῦ φρέατος, τοὺς οἰκείους μαθητὰς, ἀποστείλας πρὸς βρώματα, προσομιλεῖ τῇ γυναικὶ ἀντλούσῃ, ταύτην θέλων τοῦ θηρεῦσαι καὶ προσάξαι πατρὶ ὡς μόνος ἐπίσταται.

Καὶ τοῦ μηναίου γ'. δόξα καὶ νῦν θ'.

Εἰς τὸν στίχον στιχηρὸν ἀναστάσιμον ἕν, κατανυκτικὸν ἕν, μαρτυρικὸν ἕν. Δόξα τοῦ ἁγίου· καὶ νῦν τῆς κυριακῆς ζήτει εἰς τοὺς αἴνους. Εἰς τὸ ἀπόδειπνον, τριῴδιον. ἦχος δ'. Τριστάτας κραταιούς. ᾠδὴ α'.

Δεσμεύσας τοῦ ἐχθροῦ, τὸ ὀλέθριον κράτος, οἷς ὑπέστης δι' ἡμᾶς, φιλάνθρωπε δεσμοῖς, τῷ σταυρῷ σου εἰρήνωσας κύριε τὰ διεστῶτα, καὶ τῆς ἔχθρας διέλυσας τὸ μεσότειχον. ὅθεν ὑμνοῦμεν σε. Κύριος καθὼς περὶ τοῦ πάθους προεῖπεν, ἐξανέστη κραταιῶς, σκυλεύσας ὡς θεὸς, τὰ τοῦ ᾅδου βασίλεια, ἅπαντάς τε συνεγείρας, τοὺς ἐκεῖσε καθευδήσαντας, ἀπ' αἰῶνος αὐτὸν μεγαλύνοντας. Ἀνέτειλεν ἀγνή, ὡς νυμφίος ὡραῖος, ἐκ τῶν σῶν πανάγνων λαγόνων σαρκωθεὶς, ὑπὲρ νοῦν ἀγαθότητι, ὅθεν σὺν τοῖς ἀποστόλοις κατιδοῦσα ἐδόξασας, τὴν τριήμερον τούτου ἀνάστασιν.

ᾠδὴ η'. ὁ εἱρμός. Λυτρωτὰ τοῦ παντὸς παντοδύναμε.

Τὰς ἀχράντους ἐκτείνας παλάμας σου, ἐν σταυρῷ ἑκουσίως μακρόθυμε ἐναγκαλίσω ἅπαντας, καὶ χειρὸς ἀλλοτρίου πάντας ἐρρύσω, διὰ τοῦτό σε φόβῳ δοξάζομεν. Θαυμαστὰ καὶ παράδοξα πράγματα, καὶ τυφλοὺς ὀμματώσαντα τῷ ῥήματι, δῆμος ἑβραίων βλέψας σε, κατακρίνει θανάτῳ ζωὴν τῶν ὅλων, χρηματίζοντα εὔσπλαγχνε κύριε. θ'. Ὦ φρικτὸς σου ὁ τόκος παναμώμε, δι' οὗ πάντες φρικτῆς κατακρίσεως, λελυτρωμένοι κράζομεν. χαῖρε πάντων ἀνθρώπων, ἡ σωτηρία, χαῖρε κόσμου πεσόντος ἀνάκλησις.

ᾠδὴ

ποιητὴν τοῦ παντὸς, καὶ θεόν. ὃν πᾶσαι οὐρανῶν ὑμνοῦσι τάξεις. θ´. Μετὰ λοχείαν φρικτὴν, παρθένος ἁγνὴ διεφυλάχθης ἁγία θεοτόκε, διόσε ἅπασαι ἀγγέλων χορεῖαι, καὶ τῶν ἀνθρώπων γενεαὶ ἅπασαι, ἀσιγήτοις ἀνυμνοῦσι φωναῖς χωρίον καθαρὸν τοῦ ἀχωρήτου.

ᾠδὴ η´. ὁ εἱρμός.

Τὰ σύμπαντα δέσποτα τῇ σῇ σοφίᾳ συνεστήσω, γῆν δὲ πάλιν ἥδρασας, ὡς οἶδας τὸν πυθμένα τῇ βύσσῳ πηξάμενος ἐπὶ ὑδάτων, διὸ πάντες βοῶμεν ἀναμέλποντες. εὐλογεῖτε τὰ ἔργα κυρίου ἀπαύστως τὸν κύριον.

Παλαιὸν ἐκάθισας, πηγῆς ἐν ὥρᾳ σῶτερ ἕκτῃ, καὶ τῇ σαμαρείτιδι ὕδωρ τὸ ζῶν παρέχεις, καὶ γνώσεως νάματα, διὰ πολλὴν εὐσπλαγχνίαν. μεθ' ἧς πάντες βοῶμεν ἀναμέλποντες εὐλογεῖτε τὰ ἔργα κυρίου ἀπαύστως τὸν κύριον. Πατέρα προάναρχον, υἱὸν συνάναρχον ὑμνοῦμεν, καὶ πνεῦμα τὸ ἅγιον, θεὸν ἕνα τὰ τρία, ἀσύγχυτον, ἄτμητον, δημιουργὸν τῶν ἁπάντων, ὁμοδύναμον κράτος αὐτεξούσιον, καὶ βοῶμεν, εὐλογεῖτε τὰ ἔργα κυρίου ἀπαύστως τὸν κύριον. θ´. Ἄνθρακι καθαιρέται, ὁ Ἡσαΐας προκηρύττων, τὸν νοητὸν ἄνθρακα σαρκούμενον παρθένε, ἐκ σοῦ ὑπὲρ ἔννοιαν καταφλέγοντα πάντων τῶν βροτῶν τὰ ὑλώδη ἁμαρτήματα, καὶ θεοῦντα δι' οἶκτον τὴν φύσιν ἡμῶν παναμώμητε. ᾠδὴ θ´. ὁ εἱρμός.

Ἐποίησε κράτος, ἐν βραχίονι αὐτοῦ, καθεῖλε γὰρ δυνάστας ἀπὸ θρόνων, καὶ ὕψωσε ταπεινοὺς ὁ θεὸς τοῦ Ἰσραήλ, ἐν οἷς ἐπεσκέψατο ἡμᾶς ἀνατολὴ ἐξ ὕψους, καὶ κατεύθυνεν ἡμᾶς εἰς ὁδὸν εἰρήνης.

Ἡ ζωὴ τῶν ζώντων, ἡ πηγὴ τῶν ἀγαθῶν. ὁ κύριος πλουσίως, ἐπιῤῥαίνων, τὸ νᾶμα τῶν διδαχῶν, ἐκβοᾷ τῇ γυναικὶ παράσχου μοι ὕδωρ τοῦ πιεῖν, ὅπως σοι δώσω ὕδωρ, τῶν ἁμαρτημάτων σου τὰς πηγὰς ξηραῖνον. Φῶς ἓν ἀμερίστως, ἡ τρισήλιος μονὰς, ὁ ἄναρχος πατὴρ, ὁ υἱὸς, καὶ πνεῦμα θεότης, μία ζωὴ καὶ τῶν ὅλων ποιητής. αὐτὸν ἀνυμνήσωμεν πιστοὶ, μετὰ τῶν ἀσωμάτων τρισαγίοις ᾄσμασιν ἱερολογοῦντες. θ´. Φωτὸς γενομένη οἰκητήριον ἁγνὴ, καταύγασον τὰς κόρας τῆς ψυχῆς μου, ἀμαυρωθείσας πολλαῖς μεθοδείαις τοῦ ἐχθροῦ, καὶ βλέψαι ἀξίωσον τρανῶς, τὸ ἀναλάμψαν φέγγος ἐκ σοῦ ὑπὲρ ἔννοιαν καθαρᾷ καρδίᾳ.

Ἐξαποστειλάριον. τὸ ἅγιος κύριος ὁ θεὸς ἡμῶν. εἶτα τό. Γυναῖκες ἀκουτίσθητε.

Σαμάρειαν κατέλαβες, σωτήρ μου παντοδύναμε, καὶ γυναικὶ ὁμιλήσας, ἐζήτεις ὕδωρ ἐβαίοις, ἣν πρὸς πίστιν σὺ ἔλαβες, καὶ νῦν ζωῆς ἀπολαύει ἐν οὐρανοῖς αἰωνίως.

Εἰς τοὺς αἴνους στιχηρὰ ἀναστάσιμα ή. ἦχος δ´. δόξα καὶ νῦν ἦχος β´.

Ἐπὶ τὸ φρέαρ ὡς ἦλθεν ὁ κύριος, ἡ σαμαρεῖτις ἠρώτα τὸν εὔσπλαγχνον, παράσχου μοι τὸ ὕδωρ τῆς πίστεως, καὶ λήψομαι τῆς κολυμβήθρας τὰ νάματα, ἀγαλλία-

σὲ κύριε τὸ πνεῦμά μου ὀρθρίζει καὶ ὑμνεῖ, σὺ γὰρ Θεὸς ἡμῶν, καὶ πρὸς σὲ κατέφυγα τῆς εἰρήνης βασιλεῦ.

Πηγὴ ὑπάρχων κύριε, ζωῆς ὕδωρ ἀφέσεως, καὶ ἐπιγνώσεως δεδώρησαι γυναικὶ αἰτησάσῃ, πάλαι σαμαρείτιδι, διὸ ἀνυμνοῦμέν σου τοὺς ἀφάτους οἰκτιρμούς. Μονάδα τρισυπόστατον, τριάδα ὁμούσιον, πατέρα, λόγον, πνεῦμα ἅγιον ἀμέριστον τῇ φύσει, Θεὸν ἕνα σέβομεν. ποιητὴν, καὶ κύριον, καὶ δεσπότην τοῦ παντός. Θ. Σὲ πύλην ἀδιόδευτον, καὶ χώραν ἀχώρητον, καὶ κιβωτὸν, τὸ μάννα φέρουσαν, καὶ στάμνον, καὶ λυχνίαν, καὶ θυμιατήριον, τοῦ ἀΰλου ἄνθρακος ὀνομάζομεν ἁγνή.

ᾠδὴ ϛ'. ὁ εἱρμός.

Μὴ καταποντισάτω με καταιγὶς ὕδατος, μηδὲ καταπιέτω με βυθὸς, ἀπέρριμμαι γὰρ εἰς βάθη καρδίας θαλάσσης τῇ ἐκ χειρῶν μου, διό σοι κραυγάζω ὡς Ἰωνᾶς, ἀναβήτω ἐκ φθορᾶς ἡ ζωή μου πρὸς σὲ ὁ Θεός.

Ῥεῖθρον ὑπάρχων κύριε τῆς ζωῆς ἄφθονον, καὶ ἄβυσσος ἐλέους ἀγαθὲ, ὁδοιπορήσας καθέζῃ πλησίον τοῦ φρέατος τοῦ ὅρκου, καὶ τῇ σαμαρείτιδι ἐκ βοᾷς, δός μοι ὕδωρ τοῦ πιεῖν, ὅπως λάβῃς ἀφέσεως νάματα. Ὑμνῶ πατέρα ἄναρχον, καὶ υἱὸν σύνθρονον, καὶ πνεῦμα ὁμοούσιον πιστῶς, μίαν οὐσίαν, καὶ φύσιν, καὶ δόξαν, καὶ μίαν βασιλείαν, Θεὸν τῶν πάντων ποιητὴν, συνοχέα τοῦ παντὸς, μετὰ τῶν ἀσωμάτων δυνάμεων. Θ. Παρθένον μόνην τίκτουσαν, καὶ ἁγνὴν ἄφθορον τηρήσασαν, ὑμνοῦμέν σε ἁγνή. θρόνον κυρίου, καὶ πύλην καὶ ὄρος, καὶ φωτεινὴν λυχνίαν, νυμφῶνα ὁλόφωτον τοῦ Θεοῦ, καὶ σκηνὴν δόξης σαφῶς, κιβωτόν τε καὶ στάμνον, καὶ τράπεζαν.

Κοντάκιον ἦχος πλάγιος δ'.

Πίστει ἐλθοῦσα ἐν τῷ φρέατι, ἡ σαμαρεῖτις ἐθεάσατο, τὸ τῆς σοφίας ὕδατι ἐποτίσθη δαψιλῶς, καὶ βασιλείαν ἄνωθεν κληρωσαμένη αἰωνίως, ὡς ἀοίδιμος. ὁ οἶκος. Τῶν σεπτῶν μυστηρίων ἀκούσωμεν, Ἰωάννου ἡμᾶς ἐκδιδάσκοντος, τὰ ἐν τῇ Σαμαρείᾳ γινόμενα. πῶς γυναικὶ ὡμίλει ὁ κύριος, ὕδωρ αἰτήσας ὁ τὰ ὕδατα εἰς τὰς συναγωγὰς αὐτῶν συνάξας, ὁ πατρὶ καὶ τῷ πνεύματι σύνθρονος. ἦλθε γὰρ ἐκζητῶν τὴν εἰκόνα αὐτοῦ. Αἰωνίως ὡς ἀοίδιμος.

ᾠδὴ ζ'. ὁ εἱρμός.

Μὴ παραδώῃς ἡμᾶς εἰς τέλος, διὰ τὸ ὄνομά σου. καὶ μὴ διασκεδάσῃς τὴν διαθήκην σου. καὶ μὴ ἀποστήσῃς τὸ ἔλεός σου ἀφ' ἡμῶν. κύριε ὁ Θεὸς τῶν πατέρων ἡμῶν, ὁ ὑπερυψούμενος εἰς τοὺς αἰῶνας.

Ὕδωρ ὑπάρχεις ζωῆς, ἐβόα Χριστῷ ἡ σαμαρεῖτις. πότισόν με οὖν λόγε διψῶσαν πάντοτε, σοῦ τὴν θείαν χάριν, ὅπως μηκέτι Ἰησοῦ κύριε, ἀγνωσίας κρατῶμαι αὐχμῷ, ἀλλὰ κηρύττω σου τὰ μεγαλεῖα. Πατέρα, καὶ τὸν υἱὸν, καὶ θεῖον πνεῦμα ὑμνολογοῦμεν, ἀμέριστον τριάδα φύσει ὑπάρχουσα μεριστὴν προσώποις, μίαν οὐσίαν συμφυῆ ἄναρχον, ποιη-

ποιη-

Καὶ οἱ ἀναβαθμοὶ, ἀντίφωνον α´. ἦχος δ´. προκείμενον· ζήτει φ. σε. Πᾶσα πνοή. εὐαγγέλιον ἑωθινὸν ζ´. Ἀνάστασιν Χριστοῦ. ὁ ν´. οἱ ἀναστάσιμοι κανόνες. τροπ. ς´. ζήτει φ. σς´. καὶ τῆς Σαμαρείτιδος ς´. ᾠδὴ α´. ἦχος δ´. ὁ εἱρμός.

Ὁ πατάξας Αἴγυπτον καὶ Φαραὼ τὸν τύραννον, βυθίσας ἐν θαλάσσῃ, λαὸν διέσωσας δουλείας Μωσαϊκῆς ᾄδοντα, ᾠδὴν ἐπινίκιον· ὅτι δεδόξασται.

Ὁ στεγάζων ὕδασι τὰ ὑπερῷα κύριε, ὕδωρ ζωῆς ὑπάρχων. τῇ Σαμαρείτιδι αἰτούσῃ τὰ σὰ σεπτὰ νάματα. παρέχεις ἐπιγνώσει τὴν εὐσπλαγχνίαν σου. Τριὰς τοὺς πίστει τε εἰλικρινεῖ δοξάζοντας. πάτερ υἱὲ καὶ πνεῦμα, ὡς πηγὴ τῶν ὅλων σῶζε, καὶ ἱλασμὸν δώρησαι ἡμῖν ἁμαρτημάτων, ὡς ὑπεράγαθος. Θ. Χαῖρε θρόνε πύρινε. χαῖρε λυχνία πάγχρυσε, χαῖρε φωτὸς νεφέλη, χαῖρε παλάτιον τοῦ λόγου, καὶ νοητὴ τράπεζα, ἄρτον ζωῆς ἀξίως Χριστὸν βλαστήσασα.

ᾠδὴ γ´. ὁ εἱρμός.

Ἐστερεώθη ἡ καρδία μου ἐν κυρίῳ τῷ διδόντι εὐχὴν τῷ εὐχομένῳ, ὅτι τόξον δυνατῶν ἠσθένησε, καὶ οἱ ἀσθενοῦντες περιεζώσαντο δύναμιν.

Ζωὴ ὑπάρχων κύριε, καὶ πηγὴ τῆς ἀθανασίας, ἐκαθέσθης πρὸς τῇ πηγῇ οἰκτίρμον. καὶ τῶν σῶν αἰτησαμένη ἔπλησας πανσόφων ναμάτων, τὴν Σαμαρεῖτιν ὑμνοῦσάν σε. Εἷς ἐπὶ πάντων ἐν τριάδι θεὸς ὑμνεῖται, ὁ πατὴρ, καὶ ὁ υἱὸς, καὶ θεῖον πνεῦμα φόβῳ, ὃν δοξάζει οὐρανῶν τὰ τάγματα. τρανῶς ἐκβοῶντα. ἅγιος, ἅγιος, ἅγιος, εἶ εἰς τοὺς αἰῶνας. Θ. Ἀνερμηνεύτως συλλαβοῦσα ἐν τῇ γαστρί σου, τὸν τῶν ὅλων θεὸν παρθενομῆτορ, ὑπὲρ ἔννοιαν καὶ λόγον τέτοκας, μείνασα παρθένος, ὡς πρὸ τοῦ τόκου θεόνυμφε.

Κάθισμα ἀναστάσιμον· δόξα καὶ νῦν ἦχος δ´. ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ.

Ἀγαλλιάσθω οὐρανὸς, χορευέτω τὰ ἐπὶ γῆς, ὅτι Χριστὸς ἐκ παρθένου ἐπιφανεὶς ὡς ἄνθρωπος, ἐρρύσατο φθορᾶς ἅπαν τὸ ἀνθρώπινον, τῷ ἰδίῳ θανάτῳ, θαύμασιν ἐκλάμψας δὲ γυναικὶ Σαμαρείτιδι, ὕδωρ αὐτῇ παρέχει τὴν πηγὴν τῶν ἰαμάτων ὡς μόνος ἀθάνατος.

ᾠδὴ δ´. ὁ εἱρμός.

Εἰσακήκοα κύριε τὴν ἀκοήν σου καὶ ἐφοβήθην, κατενόησα τὰ ἔργα σου καὶ ἐξέστην, ὅτι τῆς σῆς αἰνέσεως πλήρης ἡ γῆ.

Σαμαρείτιδι κύριε αἰτησαμένῃ παρέχεις ὕδωρ, τὴν ἐπίγνωσιν τοῦ κράτους σου, ὅθεν εἰς αἰῶνας οὐ διψᾷ ἀνυμνοῦσά σε. Τριὰς ὑπερούσιε, πάτερ, καὶ λόγε, καὶ θεῖον πνεῦμα. ὁμοδύναμε συνάναρχε, σῶσον ἡμᾶς πάντας τοὺς πιστῶς ἀνυμνοῦντάς σε. Θ. Ἀκατάφλεκτον βάτον σε, ὁ νομοθέτης ἑώρα πάλαι, Δανιὴλ δὲ ὄρος ἅγιον, κατενόει μόνη μητροπάρθενε δέσποινα. ᾠδὴ ε´. ὁ εἱρμός.

Ἀνάτειλόν μοι κύριε τὸ φῶς τῶν προσταγμάτων σου, ὅτι πρὸς σὲ

σὲ

ἢ διότι ἐκεῖ πρῶτος ὁ Ἀββακοὺμ θυσιαστήριον ἔπηξε τῷ Θεῷ, ὡς καὶ Ἰουδαῖοι πάλιν ἔλεγον, ἐν Ἱεροσολύμοις δεῖ προσκυνεῖν μόνον τὸν Θεόν. διὰ καὶ οἱ ἁπανταχοῦ ἐν ταῖς ἑορταῖς ἐκεῖσε συνήγοντο, ὁ δὲ Χριστὸς ἀποκρίνεται, ἐκ τῶν Ἰουδαίων λέγων τὴν σωτηρίαν τοῦ κόσμου, πλὴν φησὶν ὁ Θεὸς ἄϋλός ἐστι, καὶ οἱ προσκυνεῖν ἀξιωθησόμενοι οὐκ ἐν θυσίαις ὅσον οὔπω αὐτὸν προσκυνήσουσιν. ἀλλ' ἐν πνεύματι, καὶ ἀληθείᾳ, ἤγουν καὶ οὕτω τὸν Θεὸν γνωρίσουσιν· οὐ μόνον, ἀλλ' ἐν πνεύματι τῷ ἁγίῳ, καὶ τῷ υἱῷ. οὗτος γὰρ ἡ ἀλήθεια. ἡ γυνὴ πάλιν λέγει, ἀκούομεν ἐκ τῶν γραφῶν ὅτι Μεσίας ἄρχεται, ὅ ἐστιν ὁ Χριστός. ὁ δὲ Ἰησοῦς φησίν. ἐγώ εἰμι. τὴν δ' ἀγνωμοσύνην τῆς γυναικὸς ἐγνωκώς. ᾔδεισαν δὲ οἱ Σαμαρεῖται καὶ περὶ τοῦ Μεσίου ἀπὸ τῶν Μωσαϊκῶν βίβλων. ἐξαιρέτως δὲ ἀπὸ τοῦ προφήτην ἡμῖν ἀναστήσει κύριος ὁ Θεός. καὶ ἄλλων πολλῶν συντελεσθείσης δὲ τῆς ὁμιλίας, καὶ οἱ μαθηταὶ ἔρχονται, καὶ τὴν ἄκραν ἐκπλήττονται συγκατάβασιν, πῶς μετὰ γυναικὸς διαλέγεται. τέως γεμὴν παρεκάλουν αὐτὸν φαγεῖν. ἅμα μὲν διὰ τὸ κεκοπιακέναι, καὶ διὰ τὸ τοῦ καιροῦ καυσῶδες, ὁ δὲ περὶ τῆς αἰωνίου βροφῆς αὐτοῖς διαλέγεται· τῆς τῶν ἀνθρώπων δηλαδὴ σωτηρίας, καὶ ὅπως δεῖ αὐτοὺς τοῖς τῶν προφητῶν κόποις θερίσαι, ἀλλὰ τῆς γυναικὸς πρὸς τὴν πόλιν φθασάσης, καὶ τὰ κατὰ αὐτὴν ἀνειπούσης,, ἅπαντες διεγείρονται καὶ πρὸς Χριστὸν ἔρχονται. πεισθέντες, ὡς οὐκ ἂν ἡ γυνὴ ἑαυτῆς κατηγόρησεν εἰ μὴ μέγα τι ἔγνω. καὶ δέησιν ἐκχέαντες, αὐτὸν μεῖναι παρ' αὐτοῖς ἐφ' ἡμέραις δυσὶ πείθουσι, καὶ μείνας πάμπολλα ἐνέργησε θαύματα. ἃ διὰ τὸ πλῆθος, τοῖς εὐαγγελισταῖς οὐκ ἐγράφησαν. αὕτη δὲ ἐστὶν ἡ Σαμαρεῖτις, ἡ εἰς ὕστερον ὑπὸ Χριστοῦ Φωτεινὴ κατονομασθεῖσα, ἥτις καὶ τὸν τοῦ μαρτυρίου στέφανον ἐπὶ Νέρωνος ἀνεδήσατο, καὶ μετὰ τῶν ἑπτὰ ταύτης υἱῶν, μετὰ πολλὴν κάκωσιν, καὶ ξεσμούς, καὶ μαζῶν ἐκτομὴν καὶ θλασμῶν χειρῶν, καὶ καλάμων λεπτῶν κατὰ τῶν ὀνύχων εἰς βολήν, καὶ μολύβδου κατάποσιν. καὶ ἄλλων βασάνων ἀπείρων ἐξέτασιν. ἰστέον δὲ ὡς τὸ τοῦ φρέατος ἐκείνου στόμιον. Ὁ βασιλεὺς Ἰουστινιανὸς ἐκεῖθεν ἐντίμως μετακομισάμενος, εἰς τὸ τοῦ θεοῦ λόγου ἀνάκτορον. τὸν μέγαν λέγω τῆς ἁγίας σοφίας νεὼν ἀνέθετο ἐπὶ φρέατι, ἀλλὰ καὶ τὸν λίθον ἐφ' ᾧ ὁ Χριστὸς καθεσθεὶς τῇ Σαμαρείτιδι διελέγετο. καὶ νῦν εἰς δεύτερον καὶ ἀμφότερα διαμένουσι περὶ τοῦ νάρθηκος ἐξ ἀνατολῶν τὸν νεὼν εἰσιέντι, πρὸς τὰ εὐώνυμα. πᾶσαν καὶ παντοίαν νόσον ἰώμενα. μάλιστα δέ, οἷς ἐκ πυρετῶν πάσχειν συμβαίνει, καὶ ῥίγους φλογίζοντος ἀλεξιφάρμακα γίνονται.

Ταῖς τῆς σῆς μάρτυρος Φωτεινῆς πρεσβείαις Χριστὲ ὁ Θεὸς ἐλέησον ἡμᾶς. Ἀμήν.

πέμπει. ἔτι γὰρ ἐκεῖ ἦσαν αἰχμάλωτοι, ὡς ἂν καὶ τοῖς τοῦ θεοῦ νόμοις εἰσδέξονται, καὶ τῶν μὲν εἰδώλων αὖθις ἀπεπήδησαν. μόνα δὲ τὰ πέντε βιβλία Μωσέως ἐδέξαντο, ἀπαναινόμενοι τοὺς προφήτας, καὶ τὴν λοιπὴν γραφήν. οὗτοι καὶ σαμαρεῖται ἐκαλοῦντο, ὡς ἀπὸ τοῦ ὄρους Σομόρ. καὶ μισητοὶ ἦσαν τοῖς ἑβραίοις ἐκ τῆς αἰχμαλωσίας ἄρτι ἐπανιοῦσιν. ὅτι ἐξ ἡμισείας ἰουδάϊζον, καὶ συνήθειον αὐτοῖς, βδελυκτοὺς αὐτοὺς ἡγούμενοι. διὸ καὶ τὸν Χριστὸν πολλάκις σαμαρείτην ἐκάλουν. ὥς τινα τῶν νομικῶν δῆθεν καταλύοντα, καθάπερ ἐκεῖνοι. ἔρχεται οὖν εἰς Συχάρ, κεκοπιακὼς ἀπὸ τῆς ὁδοιπορίας ἐκάθισε, περὶ ὥραν τῆς ἡμέρας ἕκτην. γυνὴ δέ τις ἀπὸ τῆς πόλεως ἔρχεται ἀντλῆσαι ὕδωρ, τῶν μαθητῶν πρὸς ὠνὴν ἀπελθόντων τροφῆς. ζητεῖ οὖν ὕδωρ ὁ Ἰησοῦς. ἡ δὲ, τὸ μὴ συγχρᾶσθαι τούτοις προβάλλεται. ἔγνω γὰρ αὐτὸν, καὶ ἀπὸ τῆς φωνῆς, καὶ ἀπὸ τῆς στολῆς. ὁ δὲ, ἀνάγει ταύτην. τὸ πνευματικὸν ὕδωρ ἐνάγων εἰς μέσον. ὃ τὸ ἄφθονον δηλοῖ, καὶ καθαρτικόν. τὸ γὰρ πνεῦμα ὕδατι καὶ πυρὶ ἀεὶ παρεικάζει. ἡ δὲ γυνὴ ἀσφαλῶς διακειμένη τὸ μὴ ἔχειν ἐκεῖνον ὕδωρ τοιοῦτο ἐκ τοῦ μὴ ἄντλημα ἐπιφέρεσθαι. καὶ τὸ φρέαρ εἶναι βαθὺ ἐπιλέγει, εἶτα καὶ εἰς τὸν προπάτορα Ἰακὼβ ἀναφέρει τὸν λόγον. ὅτι ἐκεῖνος τὸ φρέαρ ἀνώρυξε. Καὶ αὐτὸς καὶ τὰ θρέμματα αὐτοῦ ἐξ ἐκείνου ἔπιον, τὸ πλούσιον ἐντεῦθεν τῆς πηγῆς παριστάνουσα, καὶ τὸ ἄλλως εὔκρασον καὶ ψυχρόν. ὁ Χριστὸς μέντοι, οὐ μείζονα ἑαυτὸν λέγει τοῦ Ἰακὼβ, ἵνα μὴ τὴν γυναῖκα θροήσῃ, ἀλλὰ περὶ τοῦ ὕδατος πάλιν διαλέγεται. παριστῶν ἐντεῦθεν τὸ αὐτοῦ ὑπερφέρον. εἴπερ ὁ πίνων ἐκ τοῦ ὕδατος ἐκείνου, διψᾷ οὐδαμῶς, ἀπαιτεῖ αὐτῷ ἡ γυνή. ὁ δὲ, τὸν ταύτης ἄνδρα λέγει φωνῆσαι, ὡς στερροτέρας τῶν λόγων δεομένη φρονήσεως. ἡ δ᾽ ἀπαρνεῖται μὴ ἔχειν ἄνδρα. ὁ δὲ πάντα εἰδὼς, λέγει. καλῶς εἶπας. πέντε γὰρ ἔχες ὡς ὁ νόμος διακελεύεται, ὃν δὲ νῦν ἔχεις ἕκτον ὡς παρανόμως ἐκείνῳ συγγινομένη, οὐκ ἔστι σου ἀνήρ. τινὲς μὲν οὖν πέντε ἄνδρας τὴν πεντάβιβλον τοῦ Μωϋσέως εἶναι ἐνόμισαν. ἥνπερ οἱ σαμαρεῖται ἐδέχοντο. ἕκτον δὲ αὐτοὺς τοῖς λόγοις τοῦ Χριστοῦ. οἱ οὐκ ἦσαν ἐκείνης ἔτι. οὔπω γὰρ ἡ χάρις ἐξεκέχυτο, ἄλλοι δὲ τοὺς δοθέντας πέντε νόμους παρὰ θεοῦ. τὸν ἐν παραδείσῳ. τὸν μετὰ τὴν ἐξορίαν. τὸν ἐπὶ Νῶε. τὸν ἐπὶ Ἀβραάμ. τὸν ἐπὶ Μωσέως. τὸ ἕκτον δὲ τὸ εὐαγγέλιον, ὃν οὐ μὴν οὐκ εἶχεν. εἰσὶ δὲ οἱ καὶ τὰς πέντε αἰσθήσεις λέγουσιν, ἀποκρίνεται αὐτῷ ἡ γυνή. προφήτην αὐτὸν ὀνομάζουσα, εἶτα ἐρωτᾷ αὐτὸν, καὶ περὶ τοῦ ὄρους, ποῦ δεῖ προσκυνεῖν, ἐν Σομὼρ, ἢ ἐν Ἱεροσολύμοις. οὐ γὰρ ἐνόμιζον οἱ σαμαρεῖται, ὡς ἀτελεῖς πανταχοῦ τὸν θεὸν εἶναι, ἀλλ᾽ ἐκεῖσε τὸν θεὸν διατρίβειν μόνον, ὅπου καὶ προσεκύνουν, ἐν τῷ Γαριζὶν δηλαδὴ ὄρει, διὰ τὸ ἐκεῖ δοθῆναι τὰς εὐλογίας παρὰ θεοῦ,

ἢ διότι

γλυκείᾳ προσρήσει, μᾶλλον πρὸς αἴτησιν τοῦ ἀϊδίου ὕδατος, ὃ καὶ λαβοῦσα τοῖς πᾶσιν ἐκήρυξεν εἰποῦσα. δεῦτε ἴδετε τὸν κρυπτῶν γνώστην καὶ θεὸν παραγενόμενον σαρκὶ, διὰ τὸ σῶσαι τὸν ἄνθρωπον.

Εἰς τὸν στίχον. τὸ στιχηρὸν τοῦ στίχου, καὶ τὰ τοῦ ἀλφαβήτου. τοῦ δ´. ἤχου. ζήτει φ. σδ´. δόξα καὶ νῦν. ἦχος πλαγίου β´.

Παρὰ τὸ φρέαρ τοῦ Ἰακώβου. εὑρὼν ὁ Ἰησοῦς τὴν Σαμαρείτιδα αἰτεῖ ὕδωρ παρ᾽ αὐτῆς, ὁ νέφεσι καλύπτων τὴν γῆν, ὢ τοῦ θαύματος, ὁ τοῖς χερουβὶμ ἐποχούμενος, πόρνῃ γυναικὶ διαλέγεται. ὕδωρ αἰτῶν, ὁ ἐν ὕδασι τὴν γῆν κρεμάσας, ὕδωρ ζητῶν ὁ πηγὰς καὶ λίμνας ὑδάτων ἐκχέων. θέλων ἑλκῦσαι ὄντως αὐτὴν, τὴν θηρευομένην ὑπὸ τοῦ πολεμήτορος ἐχθροῦ, καὶ ποτίσασθαι ὕδωρ ζῶν, τὴν φλεγομένην ἐν τοῖς ἀτοπήμασι δεινῶς, ὡς μόνος εὔσπλαγχνος καὶ φιλάνθρωπος.

Τὸ τροπ. ἦχος δ´. τὸ φαιδρὸν τῆς ἀναστάσεως. ζήτει φ. σδ´. τὰ λοιπὰ καὶ ἀπολ. εἰς τὸ ἀπόδ. κανὼν τῆς θεοτόκου.

Εἰς τὸν ὄρθρον. θεὸς κύριος, τὸ τροπ. τὸ ἀναστάσιμον β´. καὶ θ´. μετὰ τὴν στιχολογίαν. ἡ ὑπακοὴ ἀναστάσιμος τοῦ δ´. ἤχου. ζήτει ϙ σε´. εἶτα ἡ ἀνάγνωσις.

Τῇ αὐτῇ ἡμέρᾳ, κυριακῇ τετάρτῃ μετὰ τὸ πάσχα. τὴν τῆς Σαμαρείτιδος ἑορτὴν ἑορτάζομεν, ἐπειδὴ ἐν ταύτῃ ὁ Χριστὸς μεσσίαν ἑαυτὸν ἀριδήλως ὁμολογεῖ. ὃ δέ ἐστι Χριστὸς ἢ εἰλημμένος. μεσσίας γὰρ παρ᾽ ἑβραίοις τὸ ἔλεος. διὰ τοῦτο γὰρ οἶμαι καὶ ἐν τῇ τῆς μεσοπεντηκοστῆς ἑβδομάδι τέτακται, καὶ ὅτι τῇ μὲν πρὸ ταύτης κυριακῇ ἐν τῇ κολυμβήθρᾳ θαυματουργεῖ, καὶ ἐν ταύτῃ δὲ ἐπὶ τῷ τοῦ Ἰακὼβ φρέατι, ὃ αὐτὸς Ἰακὼβ ἀνώρυξε καὶ ἐχαρίτο Ἰωσὴφ τῷ υἱῷ αὐτοῦ. ἐξαίρετος γὰρ ἦν ὁ τόπος, ὅπου καὶ πλησίον ὄντως τοῦ ὄρους Σομὼρ οἱ Σαμαρεῖται κατῴκουν πόλεις πολλάς. εἰς Συχὰρ δὲ παραγίνεται ὁ Χριστὸς, ὅπου παροικήσαντι πάλαι τῷ Ἰακὼβ μετὰ Δίνας τῆς θυγατρὸς αὐτοῦ καὶ τῶν παίδων. Συχὲμ ὁ υἱὸς τοῦ Ἐμὸρ ὁ χορραῖος ἐρασθεὶς αὐτῆς καὶ βιασάμενος, συνεγίνετο μετ᾽ αὐτῆς κἀντεῦθεν οἱ ἀδελφοὶ ταύτης διερεθισθέντες πρὸς ζῆλον, αἴφνης εἰσιόντες τὴν πόλιν, ἄρδην ἅπαντας ἀποκτείνουσι, καὶ αὐτὸν Συχὲμ, καὶ τὸν πατέρα αὐτοῦ τὸν Ἐμόρ, κατοικεῖ οὖν ἐκεῖ ὁ Ἰακὼβ, καὶ τὸ παρὸν φρέαρ ἀνώρυξεν, οὐ Σαμαρεῖται δὲ τὰ πρῶτα κατῴκουν αὐτὸ τὸ ὄρος, ἀλλ᾽ Ἰσραηλῖται, οἳ τῷ θεῷ προσκεκρουκότες, Φακεὲ βασιλεύοντος, διὰ πρώτης συμβολῆς καὶ δευτέρας, τῶν Ἀσσυρίων παραγενομένων ὑποτελεῖς φόρου κατέστησαν. καὶ μετὰ μικρὸν Ὡσηὲ βασιλεύοντος προσφέρονται τοῖς αἰθίοψιν. ὃ μαθὼν ὁ Ἀσσύριος, μεθίστησι τούτους εἰς Βαβυλῶνα. ἐν δ᾽ ἐκείνῳ τῷ τόπῳ διάφορα κατοικεῖν ἔθνη προσέταξεν, ἀλλ᾽ ὁ θεὸς λέοντας τοῖς ἀλλοφύλοις ἐκείνοις ἀφίησι. ὁ δὲ βασιλεὺς Ἀσσυρίων τοῦτο ἀναμαθὼν, ἱερέα ἐξ Ἰουδαίων αὐτοῖς

ᾠδὴ θ'. ὁ εἱρμός. Λίθος ἀχειρότμητος.

Νέαν καὶ καινὴν πολιτείαν παρὰ Χριστοῦ μεμαθηκότες. ταύτην μέχρι τέλους φυλάττειν διαφερόντως πάντες σπουδάσωμεν, ὅπως ἁγίου πνεύματος, τὴν παρουσίαν ἀπολαύσωμεν. Ζωὴ μου τὸ θνητὸν ζωοδότα, περιβολὴν ἀθανασίας, καὶ τῆς ἀφθαρσίας τὴν χάριν, ἐνδύσας σῶτερ συνεξανέστησας, καὶ τῷ πατρὶ προσήγαγες. τὸν χρόνιόν μου λύσας πόλεμον.

Θ. Ὡς ῥίζαν, πηγὴν καὶ αἰτίαν, τῆς ἀφθαρσίας σε παρθένε, πάντες οἱ πιστοὶ πεπεισμένοι, ταῖς εὐφημίαις καταγεραίρομεν, σὺ γὰρ τὴν ἐνυπόστατον ἀθανασίαν ἡμῖν ἔβλυσας.

Ἐξαποστειλάριον. Ὁ οὐρανὸν τοῖς ἄστροις.

Ὁ τῶν χαρίτων ἔχων, τῶν ἀκενώτων δωρεῶν, δέσμιοι ἀῤῥύσασθαι ὕδωρ, εἰς ἄφεσιν ἁμαρτιῶν. ὅτι συνέχομαι δίψει, εὔσπλαγχνε μόνε οἰκτίρμον.

Εἰς τοὺς αἴνους στιχηρὰ ἦχος δ'. γίνονται ς'. Κύριε ἀνελθὼν ἐν τῷ σταυρῷ.

Πάρεστιν ἡ μεσότης ἡμερῶν, τῶν ἐκ σωτηρίου ἀρχομένων ἐγέρσεως, πεντηκοστῇ δὲ τῇ θείᾳ σφραγιζομένη καὶ λάμπει τὰς λαμπρότητας, ἀμφοτέρωθεν ἔχουσα, καὶ ἑνοῦσα τὰς δύο, καὶ παρεῖναι τὴν δόξαν προφαίνουσα, τῆς δεσποτικῆς ἀναλήψεως σεμνύνεται. Ἤκουσε καὶ εὐφράνθη ἡ Σιών, εὐαγγελισθείσης τῆς Χριστοῦ ἀναστάσεως, οἱ δὲ πιστοὶ αὐτῆς χόροι, ἠγαλλιάσαντο, τοῦτον θεασάμενοι καὶ ἐκπλυνοῦντα πνεύματι, ῥύπον χριστοκτονίας, δι' ἧς ἐπιζεται πανηγυρίζουσα, τὴν τῶν ἑκατέρων εὐφρόσυνον μεσότητα. Ἤγγικεν ἡ τοῦ θείου δαψιλὴ, χύσις ἐπὶ πάντας ὡς περ γέγραπται πνεύματος ἡ προθεσμία κηρύττει, ἡ μεσάσασα τῆς μετὰ Χριστοῦ θάνατον, καὶ ταφὴν, καὶ ἀνάστασιν, παρ' αὐτοῦ δεδομένης, ἀψευδοῦς μαθηταῖς ὑποσχέσεως, τὴν τοῦ παρακλήτου δηλούσης ἐπιφάνειαν.

Δόξα καὶ νῦν. ζήτει τὸ β'. στιχηρὸν τοῦ ἑσπέρου. Ὅτε παρεγένου ἐν ἱερῷ Χριστὲ ὁ θεός. Δοξολογία μεγάλη. τὸ σήμερον. ἡ ἐκτενὴ αἱ αἰτήσεις. καὶ ἀπόλ.

Ταύτην οὖν τὴν ἑορτὴν ἀποδίδομεν τῷ σαββάτῳ τῆς αὐτῆς ἑβδομάδος, ψάλλοντες εἰς τὸν ὄρθρον τὸν κανόνα τῆς ἑορτῆς εἰς ς'. καὶ τοῦ ἁγίου δ'.



Κυριακῇ τετάρτῃ τῆς Σαμαρείτιδος. Τῷ σαββάτῳ ἑσπέρας στιχηρὰ ἀναστάσιμα δ'. τὸ α'. δὶς καὶ ἀνατολικὰ δ'. γίνονται ὁμοῦ η'. τοῦ δ'. ἤχου. ζήτει φύλ. σγ'. δόξα καὶ νῦν πλαγ. β'.

Ἡ πηγὴ τῆς ζωαρχίας Ἰησοῦς ὁ σωτὴρ ἡμῶν, ἐπὶ τὴν πηγὴν ἐπιστὰς τοῦ Πατριάρχου Ἰακώβ. πιεῖν ἐζήτει ὕδωρ παρὰ γυναικὸς Σαμαρείτιδος. τῆς δὲ τὸ ἀκοινώνητον τῶν Ἰουδαίων προειπούσης, ὁ σοφὸς δημιουργὸς μετοχετεύει. αὐτὴν. ταῖς

γλυ-

ᾠδὴ ϛ'. ὁ εἱρμός. Θύσωσοι μετά.

Μεσότης πεντηκοστῆς ἐφέστηκε σήμερον, ἔνθεν τοῦ θείου μὲν πάσχα, θειοτάτῳ φέγγει καταυγασθεῖσα· ἐκεῖθεν δὲ τοῦ παρακλήτου λάμπουσα χάριτι. Ἐλάλεις ἐν τῷ ναῷ Χριστὲ παριστάμενος, τῶν Ἰουδαίων τοῖς δήμοις, τὴν οἰκείαν δόξαν ἀποκαλύπτων, καὶ περιφαίνων τὴν συμφυΐαν πρὸς τὸν γεννήτορα. Θ'. Γενοῦ μοι περιστασία καὶ τεῖχος ἀκράδαντον, τῶν κοσμικῶν μου σκανδάλων, λυτρουμένη μόνη θεογεννήτορ, καὶ ταῖς θείαις φωτοχυσίαις καταλαμπρύνουσα.

Κοντάκιον ἦχος δ'. Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ.

Τῆς ἑορτῆς τῆς νομικῆς μεσαζούσης, ὁ τῶν ἁπάντων ποιητὴς καὶ δεσπότης, πρὸς τοὺς παρόντας, ἔλεγες Χριστὲ ὁ θεός, δεῦτε καὶ ἀρρύσασθε ὕδωρ ἀθανασίας, ὅθεν σοὶ προσπίπτομεν καὶ πιστῶς ἐκβοῶμεν, τοὺς οἰκτιρμούς σου δώρησαι ἡμῖν. σὺ γὰρ ὑπάρχεις πηγὴ τῆς ζωῆς ἡμῶν.

Ὁ οἶκος

Τὴν χερσωθεῖσάν μου ψυχὴν πλαισμάτων ἀνομίαις, ῥοαῖς τῶν σῶν αἱμάτων κατάρδευσον καὶ δεῖξον καρποφόρον ἀρεταῖς· σὺ γὰρ ἔφης πᾶσι τοῦ προσέρχεσθαι πρὸς σὲ λόγε θεοῦ πανάγιε. καὶ ὕδωρ ἀφθαρσίας ἀρρύεσθαι. ζῶντε καὶ καθαῖρον ἁμαρτίας, τῶν ὑμνούντων τὴν ἔνδοξον καὶ θείαν σου ἔγερσιν, παρέχων ἀγαθὲ τὴν ἀπὸ τοῦ ὕψους ἐνεχθεῖσαν ἀληθῶς τοῖς μαθηταῖς σου πνεύματος ἰσχὺν, τοῖς σὲ θεὸν γινώσκουσι.

Σὺ γὰρ ὑπάρχεις πηγὴ τῆς ζωῆς ἡμῶν.

ᾠδὴ ζ'. ὁ εἱρμός. Ἐν τῇ καμίνῳ.

Ἰσχύϊ σῶτερ, τὴν τοῦ θανάτου λύσας δύναμιν, τρίβον τῆς ζωῆς ἐγνώρισας τοῖς θνητοῖς. οἱ χαρίστως σοι κραυγάζουσιν. εὐλογημένος εἶ ἐν τῷ ναῷ τῆς δόξης σου κύριε. Σαρκοφοροῦντα, τεθεαμένοι οὐκ ἐπέγνωσαν, δῆμοι, τῶν ἑβραίων λόγε σὲ τοῦ θεοῦ, ἀλλ' ἡμεῖς σὲ ἀναμέλπομεν. εὐλογημένος εἶ ἐν τῷ ναῷ τῆς δόξης σου κύριε. Θ'. Τὸ τοῦ ὑψίστου ἡγιασμένον θεῖον σκήνωμα. χαῖρε, διὰ σοῦ γὰρ δέδοται ἡ χαρὰ, θεοτόκε τοῖς κραυγάζουσιν, εὐλογημένη σὺ ἐν γυναιξὶν ὑπάρχεις πανάμωμε δέσποινα.

ᾠδὴ η'. ὁ εἱρμός. Χεῖρας ἐκ.

Ὡραῖος ἐκ τάφου ἀναστάς, τῇ τῆς θεότητος δόξῃ κοσμούμενος. τοῖς ἀποστόλοις σου κύριε ἐπεφάνης τὴν τοῦ πνεύματος, ἐπαγγελλόμενος αὐτοῖς, πέμψειν ἐνέργειαν, τοῖς βοῶσι πάντα τὰ ἔργα κυρίου τὸν κύριον. Ἀκτῖνας ὡς ἥλιος Χριστὲ, δικαιοσύνης φανείς, κόσμῳ ἀπέστειλας, τοὺς ἀποστόλους σου φέροντας, σὲ τὸ φῶς τὸ ἀκατάληπτον, καὶ τῆς ἀγνοίας τὴν ἀχλὺν ἀποκαθαίροντας, καὶ βοῶντας, πάντα τὰ ἔργα κυρίου τὸν κύριον. Θ'. Ἰδοὺ νῦν ἐξέλιπε σαφῶς, ἐκ τῆς Ἰούδα φυλῆς, ἄρχων ἡγούμενος. σὺ γὰρ πανάμωμε τέτοκας, τὰ αὐτῷ πρὶν ἀποκείμενα, τὴν προσδοκίαν τῶν ἐθνῶν, Χριστόν. ὃν ψάλλομεν. εὐλογεῖτε πάντα τὰ ἔργα κυρίου τὸν κύριον.

αὐτὴν ἑορτὴν ἑορτάζεται, ὅτι κἀκεῖσε πολλὰ περὶ τοῦ Μεσίου Χριστοῦ διέξεισι. καὶ περὶ ὕδατος καὶ δίψης, ὡς ἐνταῦθα· ἐν γὰρ τῷ εὐαγγελιστῇ Ἰωάννῃ τὸ τοῦ τυφλοῦ, μᾶλλον τῆς Σαμαρείτιδος προέκειται. Τῷ ἀπείρῳ ἐλέει σου Χριστὲ ὁ θεὸς ἐλέησον ἡμᾶς.

Ἀνάστασιν Χριστοῦ θεασάμενοι. ὁ ν'. καὶ ὁ κανών. ἦχος δ'. ᾠδὴ α'. Γίνονται στιχ. ιδ'. ὁ εἱρμός. Θαλάσσης. τὸ ἐρυθραῖον πέλαγος.

Μεγάλαι τῆς ὑπὲρ νοῦν σου δέσποτα θείας σαρκώσεως, αἱ ἐργασίαι λάμπουσιν ἡμῖν. δωρεαί τε καὶ χάριτες, καὶ θεϊκαὶ λαμπρότητες, ἀγαθοδότως ἀναβρύουσαι. Ἐπίσης μαρμαρυγὰς θεότητος, ἐξαποστέλλων Χριστέ. τῆς ἑορτῆς ἐν μέσῳ προφανῶς. ἑορτὴ γὰρ χαρμόσυνος, τῶν σωζομένων πέφυκας, καὶ σωτηρίας ἡμῖν πρόξενος. Σοφία δικαιοσύνης κύριε, καὶ ἀπολύτρωσις, παρὰ θεοῦ σὺ γέγονας ἡμῖν, ἀπὸ γῆς πρὸς οὐράνιον, διαβιβάζων ὕψωμα, καὶ πνεῦμα θεῖον χαριζόμενος.

ᾠδὴ γ'. Εὐφραίνεται.

Ναμάτων ζωοποιῶν, τῇ ἐκκλησίᾳ τὰς πηγὰς ἤνοιξας, εἴ τις διψᾷ πρόθυμος, ἴτω καὶ πινέτω βοῶν ἀγαθέ. Ἐκ γῆς μὲν πρὸς οὐρανὸν, ἀνυψωθῆναι προφανῶς ἔλεγες· ἐξ οὐρανοῦ πνεῦμα δὲ πέμπειν ἐπηγγείλω τὸ ἅγιον. Θ'. Ὁ φύσει ζωοποιὸς, καὶ ἐκ παρθένου γεννηθεὶς κύριος. πᾶσι πιστοῖς δεδώρηται τὴν ἀθανασίαν ὡς εὔσπλαγχνος.

Κάθισμα ἦχος πλάγιος δ'. Ἀνέστης ἐκ νεκρῶν.

Μεσούσης ἀνελθὼν, τῆς ἑορτῆς τοῦ πάσχα, ὁ κτίστης τοῦ παντὸς ἐν τῷ ναῷ ἔλεγες. ἔρχεσθε οἱ διψῶντες καὶ ἀρρύσασθε ὕδωρ ζωήρρυτον, οὗπερ ἐμφορηθέντες ἀτόπου δίψης ἀπαλλαγήσεσθε, καὶ παθημάτων ἑλκηπονηρῶν ξηρᾶναι δυνήσεσθε. Δόξα καὶ νῦν τὸ αὐτό. ᾠδὴ γ'. ὁ εἱρμός. Ἐπαρθέντα σε ἰδοῦσα.

Τὴν μεσότητα τῶν ὅλων, καὶ τέλος ἔχων, καὶ τὴν ἀρχὴν ὡς ἄναρχος, περιδεδραγμένος, ἔστης ἐν τῷ μέσῳ βοῶν. τῶν θείων θεόφρονες δεῦτε δωρεῶν ἀπολαύσατε. Ὡς θεὸς καὶ πάντων ἔχων τὴν ἐξουσίαν, ὡς δυνατὸς τὸ κράτος, καθελὼν τοῦ θανάτου, πέμπειν ἐπηγγείλω Χριστὲ, τὸ πνεῦμα τὸ ἅγιον, τὸ ἐξ ἀμφοῖν ἐκπορευόμενον. Θ'. Νέμοις πλουσίως τὴν χάριν τοῖς σὲ ὑμνοῦσι, καὶ τὸν ἐκ σοῦ τεχθέντα προαιώνιον λόγον, μήτηρ ἀπειρόγαμε, πταισμάτων τὴν ἄφεσιν, τούτοις αἰτουμένη πανάχραντε.

ᾠδὴ ε'. Σὺ κύριέ μου φῶς.

Τῶν θείων ἑορτῶν, τὴν μεσότητα φθάσαντες, τὸ τέλος τῆς ἐν θείᾳ, ἀρετῆς ἐξασκῆσαι, σπουδάσωμεν θεόφρονες. Ὡς ὄντως ἱερὰ ἡ παροῦσα πανήγυρις, μεσότητα τῶν μεγίστων, ἑορτῶν γὰρ δείξει, καὶ λάμπει ἀμφοτέρωθεν. Θ'. Νοῦς ἀρχαγγελικὸς οὐκ ἰσχύει νοῆσαί σου, τὸν ἄφραστον ἐκ παρθένου, καὶ πανάχραντον τόκον, σωτήρ μου πολυέλεε.

ᾠδὴ

του. μετὰ τὸ ἐνεργῆσαι τὸν Χριστὸν τὸ εἰς τὸν παράλυτον θαῦμα ὑπερφυές, οἱ Ἰουδαῖοι δῆθεν ὑπὲρ τοῦ σαββάτου σκανδαλιζόμενοι, καὶ γὰρ ἐν σαββάτῳ πέπρακται, ἐζήτουν αὐτὸν ἀποκτεῖναι. φθάνει τοίνυν εἰς γαλιλαίαν, καὶ τοῖς ἐκεῖσε ὄρεσι διατρίβων, τὸ τῶν πέντε ἄρτων καὶ δύο ἰχθύων τεράστιον ἐνεργεῖ, πεντακισχιλίους ἐκθρέψας χωρὶς γυναικῶν καὶ παιδίων. μετέπειτα δὲ τῆς σκηνοπηγίας ἐνστάσης. μεγάλη δὲ καὶ αὕτη ἑορτὴ παρὰ Ἰουδαίοις. εἰς Ἱεροσόλυμα ἀναβαίνει, καὶ περιεπάτει κρύφα, περὶ δὲ τὸ μέσον αὐτῆς εἰς τὸ ἱερὸν ἀνιὼν ἐδίδασκε, καὶ πάντες τῇ αὐτοῦ διδαχῇ ἐξεπλήττοντο. φθονοῦντες δὲ αὐτῷ ἔλεγον. πῶς οὗτος οἶδε γράμματα μὴ μεμαθηκώς; νέος γὰρ ὢν Ἀδὰμ οἶδε.. καθὰ καὶ ὁ πρῶτος ἐκεῖνος πάσης τῆς σοφίας ἀνάμεστος, καὶ ὡς θεὸς πάλιν, ἐγόγγυζον οὖν ἅπαντες καὶ πρὸς φθόνον ὁρμῶντες ἦσαν αὐτοῦ. ὁ δὲ Χριστὸς ἐλέγχων αὐτοὺς χρώμενος, ὡς ὑπὲρ τοῦ σαββάτου δῆθεν μαχομένοις ἔλεγε. τί με ζητεῖτε ἀποκτεῖναι; ὁ δὲ πάλιν πρὸς τὰ πρότερα ἀποκτείνεται, εἰ ὑπὲρ τοῦ νόμου μάχεσθε λέγων. τί πρός με θυμοῦσθε; ὅτι ὅλον ἄνθρωπον ἐποίησα ὑγιῆ ἐν σαββάτῳ, τοῦ Μωσέως καὶ ταῦτα νομοθετοῦντες, καταλύειν αὐτό. ἡνίκα χάριν τῆς περιτομῆς διαλέγεται. πολλὰ οὖν αὐτοῖς περὶ τούτου διαλεχθείς, καὶ ἀποδείξας ἑαυτὸν δοτῆρα τοῦ νόμου, καὶ τῷ πατρὶ ἴσον. καὶ μάλιστα τῇ ἐσχάτῃ ἡμέρᾳ τῇ μεγάλῃ τῆς ἑορτῆς λιθάζεται παρ' αὐτῶν. ἀλλὰ λίθος αὐτοῦ τι παράπαν οὐχ ἥψατο. ὅτε καὶ παράγων ἐκεῖθεν, τὸν ἐκ γενετῆς εὑρίσκει τυφλὸν καὶ ὀμματοῖ αὐτόν. ἰστέον δὲ, ὡς τρεῖς ἦσαν παρὰ Ἰουδαίοις μέγισται ἑορταί. Πρώτη ἡ τοῦ πάσχα. ἥτις δὴ ἐτελεῖτο ἐν τῷ πρώτῳ μηνί, ἀνάμνησιν ἔχουσα τῆς ἐν τῇ ἐρυθρᾷ θαλάσσῃ διαβάσεως. Δευτέρα δὲ ἡ πεντηκοστή, τὴν ἐν τῇ ἐρήμῳ διατριβήν, μετὰ καὶ τῆς ἐρυθρᾶς διάβασιν ὑπομιμνήσκουσα. πεντήκοντα γὰρ ἡμέρας διῆγον ἐν ἐρήμῳ. ἕως οὗ τὸν νόμον τοῦ Μωσέως λάβωσιν. ἔτι δὲ καὶ διὰ τὴν τοῦ ἑπτὰ ἀριθμοῦ τιμήν, σεβασμίου παρ' αὐτοῖς ὄντος. Τρίτη δὲ αὐτοῖς ἑορτή, ἡ τῶν σαλπίγγων, καὶ τῆς σκηνοπηγίας, μνείαν ποιουμένη τῆς σκηνῆς. ἣν ἐν τῇ νεφέλῃ τοῦ ὄρους ἰδὼν, Μωϋσῆς διὰ τοῦ ἀρχιτεκτέκτονος Βεσελεὴλ πήξας ἔστησεν. ἥτις καὶ ἐν ἑπτὰ ἐτελεῖτο ἡμέραις. τῆς συγκομιδῆς τῶν καρπῶν μνείαν ἔχουσα, καὶ τῆς καταπαύσεως τῆς ἐρημικῆς. ὅτε δὴ τελουμένης ταύτης τῆς ἑορτῆς, στὰς ὁ Ἰησοῦς μεγάλῃ φωνῇ ἔκραξεν, εἴ τις διψᾷ ἐρχέσθω πρός με καὶ πινέτω. ἐπεὶ οὖν ἐν τῇ διδασκαλίᾳ ταύτῃ, ὁ Χριστὸς μεσσίαν ἑαυτὸν ἀπέδειξεν. μεσίτης καὶ διαλλακτὴς ἡμῶν γενόμενος, καὶ τοῦ αἰωνίου αὐτοῦ πατρὸς διὰ ταύτην τὴν αἰτίαν τὴν παροῦσαν ἑορτὴν ἑορτάζοντες, μεσοπεντηκοστὴν ὀνομάζοντες, τὸν μεσσίαν τε ἀνυμνοῦμεν Χριστόν, καὶ τὸ τίμιον τῶν παρ' ἑκάτερα δύο μεγάλων ἑορτῶν παρισάνοντες. τούτου δὲ οἶμαι χάριν, καὶ ἡ τῆς Σαμαρείτιδος μετ

[Δό]ξα καὶ νῦν. ἦχος πλάγιος δ΄.

Καθαρθῶμεν ἐννοιῶν τοὺς κευθμῶνας, καὶ ψυχικὰς λαμπάδας διαυγάσωμεν, καὶ τὴν ζωὴν κατίδωμεν Χριστὸν, ἐν ἱερῷ ἀφικόμενον, ὑπερβολῇ ἀγαθότητος, ἵνα τὸν ἐχθρὸν θριαμβεύσῃ, καὶ σώσῃ τὸ γένος ἡμῶν, διὰ πάθους σταυροῦ καὶ τῆς ἀναστάσεως. πρὸς ὃν βοήσωμεν ἀκατάληπτε κύριε δόξα σοι.

Εἰς τὸν ἑσπερινὸν προκείμ. τῆς ἡμέρας. εἶτα ἡ ἐκτενής, αἱ αἰτήσεις. εἰς τὸν στίχον στιχηρά. ἦχος β΄.

Ὅτε μέσον τῆς ἑορτῆς ἐπέστη, ἀνέβη ὁ Ἰησοῦς ἐπὶ τὸ ἱερὸν, καὶ ἐδίδασκε λέγων, τοῖς ἀπειθέσιν Ἰουδαίοις. ὁ διψῶν ἐρχέσθω πρός με καὶ πινέτω, ὕδωρ ζωηρὸν αἰώνιον, καὶ οὐ μὴ διψήσει εἰς τὸν αἰῶνα. ὁ πιστεύων εἰς ἐμὲ, ποταμοὶ ῥεύσουσιν ἐκ τῆς κοιλίας αὐτοῦ, καὶ ἕξει τὸ φῶς τῆς ζωῆς.

Στίχ. ἕως πότε κρίνατε ἀδικίαν, καὶ πρόσωπα ἁμαρτωλῶν λαμβάνετε.

Ὅτε παρεγένου ἐν ἱερῷ Χριστὲ ὁ θεὸς μεσούσης τῆς ἑορτῆς. τότε τοῖς λαοῖς ἐδίδασκες βοῶν. ὁ πιστεύων εἰς ἐμὲ κἂν ἀποθάνῃ ζήσεται. οἱ δὲ Ἰουδαῖοι διεπρίοντο, μετὰ τῶν φαρισαίων, καὶ γραμματέων, καὶ σαδδουκαίων, λέγοντες. τίς ἐστιν οὗτος, ὃς λαλεῖ φλασφημίας. μὴ λογιζόμενοι, ὅτι σὺ ὑπάρχεις, ὁ πρὸ πάντων αἰώνων σὺν πατρὶ καὶ πνεύματι δοξαζόμενος θεὸς ἡμῶν δόξα σοι.

Στίχ. ὁ θεὸς ἔστη ἐν συναγωγῇ θεῶν, ἐν μέσῳ δὲ θεοὺς διακρινεῖ. πλάγιος β΄. Τῆς ἑορτῆς μεσούσης, τῆς σῆς Χριστὲ ἀναστάσεως, καὶ θείας παρουσίας τοῦ ἁγίου σου πνεύματος, συνελθόντες τῶν θαυμάτων συνυμνοῦμεν τὰ μυστήρια. ἐν ᾗ κατάπεμψον ἡμῖν τὸ μέγα ἔλεος.

Δόξα καὶ νῦν. ἦχος δ΄. Ἀνατολικόν.

Φωτισθέντες ἀδελφοὶ τῇ ἀναστάσει τοῦ σωτῆρος Χριστοῦ. καὶ φθάσαντες τὸ μέσον τῆς ἑορτῆς τῆς δεσποτικῆς, γνησίως φυλάξωμεν τὰς ἐντολὰς τοῦ θεοῦ. ἵνα ἄξιοι γενώμεθα καὶ τὴν ἀνάληψιν ἑορτάσαι, καὶ τῆς παρουσίας τυχεῖν τοῦ ἁγίου πνεύματος. Τὸ ἀποστ. πλαγ. δ΄.

Μεσούσης τῆς ἑορτῆς διψῶσάν μου τὴν ψυχὴν, εὐσεβείας πότισον νάματα, ὅτι πᾶσι σῶτερ ἐβόησας, ὁ διψῶν ἐρχέσθω πρός με καὶ πινέτω ἡ πηγὴ τῆς ζωῆς Χριστὲ ὁ θεὸς δόξα σοι.

Εἰς τὸ ἀπόδειπνον κανὼν τῶν [illegible].

Εἰς τὸν ὄρθρον εἰς τὸ θεὸς κύριος τὸ ἀποστ. γ΄. στιχολογοῦμεν κάθισμα ἕν. εἶτα κάθισμα ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Ὁ πάντων ἐπιστάμενος τῶν καρδιῶν λογισμοὺς, ἐν μέσῳ ἀνέκραγε τοῦ ἱεροῦ ἑστηκὼς, τοῖς ψεύσταις λέγων ἀλήθειαν. τί ζητεῖτε πιάσαι ἐμὲ τὸν ζωοδότην; ἑορτῆς μεσαζούσης, ἐκ βοῶν παρρησίᾳ μὴ τὴν κατ᾽ ὄψιν κρίσιν κρίνητε παράνομοι.

Δόξα καὶ νῦν τὸ αὐτό. ἡ Ἀνάγνωσις.

Τῇ τετάρτῃ τοῦ παραλύτου τὴν τῆς μεσοπεντηκοστῆς ἑορτάζομεν ἑορτὴν, διὰ τὴν τιμὴν τῶν μεγάλων δύο ἑορτῶν. τοῦ πάσχα λέγω καὶ τῆς πεντηκοστῆς, ὡς ἑκατέρας ἑνοῦσάν τε καὶ συνδέουσαν. γέγονε δὲ αὕτη οὕτω.

Θεοτόκε, δι' ἡμᾶς θάνατον σαρκὶ καταδεξάμενον, ἀναστάντα βλέψασα ἐκ τοῦ τάφου. περιχαρῶς ἐδέξω, καὶ ἐμεγάλυνες.

ᾠδὴ η'. ὁ εἱρμός. Βαβυλωνία κάμινος.

Τὸν σταυρωθέντα κύριον, πάλαι θεασάμενος ἥλιος ἀπέκρυψε τὸ φῶς, καὶ αἱ πέτραι ἐσχίσθησαν, τὰ ὄρη ἐκλονήθη, καὶ ἡ γῆ ἐτρόμαξε, καὶ οἱ πάλαι δεσμῶται θᾶττον ἀπελύοντο. Ὁ κύριος ἐγήγερται πάντες ἀλαλάξωμεν, χεῖράς τε κροτήσωμεν πιστῶς, χοροῖς συστησώμεθα, τὴν τούτου δυναστείαν ἀνακηρύττοντες καὶ βοῶντες. τὰ ἔργα ὑμνεῖτε τὸν κύριον, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας. Θ'. Συνέλαβες παναμώμε τὸν πάντα συνέχοντα, τοῦτον καὶ ἐκύησας σαρκὶ, σκυλεύσαντα τὸν θάνατον, θανάτῳ τριημέρῳ, ὃν ἐκ δυσώπησον, τῆς ψυχῆς μου τὰ πάθη νεκρῶσαι καὶ σῶσαι με.

ᾠδὴ θ. ὁ εἱρμός. Τὴν ἐν βάτῳ καὶ πυρὶ προορα.

Τριημέρῳ σου ταφῇ, ἐσκυλεύθη ὁ ἐχθρὸς ἐκ τῆς τοῦ ᾅδου δεσμῶν ἀπελύθησαν νεκροί. νενέκρωται ὁ θάνατος, ἐκενώθη τὰ βασίλεια τοῦ ᾅδου. διό σε ζωοδότα ἐν ὕμνοις τιμῶντες μεγαλύνομεν. Ἡ αἰώνιος ζωὴ, πῶς ἐγεύσω δι' ἡμᾶς, θανάτου θέλων Χριστέ. πῶς κατῆλθες ἐν νεκροῖς ἡ πάντων ἐξανάστασις, καὶ ἐκένωσας τοῦ ᾅδου τὰ βασίλεια. διό σε ἀχαρίστως ἐν ὕμνοις τιμῶντες μεγαλύνομεν. Ῥῦσαι πάλιν καὶ λαὸν, καταφεύγοντα εἰς σὲ θεογεννῆτορ ἁγνὴ ἡ κυήσασα Χριστὸν. ἐκ πάσης ἐναντίας ὀργῆς, καὶ ἁλώσεως ἐθνῶν, ἐπιδρομῆς τε, ὅπως σὲ καταχρέως ἐν ὕμνοις τιμῶντες μεγαλύνωμεν.



Τῇ δ'. τῆς μεσοπεντηκοστῆς. Τῇ γ' ἑσπέρας εἰς τὸ κύριε ἐκέκραξα στιχηρὰ ἦχος πλα γίου δ'. γίνονται ἡ. τὸ α'. Τετράκις.

Μεσούσης τῆς ἑορτῆς, διδάσκοντός σου σωτὴρ, ἔλεγον οἱ Ἰουδαῖοι, πῶς οὗτος οἶδε γράμματα, μὴ μεμαθηκώς. ἀγνοοῦντες ὅτι σὺ εἶ σοφία ἡ κατασκευάσασα τὸν κόσμον δόξα σοι.

Τὸ β'. τετράκις Ἰωάννου μοναχοῦ.

Μεσούσης τῆς ἑορτῆς περὶ τοῦ πάθους, καὶ τῆς ἐνδόξου ἀναστάσεώς σου κύριε, ἧς διδάσκων ἀγαθὲ ἐν τῷ ἱερῷ τοὺς ἀπειθοῦντας Ἰουδαίους, καὶ Φαρισαίοις καὶ γραμματεῖς, καὶ βοῶν πρὸς αὐτούς. ὁ διψῶν ἐρχέσθω πρός με καὶ πινέτω. ὁ πιστεύων εἰς ἐμὲ, ὕδατος ζωῆς πνεύματος θείου, ποταμοὶ ῥεύσουσιν ἐκ τῆς κοιλίας αὐτοῦ. ὢ τῆς ἀρρήτου σοφίας τῆς σῆς αἰνέσεως, ὁ τὰ πάντα πληρῶν θεὸς ἡμῶν δόξα σοι.

Τὸ γ'. δισσάκις.

Μεσούσης τῆς ἑορτῆς τοῦ πάσχα, ἐν τῷ ναῷ ἀνῆλθες τοῦ ἱεροῦ ὁ σωτὴρ ἡμῶν, καὶ στὰς ἐν μέσῳ τοῦ ὄχλου ἐδίδασκες αὐτοὺς παρρησίᾳ, καὶ ἔλεγες ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου, ὁ ἐμοὶ ἀκολουθῶν οὐ μὴ περιπατήσῃ ἐν τῇ σκοτίᾳ, ἀλλ' ἕξῃ τὸ φῶς τῆς ἀθανάτου ζωῆς.

κάλων θεονύμφατε.

Τὸ Ἅγιος Κύριος ὁ Θεὸς ἡμῶν. Τὸ ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.

Ἐπέστη ὁ φιλάνθρωπος, καὶ πανοικτίρμων Κύριος, προβατικῇ κολυμβήθρᾳ, τοῦ θεραπεῦσαι τὰς νόσους. εὗρε δὲ κατακείμενον, ἄνθρωπον πλείστοις ἔτεσι, καὶ πρὸς αὐτὸν ἐβόησεν, ἆρον τὸν κράββατον ἴθι, πρὸς τὰς ὁδοὺς τὰς εὐθείας.

Εἰς τοὺς αἴνους στιχηρὰ τῆς ὀκτωήχου. ἦχος γ΄. ζήτει· Δεῦτε. πάντα τὰ ἔθνη. εἶτα δόξα καὶ νῦν. ἦχος πλάγιος δ΄.

Κύριε τὸν παράλυτον οὐχ ἡ κολυμβήθρα ἐθεράπευσεν, ἀλλ' ὁ σὸς λόγος ἀνεκαίνισε, καὶ οὐδ' ἡ πολυχρόνιος αὐτῷ ἐνεπόδισε νόσος. ὅτι τῆς φωνῆς ὀξυτέρα ἡ ἐνέργεια ἐδείχθη, καὶ τὸ δυσβάστακτον βάρος ἀπέρριψε, καὶ τὸ φορτίον τῆς κλίνης ἐβάστασεν εἰς μαρτύριον τοῦ πλήθους τῶν οἰκτιρμῶν σου δόξα σοι.

Δοξολογία μεγάλη. καὶ ἀπόλ.

Τῇ κυριακῇ καὶ τῇ β΄. ἑσπέρας. εἰς τὸ Κύριε ἐκέκραξα, στιχηρὰ ἦχος πλάγιος δ΄. ὢ τοῦ παραδόξου.

Ὢ τοῦ παραδόξου θαύματος, ὁ ποιητὴς τοῦ παντὸς σαρκοφόρος γενόμενος, τὴν ἡμῶν ἐπτώχευσε φύσιν θέλων, ὡς εὔσπλαγχνος· καὶ τοῖς ἀνθρώποις, συνδιαιτώμενος, θαυμάτων πλήθη ἑβραίοις δέδειχεν, ὅθεν ἰάσατο, τὸν ποτὲ παράλυτον· εἰπὼν αὐτῷ. ἆρόν σου τὸν κράββατον, ἐν Βηθεσδᾷ ἐπιστάς. Σῶτερ Θεέ μου καὶ Κύριε τοὺς πεπτωκότας βροτούς, ἀναστῆσαι βουλόμενος, ἐπὶ γῆς ὡς ἄνθρωπος, περιήρχου ἰώμενος, πάντων τὰς νόσους, δι' εὐσπλαγχνίαν πολλήν, διὸ φοιτήσας προβατικῇ ἐν στοᾷ· σῶον ἀνέστησας τὸν ποτὲ παράλυτον, λόγῳ τῷ σῷ, ὀκτὼ καὶ τριάκοντα ἔτεσι κείμενον. Φθόνῳ ἑβραῖοι τηκόμενοι, εὐεργεσίας τὰς σάς, ὑπεράγαθε Κύριε, ἀφορμὴν ποιούμενοι καὶ μανίας ὑπέκκαυμα παρανομοῦντες, αὐτοὶ τὸν νόμον ἀεί, σὲ ἐπεζήτουν, κτεῖναι τιμῶντος ζωὴν διὰ τὸ σάββατον, ὅτε ὅλον ἄνθρωπον, ἔδειξας σύ, ὑγιῆ παράλυτον, ὄντα τὸ πρότερον.

Καὶ τοῦ μηναίου γ΄. δόξα καὶ νῦν. θ΄. εἰς τὸν στίχον· τῆς ὀκτωήχου καθὼς προστετάχθη τῇ β΄ τοῦ Θωμᾶ.

Εἰς τὸ ἀπόδειπνον τριῴδιον τῆς [illegible] ἑβδομάδος. ἦχος γ΄. ᾠδὴ α΄. ὁ εἱρμός. [illegible]

Νεκρωθέντα πάλαι σε, καὶ τεθέντα ἐν τῷ καινῷ μνημείῳ, ἰδὼν ὁ ᾅδης ὅλος νεκρὸς ἔμεινε σωτὴρ ἀνενέργητος. οἱ νεκροὶ δὲ πάντες τῇ σῇ ἐγέρσει τῇ ζωηφόρῳ χαίροντες, δεσμῶν ἐλύθησαν. Τὸν νεκροῖς τὸν ζῶντα τί ἐκζητεῖτε; ταῖς μυροφόροις, ἔφησε πρὸς τὸ μνῆμα, φωτοειδὴς ἄγγελος ποτέ, ἐπιφαινόμενος, ἀπελθοῦσαι τάχος τοῖς ἀποστόλοις καταμηνύσατε ἀπελθοῦσαι, τὴν τούτου ἔγερσιν. Σαρκωθέντα Κύριον ἀπορρήτως ἐκ τῶν ἁγνῶν αἱμάτων σου Θεο-

Θεο-

Κατακείμενον χρόνοις ἐπὶ πλείστοις, τὸν παράλυτον λόγῳ ὑγιώσας, ἐβόας ἆρον τὸν κράββατόν σου, καὶ πορεύου ὑμνῶν τὰ μεγαλεῖα τοῦ Θεοῦ. Μιχαὴλ ἀρχιστράτηγε κυρίου, τοὺς πιστοὺς ἐν θείῳ σου τεμένει, ἀθροιζομένους, Θεοῦ εἰς αἶνον ὁδήγει, σκέπε ἐκ παντοίων κακῶν, τῇ μεσιτείᾳ σου. Ὦ τρισὶ τοὺς πιστεῖ σε ὑμνολογοῦντας, ὡς Θεὸν τὸν ἁπάντων καὶ δεσπότην, ἀπὸ παντοίων κινδύνων σῶζε, καὶ τῶν ἀγαθῶν μετόχους ποίησον. Θ. Παρθένε ἡ τεκοῦσα ὑπὲρ λόγον, τὸν πρὸ πάντων αἰώνων γεννηθέντα, ἐκ τοῦ ἀνάρχου πατρὸς ἀρρήτως, διὰ τοῦτο ἁγνὴ σὲ μακαρίζομεν.

ᾠδὴ ηʹ. ὁ εἱρμός.

Τὸν ὑπ' ἀγγέλων ἀσιγήτως ἐν ὑψίστοις δοξαζόμενον Θεόν, οἱ οὐρανοὶ τῶν οὐρανῶν, γῆ, καὶ ὄρη καὶ βουνοί, καὶ βυθός, καὶ πᾶν γένος ἀνθρώπων ὕμνοις αὐτὸν ὡς κτίστην καὶ λυτρωτὴν εὐλογεῖτε.

Ἔτεσι πλείστοις κατακείμενος, ὁ παράλυτος ἐκραύγαζεν, ἐλέησόν με λυπρωτά, ἀπορείᾳ συνεχόμενον. ὁ δὲ προστάττει τούτῳ ἆραι αὐτοῦ δὴ τὸν κράββατον καὶ ὀρθῶς βηματίζειν. Ὡς τῶν ἀΰλων προηγούμενος ἀρχιστράτηγε δυνάμεων, σὺν ταύταις αἴτησαι ἡμῖν τῶν πταισμάτων ἀπολύτρωσιν, διόρθωσίν τε βίου, καὶ τὴν ἐκεῖ ἀπόλαυσιν ἀγαθῶν αἰωνίων. Ἄκτιστον, ἄτμητον οὐσίαν, τρισυπόστατον θεότητα, πατέρα ἄναρχον Θεόν, καὶ υἱὸν καὶ πνεῦμα ἅγιον ὑμνήσωμεν συμφώνως, τὸν στερρῶς

κραυγάζοντες τὴν φρικτὴν μελῳδίαν. Θ. Ἰδμον σὲ πάλαι ἐθεάσατο Ἡσαΐας ἀειπαρθένε, ἐν ᾧ δακτύλῳ τοῦ πατρὸς, λόγος ἄχρονος ἐγέγραπτο. ἐκ πάσης ἀλογίας σῴζων ἡμᾶς, τοὺς λόγοις σὲ ἱεροῖς ἀνυμνοῦντας.

ᾠδὴ θʹ. ὁ εἱρμός.

Ἐν σινδίῳ τῷ ὄρει κατεῖδέ σε, ἐν τῇ βάτῳ Μωσῆς, τὴν ἀφλέκτως τὸ πῦρ τῆς θεότητος δεξαμένην ἐν γαστρί. Δανιὴλ δέ σε εἶδεν ὄρος ἀλατόμητον, ῥάβδον βλαστήσασαν. Ἡσαΐας κέκραγε τὴν ἐκ ῥίζης Δαβίδ.

Ἠκολούθει ἡ ῥῶσις τοῦ σώματος, τῇ προστάξει σου Χριστέ, καὶ ἀνέστη ὁ πρώην παράλυτος, διερχόμενος σπουδῇ, καὶ τὸν κράββατον φέρων, ἐφ' ὃν κατεκλίνετο ἔτεσι πλείοσιν, ἀνυμνολογῶν τὴν πολλὴν δυναστείαν σου. Φωτισμὸν ἡμῖν αἴτησαι μέγιστε, ἀρχιστράτηγε, ἀεὶ τῷ μεγάλῳ φωτὶ παριστάμενος, καὶ εἰρηνικὸν τὴν ζωὴν ἡμῶν ἐπιρείαις, πάντοτε τοῦ ὄφεως. καὶ περιστάσεσι βίου δονουμένην ἀεὶ ἀξιάγαστε. Φῶς καὶ φῶτα ζωήν τε δοξάζωσε, καὶ ζωὰς πανευσεβῶς, πάτερ, λόγε, καὶ πνεῦμα τὸ ἅγιον, τρισυπόστατε μονάς, ἀδιαίρετον κράτος, θεότης ἀσύγχυτε. ἅγιος, ἅγιος, ἅγιος βοῶν. σὺν ταῖς ἄνω δυνάμεσι. Θ. Φωτοφόρε προῆλθε νηδύος σου μέγας ἥλιος Χριστός, καὶ τὸν κόσμον ἐφώτισεν ἄχραντε, ἐπιλάμψεσι φαιδραῖς, καὶ τὸ σκότος ἐξῆρε τὸ τῆς παραβάσεως. ὅθεν ὑμνοῦμέν σε, πάντων ὡς αἰτίαν

καλῶν

ἄνω χερουβικῶν, ὡς ἐπίσταται, ὡς οἶδεν ὁ τὰ πάντ᾽ οὐσιώσας.

ᾠδὴ ε'. ὁ εἱρμός.

Τὸ φῶς σου τὸ ἀνέσπερον Χριστέ, καταυγασάτω τὴν ταπεινήν μου ψυχήν, καὶ ὁδήγησον εἰς τὸν φόβον σου, διότι φῶς τὰ προστάγματά σου.

Παράλυτον ὡς ἤγειρας Χριστέ, τὴν παρειμένην μου ψυχὴν ὑγίασον παρακλήσει, καὶ βαδίζειν με ταῖς ὁδοῖς ὀρθαῖς διόδωσον βίβλοις. Ἀρχαγγέλων ἀρχηγέτα Μιχαήλ, τὸν ἀθροιζόμενον ἐν τῷ τεμένει σου λαόν, σήμερον, καὶ κηρύττοντα τὰ τοῦ Θεοῦ, σῶζε μεγαλεῖα. Ἰσότιμος τρισάριθμος μονάς, διαιρουμένη μὲν πιστῶς ταῖς ὑποστάσεσιν. ἑνουμένη δὲ φύσει πέφυκε. πατὴρ υἱὸς, καὶ τὸ θεῖον πνεῦμα. θ'. Τὴν ἄσπορον λοχείαν σου ἁγνή, τὴν ἀκατάληπτον ὑμνοῦμεν γέννησιν, μακαρίζοντες ὡς μητέρα σε, τοῦ ποιητοῦ πάντων καὶ δεσπότου.

ᾠδὴ ϛ'. ὁ εἱρμός.

Βυθὸς μοι τῶν παθῶν ἐπανέστη, καὶ ζάλη ἐναντίων ἀνέμων, ἀλλὰ προφθάσας με σὺ σῶσον σωτήρ, καὶ ῥῦσαι φθορᾶς, ὡς ἔσωσας τοὺς Θηρῶν τὸν προφήτην.

Ὁ πάλαι ἐπὶ κλίνης ὀδύνης ἐν χρόνοις κατακείμενος πλείστοις, τῇ σῇ προστάξει Χριστὲ ἀρπασθεὶς ἀνέξαζε, ὑμνῶν τὴν δι᾽ ἀπαλλαγίαν τὴν σὴν ζωοδότα. Ἀγγέλων Μιχαὴλ ἀρχηγέτα, τῷ θρόνῳ παρεστὼς τοῦ δεσπότου, πάρεσο μέσον ἡμῶν, καθοδηγῶν πρὸς τρίβους ζωῆς, τοὺς σὲ προστάτην θερμῶς κεκτημένους.

Τριαδικόν.

Τριάδα τοῖς προσώποις σέβω, μονάδα τῇ οὐσίᾳ κηρύττω, ἄναρχε πάτερ, υἱέ, πνεῦμα δ᾽ ἐπὶ, θεὲ τοῦ παντὸς μετὰ τῶν ἀνωφερικῶν στρατευμάτων. θ'. Ὁ πάντα θείῳ νεύματι φέρων, κρατεῖται θεοτόκε παρθένε ἐν ταῖς ἀγκάλαις ταῖς σαῖς, πάντας ἡμᾶς ἁρπάζων χειρὸς δουλείας τοῦ πονηροῦ ὡς οἰκτίρμων.

Κοντάκιον. ἦχος γ'. Ἡ παρθένος σήμερον.

Τὴν ψυχήν μου κύριε ἐν ἁμαρτίαις παντοίαις, καὶ ἀτόποις πράξεσι δεινῶς παραλελυμένην ἔγειρον τῇ θεϊκῇ σου ἐπιστασίᾳ, ὥσπερ καὶ τὸν παράλυτον ἤγειρας πάλαι, ἵνα κράζω σεσωσμένος. οἰκτίρμων δόξα Χριστὲ τῷ κράτει σου.

ὁ οἶκος. Ὁ χειρί σου δρακὶ περικρατῶν τὰ πέρατα, Ἰησοῦ ὁ θεὸς, ὁ τῷ πατρὶ συνάναρχος, καὶ πνεύματι ἁγίῳ συνδιαιωνίζων ἁπάντων, σαρκὶ ἐφάνης νόσους ἰώμενος, καὶ πάθη ἀπελάσας, τυφλοὺς ἐφώτισας. καὶ τὸν παράλυτον λόγῳ θεϊκῷ σὺ ἐξανέστησας, περιπατεῖν ἀθρόως προστάξας, καὶ τὴν βαστάσασαν αὐτὸν κλίνην ἐπὶ τῶν ὤμων ἄραι. ὅθεν πάντες σὺν τούτῳ ἀνυμνοῦμεν καὶ ἐκβοῶμεν. Οἰκτίρμων δόξα Χριστὲ τῷ κράτει σου.

ᾠδὴ ζ'. ὁ εἱρμός.

Ὁ τὴν φλόγα δροσίσας τῆς καμίνου, καὶ τοὺς παῖδας ἀφλέκτους διασώσας. εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας κύριε ὁ θεὸς τῶν πατέρων ἡμῶν.

ὥραις χρονίως ἀσθενοῦσαν, τὴν ψυχήν μου νοσοῦσαν ἴασαι δέομαι. Αρχηγὲ ἀγγέλων, ἀρχιστράτηγε τῶν ἄνω λειτουργῶν, τοῖς συναθροιζομένοις ἐν τῷ σεπτῷ ναῷ σου, καὶ τὸν θεὸν ἀνυμνοῦντας σκέπε, φρούρει, ἀπὸ παντοίων περιστάσεων. Εν τρισὶ προσώποις, μιᾷ φύσει ἰδὲ, ἄναρχον θεὸν, ὑμνήσωμεν ἀπαύστως, μετὰ τῶν ἀσωμάτων, πατέρα, λόγον, πνεῦμα, βασιλείαν ἔχουσαν κράτος ἀμερές. θ΄. Τὴν τιμῶσάν σε ταύτην, ἁγνὴ πόλιν σου, πάντοτε τήρει, περίσωζε κινδύνων, ἁλώσεως βαρβάρων, πολέμου ἐμφυλίου, καὶ μαχαίρας, καὶ πάσης ἄλλης ἀπειλῆς.

ᾠδὴ γ΄. ὁ εἱρμός.

Στεῖρα ψυχή μου καὶ ἄγονος κτήσασα καρπὸν ἀκλεῆ, ὡς φραινομένη ἀνόμως ἐστερεώθη ἡ καρδία μου. οὐκ ἔστιν ἅγιος, οὐκ ἔστι δίκαιος πλὴν σοῦ κύριε.

Την ἐπὶ χρόνοις πλείονας, ἐξασθενοῦσαν δεινῶς ψυχήν μου ὑπεράγαθε, ὡς τὸν παράλυτον πρὶν ὑγίωσον, ὡς ἂν βηματίζω σου τὰς τρίβους ἃς ἔδειξας τοῖς ποθοῦσί σε. Μετὰ τῶν ἀντιταξέων, θεοῦ ἀρχάγγελε, ἱκετηρίαν ποίησον, ὑπὲρ τῶν πίστει ἀνυμνούντων σε, φρουρῶν, σωτηρῶν ἡμᾶς, τοῦ βίου τοῖς πάθεσι περιπίπτοντας. Τριαδικόν.

Δόξα πατρὶ βοήσωμεν, υἱῷ, καὶ πνεύματι. εἷς γὰρ ὑπάρχει φύσει θεὸς, ὃν αἱ δυνάμεις πᾶσαι τῶν οὐρανῶν, ἐν φόβῳ δοξάζουσι. τὸ ἅγιος, ἅγιος, ἅγιος κράζουσαι. Θ΄. Απορον ἔχεις σύλληψιν, καὶ ὑπὲρ νοῦν τοκετὸν παρθενομῆτορ ἄχραντε, ἔργον φρικῶδες, θαῦμα μέγιστον, ἀγγέλοις τιμώμενον, βροτοῖς δοξαζόμενον, κόρη δέσποινα.

Κάθισμα τὸ ἀναστάσιμον. τοῦ γ΄. εἶχε. εἶτα δόξα καὶ νῦν τὸ δ΄. ἦχος γ΄. Τὴν ὡραιότητα.

Ρημα παράλυτον μόνον συνέσφιγξεν, ὡς τὸν παγκόσμιον λόγος μονώτατος, τοῦ δι᾽ ἡμᾶς ἐπὶ τῆς γῆς, ὀφθέντος δι᾽ εὐσπλαγχνίαν, ὅθεν καὶ τὸν κράββατον ἐπιφέρων διήρχετο, κἂν οἱ γραμματεῖς ὁρᾶν τὸ πραχθὲν οὐκ ὑπέφερον, κακίᾳ παρεχόμενοι, φθόνῳ τὰς ψυχὰς παραλύοντα. ᾠδὴ δ΄. ὁ εἱρμός.

Το κατάσκιον ὄρος, ὁ Ἀββακοὺμ προεώρα τὴν ἄχραντόν σου μήτραν ἁγνὴ, διὸ καὶ ἀνέκραυγαζεν, ἀπὸ Θαιμὰν ἥξει ὁ θεὸς καὶ ὁ ἅγιος ἐξ ὄρους κατασκίου δασέος.

Αγγελος μὲν κυρίου χρόνοις καιρὸν καταβαίνων, τὸ ὕδωρ ἐν τῇ προβατικῇ ἐτάρασσε, τελῶν ὑγιῆ ἕνα καὶ μόνον. ὁ δὲ Χριστὸς πλήθη ἄπειρα τῷ θείῳ βαπτισμῷ διασώζει. Αρχηγὲ τῶν ἀγγέλων, καὶ ὁδηγὲ πλανωμένων, κύριε ἀρχιστράτηγε τῇ ὥρᾳ ταύτῃ, μέσον ἡμῶν παραγενοῦ, καὶ τὰς προσευχὰς πάντων προσάγαγε τῷ μόνῳ ποιητῇ καὶ δεσπότῃ. Ηνωμένη τῇ φύσει, διῃρημένη προσώποις ὑπάρχει ἡ ἀξία τριάς. πατὴρ ὁ ὑπερούσιος, συναΐδιός τε υἱὸς, καὶ τὸ ἅγιον, καὶ μόνον παντοδύναμον πνεῦμα. Θ΄. Η ἁγνὴ πῶς θηλάζεις, πῶς δὲ ἐγέννησας βρέφος τοῦ Ἀδὰμ ἀρχαιότερον, πῶς ἐν ἀγκάλαις φέρεις υἱὸν, τὸν ἐπὶ

ὤμων

σία τὸ πρᾶγμα δέξῃ, τὴν εἰς τὸν οἶκον ἐβάδιζε. σαββάτου δὲ ὄντος ἐκωλύετο παρὰ τῶν Ἰουδαίων περιπατεῖν. ὁ δὲ τὸν ὑγιώσαντα προεβάλετο, ὡς εἰπόντα ἐν σαββάτῳ περιπατεῖν, μὴ εἰδὼς ὁ ποῖος ἐστίν. ὁ γὰρ Ἰησοῦς φησὶν ὄχλου ἐκεῖσε συναθροισθέντος, ἐξέκλινεν ἀποκρυβείς. μετὰ δὲ ταῦτα. εὗρεν αὐτὸν ὁ Ἰησοῦς Χριστὸς ἐν τῷ ἱερῷ, καὶ λέγει αὐτῷ, ἴδε ὑγιὴς γέγονας μηκέτι ἁμάρτανε, ἵνα μὴ χεῖρον τί σοι γένηται. τοῦτο δὲ φασί τινες εἰπεῖν τὸν Χριστόν. οὐκ ὀρθῶς λέγοντες, ἐπειδὴ αὐτὸς ἔμελλε διδόναι τῷ Ἰησοῦ ῥάπισμα ὕστερον, ὅτε τῷ ἀρχιερεῖ Καϊάφᾳ παρίστατο. καὶ χείρονα τῆς παραλύσεως πειρασμὸν ἐντεῦθεν κληρώσασθαι τῷ αἰωνίῳ πυρί, οὐχὶ τριάκοντα ἔτη καὶ ὀκτὼ μόνον, ἀλλ᾽ ἐς ἀεὶ βασανίζεσθαι, μᾶλλον γὰρ ἔδειξεν ὁ κύριος ἐξ ἁμαρτιῶν αὐτῷ τὴν τῆς παραλύσεως συμβῆναι ἀσθένειαν, οὐ μὴν δὲ πᾶσα ἀσθένεια ἐξ ἁμαρτιῶν, ἀλλὰ καὶ ἐκ φυσικῆς νόσου καὶ ἀδηφαγίας, καὶ ἀδιαφορίας, καὶ ἑτέρων πολλῶν ἐπιγίνεται. γνοὺς μέντοι ὁ παράλυτος, ὅτι Ἰησοῦς ἐστὶν ὁ ποιήσας αὐτὸν ὑγιῆ, τοῦτο τοῖς Ἰουδαίοις καθίστησι γνώριμον. οἱ δὲ εἰς ἄμυναν ἐρεθέντες, ἐζήτουν ἀποκτεῖναι Χριστόν, ὅτι δῆθεν τὸ σάββατον ἔλυσεν. ὁ δέ, αὐτοῖς πολλὰ διαλέγεται, συνιστῶν ὡς δίκαιον καὶ ἐν σαββάτῳ εὐεργετεῖν. καὶ ὅτι αὐτός ἐστιν ὁ τὸ σάββατον εἰπὼν τηρεῖν, ὃς ἴσος ἐστὶ τῷ πατρί, καὶ ὥσπερ ἐκεῖνος ἐπεργάζεται, οὕτω καὶ οὗτος. Ἰστέον δέ, ὡς ἕτερος οὗτος ὁ παράλυτος, τοῦ ἐν τῷ Ματθαίῳ παραλυτικοῦ, ἐκεῖνο μὲν γὰρ ἐν οἰκίᾳ ἐπράχθη, καὶ ὑπηρετούντων ἐκείνῳ ἀνθρώπων, καὶ ἀφέονταί σου αἱ ἁμαρτίαι ἀκούσαντι. τοῦτο δὲ ἐν τῇ στοᾷ ἐτελέσθη, καὶ ἄνθρωπον οὐκ εἶχεν, ὡς λέγει τὸ ἱερὸν εὐαγγέλιον, καὶ ὅτι τὸν κράββατον ἦρεν ὡς καὶ ἐκεῖνος. ἑορτάζεται δὲ ἀρτίως διὰ τὸ ἐν τῇ πεντηκοστῇ καὶ τοῦτο πραχθῆναι, ὥσπερ καὶ τὸ τῆς Σαμαρείτιδος, καὶ τὸ τοῦ τυφλοῦ. τὸν μὲν γὰρ Θωμᾶν καὶ τὰς μυροφόρους, εἰς πίστωσιν τῆς ἐκ νεκρῶν Χριστοῦ ἀναστάσεως ἑορτάζομεν. τὰ δὲ λοιπὰ μέχρι τῆς ἀναλήψεως. διότι αὐτὰ ἐν τῷ καιρῷ τῆς παρ᾽ ἑβραίοις πεντηκοστῆς, διαφόρως ἐνήργησε, καὶ ὅτι τούτων ὁ Ἰωάννης σχεδὸν οὕτως ἐμνημόνευσε. Τῷ ἀπείρῳ ἐλέει σου Χριστὲ ὁ θεὸς ἡμῶν ἐλέησον ἡμᾶς. ἀμήν.

Οἱ ἀναβαθμοὶ ἀντίφωνον α΄. ἦχος γ΄. προκείμ. τοῦ γ΄. ἤχου τὸ πᾶσα πνοή, Εὐαγγέλιον ἑωθινὸν δ΄ ἀνάστασιν Χριστοῦ θεασάμενοι, ὁ ν΄. ὁ κανὼν ὁ ἀναστάσιμος τοῦ γ΄. ἤχου. ζήτει φ. ρη΄. προπ. ς΄. καὶ τοῦ παραλύτου ς΄. ᾠδὴ α΄. ἦχος γ΄. ὁ εἱρμός.

Θαυμαστὸς ἐνδόξως ποιῶν τέρατα, σὺ εἶ θεὸς ὁ ἄβυσσον χερσώσας, καὶ ἅρματα καλύψας, καὶ λαὸν διασώσας, ᾄδοντά σοι ὡς λυτρωτῇ ἡμῶν θεῷ.

Δυνάμει θείᾳ, ποτὲ παράλυτον λόγῳ σου Χριστέ, συσφίγξας καὶ προστάξας αὐτῷ τὴν κλίνην ἆραι,

ἔχω, ἵνα ὅταν ταραχθῇ τὸ ὕδωρ, βάλῃ με εἰς τὴν κολυμβήθραν, ἰατροῖς κατηνάλωσα τὸν ἅπαντά μου βίον, καὶ ἐλέους τυχεῖν οὐκ ἠξιώθην. ἀλλ' ὁ ἰατρὸς τῶν ψυχῶν καὶ τῶν σωμάτων, λέγει πρὸς αὐτόν. ἆρον σου τὸν κράβαττον καὶ περιπάτει, κηρύττων μου τὴν δύναμιν, καὶ τὸ μέγα ἔλεος ἐν τοῖς πέρασι.

Καὶ μετὰ τὸ προκείμενον. τὴν ἐκτενῆ καὶ τὰς αἰτήσεις. καὶ εἰς τὸν στίχον. τὰ στιχηρὰ τοῦ στίχου καὶ τοῦ ἀλφαβήτου. τοῦ αὐτοῦ γ΄. ἤχου. ζήτει. φύλ. ρϟς΄. Δόξα καὶ νῦν. ἦχος πλαγ. δ΄.

Ἐν τῇ στοᾷ τοῦ Σαλωμῶντος, ἐκεῖ κατέκειτο πλῆθος τῶν ἀσθενούντων. καὶ μεσούσης τῆς ἑορτῆς. εὗρεν ὁ Χριστὸς, ὀκτὼ καὶ τριάκοντα ἔτη παράλυτον κείμενον, δεσποτικῇ φωνῇ λέγει πρὸς αὐτόν. θέλεις ὑγιὴς γενέσθαι; ὁ ἀσθενῶν ἀπεκρίνατο, κύριε ἄνθρωπον οὐκ ἔχω, ἵνα ὅταν ταραχθῇ τὸ ὕδωρ βάλῃ με εἰς τὴν κολυμβήθραν. ὁ δὲ λέγει πρὸς αὐτόν. ἆρον σου τὴν κλίνην. ἴδε ὑγιὴς γέγονας μηκέτι ἁμάρτανε. ταῖς θεοτόκου πρεσβείαις κατάπεμψον ἡμῖν τὸ μέγα ἔλεος.

Τὸ θεοτ. Εὐφραινέσθω τὰ οὐράνια.

Εἰς τὸ ἀπόδειπνον τὸ αὐτὸ προσ. καὶ μετὰ τὸ γ΄. ὁ κανὼν τῆς ὑπεραγίας θεοτόκου. Οὕτω γὰρ ποιοῦμεν πάσαις ταῖς κυριακαῖς τοῦ χρόνου.

Εἰς τὸν ὄρθρον τροπ. ἦχος γ΄. Εὐφραινέσθω τὰ οὐράνια. ζήτει φ. ρϟς΄. δίς. καὶ τὸ θ΄. καὶ μετὰ τὴν συνήθη στιχολογίαν ἡ ὑπακοὴ ἀναστάσιμος. Ἐκπλήττων τῇ ὁράσει. ζήτει φ.

ρϟς΄. [illegible]

Τῇ αὐτῇ ἡμέρᾳ κυριακῇ τρίτῃ μετὰ τὸ πάσχα τοῦ παραλύτου μνείαν ποιούμεθα, καὶ ὡς εἰκὸς τὸ τοιοῦτο ἑορτάζομεν θαῦμα. τέθειται οὖν ἐνταῦθα καὶ τοῦτο, ὅτι κατὰ τὸν καιρὸν τῆς παρ' ἑβραίοις πεντηκοστῆς, ὁ Χριστὸς διεπράξατο τοῦτο. ἀναβὰς γὰρ εἰς Ἱεροσόλυμα εἰς ἑορτὴν, καὶ ἐν τῇ πενταστόῳ κολυμβήθρᾳ γενόμενος, ἣν Σαλωμὼν ᾠκοδόμησεν, ἥτις δὴ καὶ προβατικὴ ἐπικέκλητο, ὅτι τῶν ἐν τῷ ἱερῷ σφαζομένων εἰς θυσίαν προβάτων, ἐκεῖσε τὰ ἐντόσθια ἔπλυνον. ἢ καὶ δὴ διὰ τὸ, τὰ πρόβατα ἐκεῖσε βαίνοντα, ἡνίκα ὑπὸ τοῦ ἀγγέλου εἰσάπαξ τοῦ ἔτους τὸ ὕδωρ ἐταράττετο, ὑγιῆ ἀναδείκνυσθαι. εὑρίσκει οὖν ἐκεῖ ἄνθρωπον, τριάκοντα καὶ ὀκτὼ ἔτη ἔχοντα, καὶ ἀπορίᾳ τοῦ εἰσβάλλοντος αὐτὸν ἐν τῷ ὕδατι κατακείμενον, ἐξ οὗ δὴ μανθάνομεν, πόσον ἡ καρτερία καὶ ἡ ὑπομονὴ ἀγαθόν. καὶ ὅτι ἐπεὶ, τὸ βάπτισμα δοθῆναι ἔμελλε ῥυπτικὸν ἁμαρτίας ἁπάσης, ᾠκοδόμησεν ὁ θεὸς ἐν τῇ παλαιᾷ δι' ὕδατος ἐνεργεῖσθαι τεράστια, ἵνα ὅταν ἐκεῖνο γένηται εὐκόλως παραδεχθείη. ἐπὶ τοῦτον δὲ τὸν παράλυτον Ἰάρον οὑτωσίπως ὀνομαζόμενον, ἔρχεται ὁ Ἰησοῦς, καὶ ἐρωτᾷ αὐτὸν, ὁ δὲ καὶ τὴν ἀπορίαν τοῦ ἐνεργήσαντος προβάλλεται καὶ ὁ Χριστὸς, τὸ ἐπὶ τοσοῦτον ἐκτακῆναι τοῦτον τῇ ἀσθενείᾳ εἰδὼς, λέγει. ἆρον σου τὸν κράββατον καὶ περιπάτει, καὶ αὐτίκα ὑγιὴς ἀναδείκνυται, καὶ τὴν κλίνην ἐπ' ὤμων ἀράμενος, ἵνα μὴ φαντα-

ὁ πάντων κύριος, καταδέδωκε τὴν τούτου ἀνάστασιν τοῖς φίλοις αὐτοῦ κηρύξαι. Ἐν τῷ καινῷ πάλαι μνημείῳ ὡς ἔθετο, ὁ Ἰωσὴφ ὁ δίκαιος τὸν καινουργήσαντα, τῶν ἀνθρώπων φθαρεῖσαν, τὴν φύσιν ζωοδότα τῇ ἀναστάσει σου. Ἴδετε Θεὸν ἐκ τῶν νεκρῶν ἀνατείλαντα, δικαιοσύνης ἥλιον θεοχαρίτωτε, ὃν ἱκέτευε πάντων φωτίσαι τὰς καρδίας τῶν ἀνυμνούντων σε.

ᾠδὴ η΄. ὁ εἱρμός. Τὸν ἐν καμίνῳ τοῦ πυρός.

Δακρυρρούσαις γυναιξὶ, τὴν χαρὰν ἐπιφωνεῖ ὁ ζωοδότης, ἁψαμέναις τῶν τούτου ἱερωτάτων ποδῶν, ὧν πάλαι τὸν κρότον πεφόβηται ἡ προμήτωρ Εὔα, ἔνδον τοῦ παραδείσου. Τριαδικόν.

Ἕνα Θεὸν δοξολογῶ, ὑποστάσεσι τρισὶν, μιᾷ δὲ φύσει, τὸν πατέρα, καὶ λόγον, καὶ πνεῦμα θεῖον ἀδιαιρέτως κραυγάζων· ὑμνεῖτε τὸν κύριον καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας. Θ΄.

Ἱερωτάταις σε φωναῖς, τὴν μητέρα τοῦ Θεοῦ ὑμνολογοῦμεν, ὡς τῶν ἄνω ταγμάτων ἁγιωτέραν σαφῶς, θείαν τε γέφυραν μετάγουσαν πρὸς ὑπερκοσμίους βροτοὺς χοροστασίας.

ᾠδὴ θ΄. Τὸν ἐκ Θεοῦ Θεὸν λόγον.

Σφραγίδων ἐπικειμένων, ἐξανέστης τοῦ τάφου, ἡ πάντων ἐξανάστασις Χριστὲ, καὶ μαθηταῖς πεφανέρωσαι, τὰ ἀπόρρητα τούτοις, διδάσκων καὶ προστάσσων βοᾶν, εἰς τὸν σύμπαντα κόσμον, κηρύττοντες τὴν δόξαν σου. Ἡ τῆς ἐγέρσεως αὕτη, πανήγυρις ἡμέρα, ἡ παράκλησις ὑπάρχουσα ψυχῶν, καὶ εὐφροσύνη χαρμόσυνος, τοὺς πιστοὺς συγκαλεῖται, ἀδεῶς ἑορτάζειν καὶ βοᾶν, ὁ πατὴρ, ὁ υἱός τε, καὶ θεῖον πνεῦμα δόξα σοι. Θ΄. Φωτοκυήτωρ παρθένε, τῷ φωτίσαντι τῷ θείῳ, καταύγασον ἡμῶν τοὺς λογισμοὺς, καὶ τὰς καρδίας πρεσβείαις σου, τῶν παθῶν τὴν ὁμίχλην σκεδάζουσα καὶ πάντας κοινωνοὺς, ἀνεσπέρου ἡμέρας ἐργαζομένη χάριτι.

Καὶ εἰς τὸν ὄρθρον καθὼς προεγράφη τῇ β΄. Τοῦ ἀντίπασχα.

Κυριακὴ τρίτη, τοῦ παραλύτου. Τῷ Σαββάτῳ ἑσπέρας, στιχηρὰ ἀναστάσιμα τῆς ὀκτωήχου τοῦ γ΄ ἤχου, καὶ ἀνατολικὰ δ΄. τὸ γὰρ ἀναστάσιμον δίσ. καὶ ποιοῦμεν. ὅμοιοι. η΄. ζήτει εἰς τὴν ὀκτώηχον φύλ. ρϟέ. δόξα καὶ νῦν. ἦχος πλαγίου α΄.

Ἀνέβη ὁ Ἰησοῦς εἰς Ἱεροσόλυμα ἐπὶ τῇ προβατικῇ κολυμβήθρᾳ τῇ λεγομένῃ κατὰ Ἰουδαίοις Βηθεσδᾶ, πέντε στοὰς ἔχουσα. ἐν ταύταις γὰρ κατέκειτο πλῆθος τῶν ἀσθενούντων. ἄγγελος γὰρ τοῦ Θεοῦ κατὰ καιρὸν ἐπιφοιτῶν διετάραττεν αὐτὴν, καὶ ῥῶσιν ἐχαρίζετο τοῖς προσιοῦσιν ἐν πίστει. καὶ ἰδὼν ὁ κύριος χρονίζοντα ἄνθρωπον, λέγει πρὸς αὐτόν. θέλεις ὑγιὴς γενέσθαι; ὁ ἀσθενῶν ἀπεκρίνατο. κύριε ἄνθρωπον οὐκ

γιος, ἅγιος, ἅγιος εἶ εἰς τοὺς αἰῶνας. Θ'. Ἐν τῇ γαστρί σου ἁγνὴ, τὸν ἀείζωον ἄρτον, φυραθέντα ἀφύρτως, ἐν φυράματι ἡμῶν ἐγέννησας ἀβλέπτως, ἕνα Χριστὸν τὸν θεὸν ἐν δυσὶ ταῖς οὐσίαις.

ᾠδὴ θ'. ὁ εἱρμός.

Τὴν ὑπερφυῶς σαρκὶ, συλλαβοῦσαν ἐν γαστρί. τὸν ἐκ πατρὸς ἀχρόνως ἐκλάμψαντα λόγον, ἐν ὕμνοις ἀσιγήτοις μεγαλύνομεν πιστοί.

Ἰωσὴφ τὸν θαυμαστὸν εὐφημήσωμεν πιστοὶ, σὺν ἅμα Νικοδήμῳ, καὶ πισταῖς μυροφόροις. ὁ κύριος ἀνέστη ἐκβοῶντας ἀληθῶς. Τριαδικόν. Ἄναρχος εἶ ὁ πατὴρ, ἄκτιστος εἶ ὁ υἱός. σύνθρονον καὶ τὸ πνεῦμα, ἓν τὰ τρία τῇ φύσει, καὶ τρία τοῖς προσώποις, εἷς θεὸς ἀληθινός. Θ'. Εὐφραινέσθω Ἰεσσαί. χορευέτω καὶ Δαβὶδ, ἰδοὺ γὰρ ἡ παρθένος, ἡ θεόφυτος ῥάβδος, ἐβλάστησε τὸ ἄνθος, τὸν ἀείζωον Χριστόν.

Ἐξαποστειλάριον ἰδιόμελον. ἦχος πλαγίου β'.

Γυναῖκες ἀκουτίσθητε, φωνὴν ἀγαλλιάσεως, τύραννον ᾅδην πατήσας, φθορᾶς ἐξήγειρας κόσμον, δράμετε φίλοις εἴπατε, τοῖς ἐμοῖς εὐαγγέλια. βούλομαι γὰρ τὸ πλάσμα μου, χαρὰν ἐκεῖθεν αὐγάσαι, ἐξ ἧς προῆλθεν ἡ λύπη.

Εἰς τοὺς αἴνους πᾶσα πνοή. ἱστῶμεν στίχους η'. καὶ ψάλλομεν στιχηρὰ ἀναστάσιμα καὶ ἀνατολικὰ τῆς η'. ἤχου. ἦχος β'. ζήτει φ. ρλδ'. εἰς τὸ δόξα καὶ νῦν. Τὰν μυροφόρων. ἦχος β'.

Ἴ ἵστασαι μύρα τοῖς δάκρυσι. ζήτει ὄπισθεν εἰς [illegible] ινον. φ. λ. Δοξολογία μεγάλη, τροπάριον. Ἀναστὰς ἐκ τοῦ μνήματος. ζήτει εἰς τὸ ὡρολόγιον. φ. ρκε. ἡ ἐκτενὴς, αἱ αἰτήσεις καὶ ἀπόλυσις.



Τῇ κυριακῇ ἑσπέρας στιχηρὰ γ'. ἦχος β'. οἶκος τοῦ εὐφραθᾶ.

Ὤφθη ταῖς γυναιξὶν, ὁ ἄγγελος ἀστράπτων, ἐν τάφῳ ταύταις λέγων. ἀνέστη ὃν ζητεῖτε ἐκ τῶν νεκρῶν ὁ κύριος. Ἦλθον λίαν πρωῒ, τῆς μιᾶς τῶν σαββάτων, γυναῖκες μυροφόροι, ἐπὶ τὸ μνῆμα εὗρον ἀστραπηφόρον ἄγγελον. Φῶς μέγα ἀληθῶς, ἐπέλαμψε τοῖς πᾶσιν. ὅτι Χριστὸς ἐκ τάφου, τριήμερος ἀνέστη. φωτίζων κόσμου πέρατα.

Καὶ γ'. τοῦ μηναίου, δόξα καὶ νῦν θ'. Εἰς τὸν στίχον ἀναστάσιμον ἓν τοῦ β'. ἤχου. στίχος α'. Πρὸς σὲ ἦρα τοὺς ὀφθαλμούς μου. Καὶ κατανυκτικὸν ἕν. στίχος β'. Ἐλέησον ἡμᾶς κύριε. Καὶ μαρτυρικὸν ἕν. ζήτει εἰς τὴν ἀκολουθίαν τῆς ἑβδομάδος. φ. ρνβ'. δόξα τοῦ ἁγίου καὶ νῦν τῆς κυρι[illegible]ς. Καθὼς καὶ τῇ β'. τοῦ Θωμᾶ. Εἰς τὸ ἀπόδειπνον τὸ τριῴδιον τῆς ὅλης ἑβδομάδος. Τοῦ Ἰωσήφ.

ᾠδὴ α'. ἦχος β'. ὁ εἱρμός. Δεῦτε λαοί.

Δεῦτε φησὶ ταῖς μυροφόροις ὁ ἄγγελος τὸν τόπον ὅπου ἔκειτο, ὁ σαί-

μέγας τῇ σορῷ. Τριαδικόν.

Τριάδα ἐν μονάδι ὑμνήσωμεν πιστοί, σὺν τῷ υἱῷ τὸ πνεῦμα δοξάζοντες· καὶ πνεῦμα τὸ ὁμοούσιον υἱῷ, καὶ ὂν ἐν πατρὶ συνάναρχον, καὶ ἀΐδιον θεόν. Θ. Ἀσπορὶ ἀχωρίστω συνέλαβες ἁγνή, τῆς ἀφθαρσίας τὸν βότρυν ὡς ἄμπελος, ἐξ οὗ τῆς ἀθανασίας οἱ κρουνοί, ὡς οἶνον ἡμῖν πηγάζει τὴν αἰώνιον ζωήν.

Κοντάκιον ἦχος β'.

Ὁ χαῖρε ταῖς μυροφόροις φθεγξάμενος, τὸ θρῆνος τῆς προμήτορος Εὔας κατέπαυσας. τῇ ἀναστάσει σου Χριστὲ ὁ θεός. τοῖς ἀποστόλοις δὲ τοῖς σοῖς κηρύττειν ἐπέταξας. ὁ σωτὴρ ἐξανέστη τοῦ μνήματος. Ὁ οἶκος.

Ἐπὶ τὸν τάφον σου σωτὴρ αἱ μυροφόροι πορευόμεναι. πρὸς αὐτὰς διηπόρουν τῷ ναῒ καὶ ἐφθέγγοντο, τίς ἡμῖν τὸν λίθον ἀποκυλίσει τοῦ μνήματος; καὶ ἀναβλέψασαι ὁρῶσιν, ὅτι ὁ λίθος ἀποκεκύλισται. τῇ μορφῇ δὲ τοῦ ἀγγέλου σὺν τῇ στολῇ ἐθαμβοῦντο. συνείχοντο δὲ τρόμῳ, καὶ φεύγειν ἐνόμιζον, καὶ πρὸς αὐτὰς ὁ νεανίσκος ἐβόησε μὴ φοβεῖσθε ὑμεῖς. ὃν ζητεῖτε ἀνέστη. δεῦτε ἴδετε τὸν τόπον, ὅπου ἔκειτο τὸ σῶμα τοῦ Ἰησοῦ, καὶ ταχὺ πορευθεῖσαι ἀπαγγείλατε τοῖς μαθηταῖς. Ὁ σωτὴρ ἐξανέστη τοῦ μνήματος.

ᾠδὴ ζ'. ὁ εἱρμός.

Τὰ χερουβεὶμ μιμούμενοι παῖδες ἐν τῇ καμίνῳ ἐχόρευον βοῶντες· εὐλογητὸς εἶ ὁ θεός· ὅτι ἐν ἀληθείᾳ καὶ κρίσει ἐπήγαγες ταῦτα πάντα διὰ τὰς ἁμαρτίας ἡμῶν· ὁ ὑπερύμνητος καὶ δεδοξασμένος εἰς πάντας τοὺς αἰῶνας.

ΤΙ ὡς νεκρὸν φυλάττετε. τί σφραγῖδας τῷ λίθῳ τεθείκατε ἑβραῖοι. φόβον φοβούμενοι κλοπῆ, ἰδοὺ ἐν ἀληθείᾳ ὁ τάφος ἐσφράγισται. πῶς οὖν ἐξανέστη, εἰ μὴ θεὸς ἦν ὁ Χριστός, πεισάτωσαν ὑμᾶς οἱ ἐξαναστάντες καὶ ὁραθέντες τοῖς πολλοῖς. Τρ. Σὺν τῷ πατρὶ δοξάσωμεν, τὸν υἱὸν καὶ τὸ πνεῦμα τὸ ἅγιον, βοῶντες ἀκαταπαύστῳ τῇ φωνῇ. τριὰς μοναδικὴ οὐσία ἐλέησον, σῶσον πάντας. ἡ ἐν τρισὶ προσώποις μονάς, οἰκτείρησον ἡμᾶς ὁ δεδοξασμένος θεὸς εἰς τοὺς αἰῶνας. Θ. Ἐν τῇ γαστρί σου ἄχραντε, πῶς ἐχώρησας βρέφος, ὃν τρέμουσι δυνάμεις, αἱ τῶν ἀγγέλων ὡς θεόν. εἰ μὴ ὡς ἠβουλήθη, ὡς οἶδεν ἐσκήνωσε, πάντας θέλων σῶσαι τοὺς ἐξ Ἀδὰμ γηγενεῖς. λύσας τὸν Ἀδὰμ τῆς ἀρᾶς ἐκείνης, τῆς διαβρώσεως πικρᾶς.

ᾠδὴ η'. ὁ εἱρμός.

ΤΟν ἐν τῇ βάτῳ Μωσεῖ τῆς παρθένου τὸ θαῦμα, ἐν σιναίῳ τῷ ὄρει, προτυπώσαντα ποτέ. ὑμνεῖτε εὐλογεῖτε καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

ΟΝτως ἀνέστη Χριστός, ἐσκυλεύθη ὁ ᾅδης. ἐνεκρώθη ὁ ὄφις. ἐλυτρώθη ὁ Ἀδάμ, ἐστέφθησαν οἱ κάτω, τί ἀπιστεῖτε λοιπὸν ἐχθροὶ καὶ παραβάται. Τριαδικόν.

Σὺν τῷ πατρὶ τὸν υἱόν, καὶ τὸ ἅγιον πνεῦμα, τὴν ἁγίαν τριάδα, ἐν θεότητι μιᾷ, δοξάζομεν βοῶντες ἅ-

ἐκ ῥίζης Ἰεσσαὶ ἐξ ἧς ἡ ῥάβδος καὶ τὸ ἄνθος ὁ Χριστὸς, κατὰ σάρκα δι' ἡμᾶς ἀναβλαστήσασα.

Κάθισμα ἦχος β΄. Ταῖς μυροφόροις.

Τῶν μαθητῶν σου ὁ χορὸς, σὺν μυροφόροις γυναιξὶν ἀγάλλεται συμφώνως. Κοινὴν γὰρ ἑορτὴν σὺν αὐταῖς ἑορτάζουσιν εἰς δόξαν καὶ τιμὴν τῆς σῆς ἀναστάσεως, καὶ δι' αὐτῶν βοῶμεν σοι φιλάνθρωπε, τῷ λαῷ σου παράσχου τὸ μέγα ἔλεος.

ᾠδὴ δ΄. ὁ εἱρμός.

Τὴν ἐκ παρθένου σου γέννησιν ὁ προφήτης ἀνεκήρυττε βοῶν, ἀκοήν σου εἰσακήκοα καὶ ἐφοβήθην, ὅτι ἀπὸ θαιμὰν, καὶ ἐξ ὄρους ἁγίου κατασκίου ἐπεδήμησας Χριστέ.

Ὁ μυροφόροις τὸ χαίρετε ἀναστὰς ἐκ τοῦ τάφου, προσφωνήσας ἀγαθὲ, καὶ ἀποστόλοις κηρύξατε τὴν ἔγερσίν μου, λῦσον μου τὰ δεσμὰ τῶν πολλῶν ἐγκλημάτων. δύνασαι γὰρ ὅσα θέλεις ἐκπληροῦν. Ἰωσὴφ τὸν εὐσχήμονα, ζηλωτὴν εὐσεβείας, βουλευτὴν καὶ μαθητὴν, σὺν μυροφόροις τιμήσωμεν, καὶ ἀποστόλοις, κράζοντες σὺν αὐτοῖς καὶ πιστῶς ἀνυμνοῦντες, τοῦ σωτῆρος τὴν ἀνάστασιν φαιδρῶς. δόξα. Τῆς ὑπερουσίου θεότητος τὴν ἀμέτρητον δόξαν, τίς ἰσχύσει ἐξειπεῖν, ἐν γὰρ τῇ φύσει ὑπάρχουσα, μίαν ὑμνεῖται, ἄναρχος συμφυής· ὡς μονὰς ἐν τριάδι ὑμνουμένη ὑποστάσεσιν ἁπλαῖς. καὶ νῦν. Τὸν γαστρί σου σκηνώσαντα, ἀλοχεύτως τεκοῦσα, μητροπάρθενε ἁγνή, ἀκαταπαύστως ἱκέτευε, ὡς θεοτόκος λῦσαι μου τὰ δεσμὰ τῶν πολλῶν ἐγκλημάτων. δύνασαι γὰρ ὅσα θέλεις βοηθεῖν.

ᾠδὴ ε΄. ὁ εἱρμός.

Τὴν ἀχλὺν τῆς [illegible] τῆς μ[illegible] φαι[illegible] τῶν ἐντολῶν σου [illegible] μόνος τῆς εἰρήνης [illegible]

Τῶν εὐσεβῶν μυροφόρων, τὴν μνήμην, ἐπιτελοῦντες, καὶ πάντων τῶν μαθητῶν σου ἐν τῇ φαιδρᾷ σου ἐγέρσει, ἀνυμνοῦμεν σε Χριστέ. Τὸν εὐσχήμονα πάντες τιμήσωμεν ἐπαξίως, ὃς τὸ σῶμα τοῦ κυρίου, ἀπὸ τοῦ ξύλου καθεῖλε, καὶ ἐκήδευσε πιστῶς. τριαδικόν. Σὲ τὸν θεὸν καὶ πατέρα, καὶ τὸν υἱὸν, καὶ τὸ πνεῦμα, προσκυνοῦμεν τρεῖς ὑποστάσεις, καὶ ἓν τὰ τρία πιστεύομεν, οὐσιότητι μιᾷ. θ. Σὲ τὴν ἀσπόρῳ κυήσει γεννήσασαν ὑπὲρ φύσιν, τὸν καινίσαντα τὴν φύσιν, Χριστὸν τὸν μόνον δεσπότην ἀνυμνοῦμεν οἱ πιστοί.

ᾠδὴ ς΄. ὁ εἱρμός.

Βυθῷ ἁμαρτημάτων συνέχομαι ἀεὶ, καὶ ἐν πελάγει τοῦ βίου βυθιζόμενος, ἀλλ' ὡς τὸν Ἰωνᾶν ἐκ τοῦ θηρὸς κἀμὲ τῶν παθῶν ἀνάγαγε καὶ διάσωσόν με.

Γυναῖκες μυροφόροι τί ἀποδεδύετε λοιπόν; τί δὲ τὰ μύρα τῷ ζῶντι κομίζετε; ἀνέστη καθὼς προεῖπεν ὁ Χριστὸς, παυσάσθω ὑμῶν τὰ δάκρυα μετελθόντα εἰς χαράν. Σινδόνι σε εἱλήσας κατέθετο Χριστὲ Ἰωσὴφ ὁ εὐσχήμων ἐν μνήματι. μυρίσας δὲ τὸν λυθέντα σου ναὸν τοῦ σώματος προσεκύλισε λίθον μέγαν

τρίτη δὲ τῶν μυροφόρων ἐστὶν Ἰωάννα ἡ γυνὴ τοῦ Χουζᾶ. ὃς ἦν ἐπίτροπος καὶ οἰκονόμος τῆς οἰκίας τοῦ βασιλέως Ἡρώδου. τετάρτη δὲ καὶ πέμπτη, Μαρία καὶ Μάρθα ἀδελφαὶ τοῦ Λαζάρου. Ἕκτη ἡ τοῦ Κλοπᾶ Μαρία. Κλοπᾶν δέ τινες τὸν Κλεόπαν λέγουσιν. Ἑβδόμη ἡ Σωσάννα. καὶ ἄλλαι δὲ πλεῖσται ἦσαν ὡς ὁ θεῖος Λουκᾶς ἱστορεῖ. αἵτινες ἦσαν φησὶ διακονοῦσαι τῷ Χριστῷ, καὶ τοῖς μαθηταῖς αὐτοῦ ἀπὸ τῶν ὑπαρχόντων αὐταῖς. ὅτε γοῦν αὗται τὴν ἀνάστασιν ἐκήρυξαν. καὶ πολλὰ τῷ καθ' ἡμᾶς δόγματι συνεβάλλοντο εἰς πίστιν καὶ πληροφορίαν ἀκραιφνῆ τῆς Χριστοῦ ἀναστάσεως, μετὰ τὸν Θωμᾶν καὶ ταύτας παρέλαβεν ἑορτάζειν ἡ τοῦ θεοῦ ἐκκλησία, ὡς ἰδούσας πρώτας τὸν Χριστὸν ἐκ νεκρῶν, καὶ τοῖς πᾶσι καταγγειλάσας τὸ σωτήριον κήρυγμα, καὶ τὴν κατὰ Χριστὸν πολιτείαν μετελθούσας ἀρίστως, καὶ ὡς ἐχρῆν γυναιξὶ μαθητευθείσας Χριστῷ, ταῖς τῶν ἁγίων μυροφόρων πρεσβείαις ὁ θεὸς ἐλέησον ἡμᾶς. ἀμήν.

Οἱ ἀναβαθμοὶ τοῦ β'. ἤχου. ἀντίφωνον εν. ζήτει. φ. ρλη. καὶ τὸ προκείμενον ἡμέροις. Ἐξεγέρθητι κύριε. Πᾶσα πνοή. Εὐαγγέλιον ἑωθινὸν γ'. ἀνάστασιν Χριστοῦ θεασάμενοι, ὁ ν'. πεντηκοστὸς, ὁ κανὼν Ἀναστάσιμος. τοῦ β'. ἤχου. Ἀβύσσου. προπ. δ'. ἕτερος, εἰς δ'. καὶ τῶν μυροφόρων ἡ μετὰ τὸ δόξα καὶ νῦν. ὁ κανὼν τῶν μυροφόρων. ᾠδὴ α'. ἦχος ὁ αὐτὸς ὁ εἱρμός.

Τὴν Μωσέως ᾠδὴν, ἀναλαβοῦσα βόησον ψυχή. βοηθὸς καὶ σκεπαστὴς ἐγένετό μοι εἰς σωτηρίαν. οὗτός μου θεὸς καὶ δοξάσω αὐτόν.

Ὀθονίοις εἰλήσας, Ἰωσὴφ τὸ σῶμά σου Χριστὲ, ἐν μνημείῳ τῷ καινῷ, κατέθετό σε τὴν σωτηρίαν· νεκροὺς δὲ ὡς θεὸς ἐξανέστησας.

Προλαβοῦσαι τὸν ὄρθρον αἱ γυναῖκες εἶδον τὸν Χριστὸν, καὶ τοῖς θείοις μαθηταῖς, ἐβόων ὄντως Χριστὸς ἀνέστη, δεῦτε σὺν ἡμῖν ἀνυμνεῖτε αὐτόν. Τριαδικόν. Παναγία τριὰς μία θεότης, ἄναρχε μονάς. ὁ πατὴρ καὶ ὁ υἱὸς, καὶ τὸ θεῖον πνεῦμα, σῶζε τὸν κόσμον. σὺ ἡμῶν θεὸς καὶ δοξαζόμενός σε. θ'. Τὴν ἀρχαίαν ἀρὰν, ἐν γαστρί σου λύσασα σεμνὴ, ἀναβλαστήσας ἡμῖν τὴν εὐλογίαν. βρέφος τεκοῦσα. οὗτος γὰρ θεὸς ὢν καὶ σάρκα φορεῖ.

ᾠδὴ γ'. ὁ εἱρμός.

Στειρωθέντα μου τὸν νοῦν, καρποφόρον ὁ θεὸς ἀνάδειξόν με, γεωργὲ τῶν καλῶν, φυτουργὲ τῶν ἀγαθῶν τῇ εὐσπλαγχνίᾳ σου.

Θεοδόχε Ἰωσὴφ, δεῦρο στῆθι μεθ' ἡμῶν ἀνέστη κράζων, Ἰησοῦς ὁ λυτρωτὴς, ὁ ἐγείρας τὸν Ἀδὰμ τῇ εὐσπλαγχνίᾳ αὐτοῦ. Εὐφραινέσθω σὺν ἡμῖν. μαθητῶν ἡ δωδεκὰς, σὺν μυροφόροις γυναιξὶ καὶ Ἰωσὴφ, καὶ τοῖς ἄλλοις μαθηταῖς, καὶ μαθητρίαις Χριστοῦ. δόξα. Σὺν πατρὶ καὶ τὸν υἱὸν, καὶ τὸ πνεῦμα τὸ εὐθές. τὴν μίαν φύσιν προσκυνῶ καὶ ἀνυμνῶ, τοῖς προσώποις διαιρῶν, καὶ τῇ οὐσίᾳ ἑνῶν. Μακαρία εἶ σεμνὴ ἡ

τῶν τὴν ἀνάστασιν θεασαμένων γυναικῶν ἐτάχθησαν, καὶ μετὰ τὴν πρώτην τοῦ Θωμᾶ πίστωσιν, ἐκείνῳ γὰρ προσετάχθη. ὅτι μεθ' ἡμέρας φησὶν ὀκτὼ ἦλθε τὸ εὐαγγέλιον. γυναῖκες οὖν αὗται πρῶται τὴν ἀνάστασιν εἶδον. καὶ τοῖς μαθηταῖς ταύτην εὐηγγελίσαντο. ἔχρην καὶ γὰρ τὸ πρῶτον πεσὸν φῦλον ὑπὸ τὴν ἁμαρτίαν, καὶ τὴν ἀρὰν κληρωσάμενον, αὐτὸ τοῦτο πρῶτον, καὶ τὴν ἀνάστασιν κατιδεῖν, καὶ τὴν χαρὰν ἐνωτίσασθαι τὸ πρῶτον ἀκοῦσαν ἐν λύπαις τέξῃ τέκνα. μυροφόροι δὲ ἐκλήθησαν, διότι τοῦ πάσχα ἐνισταμένου διὰ τὴν παρασκευήν, ὅτι μεγάλη ἦν ἡ ἡμέρα ἐκείνη τοῦ σαββάτου, ἐπεὶ ἔσπευδον φθάσαι καὶ θάψαι τὸ σῶμα τοῦ κυρίου, Ἰωσὴφ καὶ Νικόδημος. εἰ καὶ κατὰ τὸ Ἰουδαίων ἔθος μύροις αὐτὸ ἤλειψαν, ἀλλ' οὐχ ὡς ἔχρην, ἀλόην γὰρ μόνην καὶ σμύρναν, τὸ πλέον βάλλοντες καὶ τῇ σινδόνι περιελίξαντες τῷ τάφῳ παραδεδώκασι, τούτου χάριν αὗται ἀγάπην διαπύρως ἔχουσαι πρὸς Χριστὸν ὡς μαθήτριαι. μύρα πολυτελῆ ὠνησάμεναι, νυκτὸς παρεγένοντο, ἅμα μὲν καὶ διὰ τὸν τῶν Ἰουδαίων φόβον, ἅμα δὲ καὶ ὡς ἔθος, ὀρθριώτερον κλαῦσαι καὶ μυρίσαι αὐτό. καὶ τὸ ἐλλεῖψαν διὰ τὴν ἔπειξιν τοῦ καιροῦ, τότε ἀναπληρῶσαι, ὅτε παραγενόμεναι διαφόροις ὀπτασίας κατεῖδον. τούς τε ἀστράπτοντας δύο ἀγγέλους, ἔνδοθεν τοῦ μνήματος, καὶ τὸν ὑπὲρ τοῦ λίθου καθήμενον ἕτερον. μετὰ δὲ ταῦτα, Χριστὸν ὁρῶσι καὶ προσκυνοῦσιν. ἡ δὲ Μαγδαληνὴ καὶ ὡς κηπουρὸν αὐτὸν περὶ ἑαυτοῦ ἐπηρώτα. πολλαὶ μὲν οὖν ἦσαν αἱ μυροφόροι, ἀλλ' οἱ εὐαγγελισταὶ τῶν ἐπισήμων μόνον ποιησάμενοι μνείαν, τὰς ἄλλας παρεῖκαν. ἦσαν δὲ αὗται, πρώτη πασῶν ἡ Μαγδαληνὴ Μαρία, ἀφ' ἧς καὶ δαιμόνια ἑπτὰ ὁ Χριστὸς ἐξέβαλεν. ἥτις καὶ μετὰ τὴν ἀνάληψιν τοῦ Χριστοῦ εἰς Ῥώμην παραγενομένη ὡς λόγος. κοινῷ θανάτῳ τὸν Πιλάτον καὶ τοὺς ἀρχιερεῖς παραδίδωσι τὰ κατὰ τὸν Χριστὸν πρὸς τὸν Καίσαρα Τιβέριον ἀνενέγκασα. ὕστερον δὲ ἐν Ἐφέσῳ θνήσκει, καὶ παρὰ τοῦ θεολόγου Ἰωάννου θάπτεται. ὑπὸ δὲ τοῦ σοφωτάτου Λέοντος εἰς τὴν Κωνσταντινούπολιν διαβιβάζεται. δευτέρα δὲ ἡ Σαλώμη. ἥτις ὅτε τοῦ μνήστορος Ἰωσὴφ θυγάτηρ αὐτοῦ. οὕτω γὰρ καὶ ἄμφω κατονομάζοντο. ἥτις θυγάτηρ αὐτοῦ τὸν Ζεβεδαῖον ἔσχεν ἄνδρα. ἀφ' ἧς ὁ εὐαγγελιστὴς Ἰωάννης, καὶ Ἰάκωβος ἐγεννήθησαν. τέσσαρας γὰρ υἱοὺς ἄρρενας ἐγέννησεν ὁ Ἰωσήφ, Ἰάκωβον τὸν λεγόμενον μικρόν, καὶ Ἰωσῆν, σίμωνα, καὶ Ἰούδαν, καὶ θυγατέρας τρεῖς· τὴν Ἐσθήρ. τὴν Θάμαρ, καὶ τὴν Σαλώμην τὴν τοῦ Ζεβεδαίου, ὥστε ὅταν ἀκούσῃς ἐν τῷ εὐαγγελίῳ Μαρίαν Ἰακώβου τοῦ μικροῦ, καὶ Ἰωσῆ μητέρα, τὴν θεοτόκον νόμιζε εἶναι, ὡς μήτηρ γὰρ τῶν τοῦ Ἰωσὴφ παίδων ἡ θεοτόκος κατελογίζετο, ὡς συμβαίνειν ἐντεῦθεν, ἀνεψιὸν εἶναι τοῦ Χριστοῦ τὸν εὐαγγελιστὴν Ἰωάννην. ὡς ἀδελφόπαιδα·

σφραγῖδας τοῦ μνήματος ἰδοῦσαι μὴ εὑροῦσαι δὲ τὸ ἄχραντον σῶμά σου, ὀδυρόμεναι μετὰ σπουδῆς ἦλθον λέγουσαι. τίς ἔκλεψεν ἡμῶν τὴν ἐλπίδα; τίς εἴληφε νεκρὸν γυμνὸν ἐσμυρνισμένον; τῆς μητρὸς μόνης παραμύθιον. ὢ πῶς ὁ νεκροὺς ζωώσας τεθανάτωται, ὁ τὸν ᾅδην σκυλεύσας, πῶς τέθαπται; ἀλλ' ἀνάστηθι σωτὴρ αὐτεξουσίως, καθὼς εἶπας τριήμερος, σώζων τὰς ψυχὰς ἡμῶν.

Εἰς τὸν στίχον τὸ ἀναστάσιμον τοῦ στίχου καὶ τοῦ ἀλφαβήτου. ζήτει εἰς τὴν ὀκτώηχον τοῦ β΄. ἤχου. φ. ρπθ΄. δόξα καὶ νῦν τῶν μυροφόρων ἦχος β΄. Τοῦ Κουκουλᾶ.

Τί τὰ μύρα τοῖς δάκρυσι μαθήτριαι κιρνᾶτε; ὁ λίθος κεκύλισται, ὁ τάφος κεκένωται. ἴδετε τὴν φθορὰν τῇ ζωῇ πατηθεῖσαν, τὰς σφραγῖδας μαρτυρούσας τηλαυγῶς, ὑπνοῦντας δεινῶς τοὺς φύλακας τῶν ἀπειθῶν. τὸ θνητὸν σέσωσται σαρκὶ Θεοῦ. ὁ ᾅδης θρηνεῖ. δραμοῦσαι χαρᾷ εἴπατε τοῖς ἀποστόλοις, ὁ νεκρώσας Χριστὸς τὸν θάνατον πρωτότοκος ἐκ νεκρῶν, ὑμᾶς προάγει εἰς τὴν Γαλιλαίαν.

Ἀπολυτίκιον ἦχος β΄. Ὁ εὐσχήμων Ἰωσήφ. ἄλλο. Ταῖς μυροφόροις γυναιξί. ζήτει φ. ϛγ. εἰς τὸ [illegible] τῆς Θεοτόκου. Εἰς τὸν ὄρθρον τὸ αὐτό. [illegible]. δόξα καὶ νῦν. Ταῖς μυροφόροις, ἡ συνήθης στιχολογία. ἡ ὑπακοὴ τοῦ β΄ ἤχου. Μετὰ τὸ πάθος. ζήτει φ. ρπθ΄. εἰς τὴν ὀκτώηχον. εἶτα ἡ ἀνάγνωσις. [illegible] Δέσποτα εὐλόγησον.

Τῇ αὐτῇ ἡμέρᾳ κυριακῇ δευτέρᾳ μετὰ τὸ πάσχα, τὴν τῶν ἁγίων γυναικῶν μυροφόρων ἑορτὴν ἑορτάζομεν. ἔτι δὲ καὶ μνείαν ποιούμεθα τοῦ ἐξ Ἀριμαθαίας Ἰωσήφ, ὃς ἦν μαθητὴς κεκρυμμένος ἐκ τῶν ἑβδομήκοντα εἷς τυγχάνων. πρὸς δὲ καὶ τοῦ νυκτερινοῦ μαθητοῦ Νικοδήμου ὃς ἐκ τῶν ἀρχόντων τῷ Χριστῷ προσῆλθε. διότι αἱ μὲν γυναῖκες αὗται εἰσὶ μάρτυρες ἀψευδεῖς, καὶ πρῶται τῆς ἀναστάσεως. Ἰωσὴφ δὲ καὶ Νικόδημος τῆς ταφῆς. ἃ δὴ καὶ κυριώτατα εἰσὶ καὶ συνεκτικώτατα τῶν καθ' ἡμᾶς δογμάτων. αὐτίκα γὰρ ὁ μὲν Νικόδημος ἀποσυνάγωγος γέγονε, μὴ τοῖς Ἰουδαίοις αἱρούμενος συμφρονεῖν. ὁ δὲ Ἰωσὴφ μετὰ τὸ ἐνταφιάσαι τὸ τοῦ κυρίου σῶμα, ἐν βόθρῳ παρὰ τῶν Ἰουδαίων ἐμβάλλεται, καὶ θείᾳ δυνάμει ἐκεῖθεν ἁρπάζεται, καὶ εἰς Ἀριμαθαίαν τὴν ἰδίαν πατρίδα γίνεται, καὶ ὁ Χριστὸς ἀναστὰς αὐτῷ ἐμφανίζεται τοῖς δεσμοῖς ἐχομένῳ, καὶ πιστοῖ πλέον τούτῳ τῆς ἀναστάσεως τὸ μυστήριον. πολλὰ δὲ καὶ πρὸς Ἰουδαίων πάσχων σιωπῇ τὰ τοῦ μυστηρίου διδόναι οὐκ ἠνέσχετο, ἀλλὰ παρρησίᾳ πᾶσι τὰ γεγενημένα ἐδίδασκε. λέγεται μέντοι, ὡς καὶ Νικόδημος οὗτος λεπτομερῶς τὰ κατὰ τὸ πάθος τοῦ Χριστοῦ, καὶ τὴν ἀνάστασιν συντάγματι διεσάφησε πρῶτος πάντων, ὡς τῆς συναγωγῆς ὤν, καὶ ἀκριβέστερον καὶ τὰς βουλὰς τῶν Ἰουδαίων καὶ λόγους, καὶ ἁπλῶς τὰ πάντα εἰδώς, καὶ διὰ ταύτην τὴν αἰτίαν ὡς εἴπωμεν, ὅτι ἀψευδεῖς τῆς ταφῆς μάρτυρες, μετὰ

τῶν

τοὺς αἰῶνας. θʹ. Εν ἀγκάλαις φέρουσα Χριστόν, ἐκ σοῦ σωματωθέντα, παρθένε τοῦτον δυσώπει, ἀγκάλισαι δὴ καλῶς, νοῦν περιπλανώμενον, αἰνοδίαις πάσαις τοῦ βίου, καὶ περιαίσμασι μυρίοις, συναντῶντα γνώμῃ ῥαθύμῳ καθ' ἑκάστην.

ᾠδὴ θʹ. ὁ εἱρμός. Τύπος τῆς.

Ιδεν ἥλιος σταυρούμενον μέσον λῃστῶν σὲ λόγε, ἥλιε ἄδυτε, καὶ ἐσκότασαν ὄρη, βουνοί, γῆ, καὶ θάλασσα ἐκλονήθησαν, ᾅδης ἐτρόμαξε, δεσμίους ἀπολύσας, οὓς περ κατεῖχεν ἀνυμνοῦντάς σε. Ω φθης ὥσπερ μέγας ἥλιος, ὑπὸ τὴν γῆν μὲν δύνας. ἐξανατείλας δὲ ἄδυτε σωτὴρ, ἐκ τῶν νεκρῶν καὶ καταυγάσας τὰ τῆς γῆς παραδόξως πληρώματα. διό σε ζωοδότα ἀκαταπαύστως μεγαλύνομεν. Σῶτερ Ἰησοῦ, ὁ θάνατον τῷ σῷ θανάτῳ λύσας. ἐξαναστήσας δὲ πάντας, τοὺς ἐκεῖ κατεχομένους ἀνάστησον, κἀμὲ τοῦ λάκκου κραυγάζοντα παθῶν θανατηφόρων, καὶ ἁμαρτίας ὡς φιλάνθρωπος. Φρίττει πᾶσα κτίσις δέσποινα, τὸ ὑπὲρ νοῦν μυστήριον τῆς λοχείας σου. τίκτεις γὰρ θεὸν Ἐμμανουὴλ χρηματίσαντα, δι' ἡμᾶς παναμώμητε ἄνθρωπον, τὸν λύσαντα θανάτου, τὴν τυραννίδα τῷ σταυρῷ αὐτοῦ.

Τῇ παρασκευῇ τῆς αὐτῆς ἑβδομάδος τοῦ ἀντίπασχα, ἑσπέρας εἰς τὸ κύριε ἐκέκραξα, ψάλλομεν τὰ στιχηρὰ τοῦ ἀντίπασχα, καθὼς εἰσὶ γεγραμμένα τῷ σαββάτῳ τῆς διακαινησίμου, καὶ εἰς τὸν στίχον στιχηρὰ τοῦ μηναίου γʹ. καὶ λέγομεν στίχοις εἰς πρόσωπον τοῦ κατὰ τὴν ἡμέραν ἁγίου. δόξα καὶ νῦν θεοτόκιον τῆς κυριακῆς, πλάγιος βʹ. Τῶν θυρῶν κεκλεισμένων.

Τῷ σαββάτῳ εἰς τὸν ὄρθρον. εἰς τὸ θεὸς κύριος τὸ τροπάριον ἦχος [illegible]. Εσφραγισμένου τοῦ μνήματος γ. μετὰ τὴν στιχολογίαν τοῦ ἀμώμου. κάθισμα ἀναστάσιμον. καὶ ἀναγνῶσις. εἶτα ὁ νʹ. Οἱ κανόνες τῆς κυριακῆς τροπ. ϛʹ. καὶ τοῦ μηναίου. δʹ. ἀπὸ γʹ. καὶ θ. τοῦ ἁγίου. ἀπὸ ϛʹ. κοντάκιον τῆς κυριακῆς. ἀπὸ δὲ ἐξαποστειλ. εἰς τοὺς αἴνους πάσα πνοή στιχηρὰ ἦχος δʹ. Ω τοῦ παραδόξου θαύματος. γίνονται δʹ. εἰς τὸ δόξα καὶ νῦν. πλάγιος βʹ. τῶν θυρῶν κεκλεισμένων. μετὰ τὸ δόξα ἐν ὑψίστοις δοξολογία μεγάλη. τὸ τροπ. Εσφραγισμένου τοῦ μνήματος τὰ λοιπὰ καὶ ἀπόλυσις.



Κυριακῇ δευτέρᾳ ἀπὸ τοῦ πάσχα τῶν ἁγίων μυροφόρων γυναικῶν, καὶ Ἰωσὴφ τοῦ δικαίου.

Τῷ σαββάτῳ ἑσπέρας. μετὰ τὸ προοιμιακὸν ψαλμὸν καὶ τὴν στιχολογίαν. εἰς τὸ κύριε ἐκέκραξα. στιχηρὰ ἀναστάσιμα τοῦ βʹ ἤχου τὰ ἀρχαῖα καὶ ἀνατολικὰ γίνονται ιʹ. διατάσσοντες τὸ αʹ. ζήτει. δόξα καὶ νῦν. πλάγιος βʹ. Προσόμοια μοναχοῦ.

Αἱ μυροφόροι γυναῖκες τὸν τάφον σοῦ καταλαβοῦσαι, καὶ τὴν

[illegible]ς τὴν λειτουργ[illegible] [illegible] [illegible] μακαρισμοὺς [illegible]. ἢ ϛ. [illegible] κανόνος τῆς κυριακῆς τῆ τετρα[illegible] [illegible].

Εἰς δὲ τὰ σάββατα τοὺς ἀναπαυ[illegible] μακαρισμοὺς ψάλλομεν. [illegible] [illegible]. ἢ καὶ ἀπλουνάριον εἰς προσω[illegible], οὗ ψάλλομεν τὰ στιχηρὰ καὶ τὸ κάθισμα καὶ τὸν κανόνα εἰς τὸν ὄρθρον. ἀπόστολον δὲ καὶ εὐαγγέλιον [illegible] [illegible] τῆς ἡμέρας αὐτῆς.

Εἰς δὲ τὰ ἑσπέρια ἀπὸ τῆς β. τῆς νέας κυριακῆς. μέχρι τῆς ἁγίας [illegible] τὰ προκείμενα τῶν ἡμερῶν ψάλλομεν.

Ἰστέον δὲ καὶ τοῦτο, ὅτι ἀπὸ τῆς β. τῆς [illegible]πάσχα μέχρι τῆς ν. εἰ καὶ γένου [illegible], ἀλλ' οὐ κανόνας νεκρω[illegible] [illegible] ἐν τοῖς σάββασιν. [illegible] ἀλλὰ καὶ ἐν ἄλλῃ ἡμέρᾳ εἰ [illegible] μνημόσυνον ἀδελφοῦ. Περὶ [illegible] [illegible]δείπνου.

Τὸ δὲ ἀπόδειπνα ποιοῦμεν οὕτως. ἀρχόμενοι ἀπὸ τοῦ σαββάτου τῆς διακαι[illegible], ψάλλομεν τὸ κατανυκ[illegible] [illegible]. Τὰ [illegible] [illegible] τὴν πεντηκοστὴν, καὶ τὸ τριῴδιον τῆς ἡμέρας, καὶ [illegible] πάσας τὰς ἡμέρας τῆς ν. εἰς τὸ ἀπόδειπνον [illegible] [illegible] ἡμέρα[illegible] [illegible]. ψάλλομεν [illegible] τῆς ἁγίων [illegible], μὴ [illegible] μετα[illegible].

Τὸ τριῴδιον τῆς αὐτῆς ἑβδομάδος εἰς τὸ ἀπόδ. φέρων ἀκροστιχίδα τήνδε. Ἀδει τὰ δε Ἰωσήφ. ᾠδὴ α. ἦχος α. ὁ εἱρμός. Σοῦ ἡ τροπαιοῦχος δεξιά.

Ἄσωμεν θεῷ ὡς νικητῇ, τῷ καθελόντι θανάτῳ τὸν θάνατον, καὶ ἐξαναστήσαντι σὺν ἑαυτῷ τὸ γένος τὸ ἀνθρώπινον καὶ τῇ ἀφθαρσίᾳ ὑπερβαλλόντως τιμήσαντι. Δεσμευθεὶς θανάτου τὰ δεσμὰ, ὡς δυνατὸς ἐν ἰσχύϊ διέρρηξας. λύσας τοὺς ἀνθρώπους δὲ ἐκ τῆς φθορᾶς τοῦ ᾅδου ἐξανέστησας, ἀνυμνολογοῦντας τὸ κράτος σου πολυέλεε. Ὑπελάβε Χριστὲ ὁ δι' ἐμὲ, μέχρι τοῦ ᾅδου θελήσει γενόμενος, κείμενον ἐν τάφῳ μὲ ἁμαρτιῶν, καὶ λάκκῳ παραβάσεων. τῇ σῇ ἐπινεύσει, ἐξαναστήσας ἐλέησον. Θ. Ἰδοῦσα Χριστὸν ἐκ τῶν νεκρῶν, θεοφυοῦς σαρκὶ ἐγειρόμενον, ἔχαιρες. ἀλλ' αἴτησαι χαροποιόν μοι πένθος νῦν δωρήσασθαι, ὅπως εὕρω τότε ἁγνὴ τὴν θείαν παράκλησιν.

ᾠδὴ γ´. ὁ εἱρμός. Ἐν καμίνῳ παῖδες Ἰσραήλ.

Τῷ σταυρῷ σου λύσας τὴν ἀρὰν, ἐτέθεις ἐν μνημείῳ, καὶ ᾅδου τὸ ζοφερώτατον Χριστὲ, ὡς δυνατὸς καθεῖλες βασίλειον, καὶ ἀνέστης, πᾶσαν τὴν κτίσιν συναναστήσας. ὅθεν σε ὑμνοῦμεν Χριστὲ εἰς τοὺς αἰῶνας. Ἀναβάντος σοῦ ἐν τῷ σταυρῷ, ὁ ἥλιος ἐσβέσθη εἰς ᾅδου δὲ καταβάντος, φῶς ἐπέλαμψε ψυχαῖς ἐν σκότει φιλάνθρωπε ὑπαρχούσαις, καὶ κατεχομέναις ὑπὸ πικροῦ θανάτου. ὅθεν σε ὑμνοῦμεν Χριστὲ εἰς τοὺς αἰῶνας. Δεδεμένον λῦσόν με Χριστὲ, σειραῖς ἁμαρτημάτων, καὶ λάμψον μοι μετανοίας θείαν ἔλλαμψιν σωτήρ, ἐκ σκότους ῥυσάμενος τοὺς ἀνθρώπους, τῇ αἰωνίῳ τῇ σῇ φρικτῇ ἐγέρσει, ἣν ὑμνολογοῦμεν εἰς πάντας

τοὺς

ἄπιστος. ὁ δὲ Θωμᾶς τῷ δακτύλῳ ὡς ἥψατο τοῦ δεσπότου. μέγα ἀνεβόησε σύ μου θεὸς καὶ κύριος. εὐσπλαγχνε κύριε δόξα σοι. [illegible] δόξα ὅν ν [illegible] σφραγισμένου τοῦ μνήματος. Αἱ αἰτήσεις μετὰ τῆς ἐκτενῆς, καὶ ἀπόλυσις.

Τῇ κυριακῇ ἑσπέρας εἰς τὸ κύριε ἐκέκραξα ἱστῶμεν στίχους ς΄. καὶ ψάλλομεν στιχηρὰ τῆς κυριακῆς γ΄. καὶ τοῦ ἁγίου γ΄. Ἀπὸ γὰρ τῆς ἑσπέρας ταύτης εἰσάγεται ἡ ἀκολουθία τοῦ μηναίου. προκείμενον ἦχος βαρὺς. Τίς θεὸς μέγας, ὡς ὁ θεὸς ἡμῶν, σὺ εἶ ὁ θεὸς ὁ ποιῶν θαυμάσια. στίχος. Ἐγνώρισας ἐν τοῖς λαοῖς ὁ θεὸς, τὴν δύναμίν σου καὶ τὴν δόξαν σου. Εἰς τὸν στίχον στιχηρὸν τὸ στιχ τῆς ὀκτωήχου ἀναστάσιμον τοῦ ἤχου. Τῷ πάθει σου Χριστὲ σωτήρ. ζήτει φ. ρπ. καὶ κατανυκτικὸν ἓν καὶ μαρτυρικὸν ἕν. Ὅτι τὸ πέλαγος. [illegible] Τῇ πρεσβείᾳ κύριε πάντων τῶν ἁγίων. ζήτει φ. ρνβ΄. δόξα καὶ νῦν [illegible] τῆς κυριακῆς. τὸ [illegible] σφραγισμένου τοῦ μνήματος. καὶ ἀπόλυσις.

Τῇ β΄. εἰς τὸν ὄρθρον, εἰς τὸ θεὸς κύριος. Ἐσφραγισμένου. δίς. δόξα καὶ νῦν τὸ αὐτό. μετὰ τὴν συνήθη στιχολογίαν Κάθισμα ἀναστάσιμον τοῦ δε-[illegible]

[illegible] ἐν τάφον σου σωτήρ. [illegible] [illegible] καὶ [illegible] ν εν. καὶ [illegible] εἰκὸν ἕν [illegible] τὰ [illegible] εἶτα ἀναγνῶσις τὸ Ἀνα[illegible] Χ[illegible] ὁ κανὼν τῆς κυρ[illegible] πρὸς [illegible] τοῦ μηναίου δ΄. ἀπὸ γ΄. [illegible] α[illegible] ἀπὸ ς΄. κοντάκιον τῆς κυ[illegible] [illegible] E[illegible] εἰς αἴνους στιχηρὸν [illegible] [illegible] ἕν [illegible] μνῦμεν σου Χριστέ. [illegible] φ. ρπς. [illegible] κατανυκτικὸν [illegible] τυρικὸν ἕν. Τῶν πεπραγμένων μου δεινῶν. καὶ τὸ [illegible] πὲρ Χριστοῦ παθόντες. ζήτει εἰς τὴν α [illegible] ἑβδομάδα [illegible] φ. ρνή. Δόξα καὶ [illegible] δίου [illegible] κυριακῆς.

Χρὴ εἰδέναι, [illegible] κατανυκτικῶν, καὶ ἀποστολικῶν καὶ μαρτυρικῶν προσηγοῦνται τὰ ἀναστάσιμα στιχηρά. μέχρι τῆς ἀναλήψεως. ὁμοίως καὶ τὰ καθίσματα καὶ τὰ στιχηρὰ εἰς τοὺς αἴνους. τὸ δὲ σταυροσίμων ἐν [illegible] τότε γὰρ ψάλλομεν τὰ σταυρώσιμα, καὶ οὕτω τὰ ἀναστάσιμα.

Ἰστέον δὲ καὶ τοῦτο, ὅτι τὰ ἑωθινὰ εὐαγγέλια εἰς τὸν ὄρθρον ἀπὸ τοῦ πάσχα οὐ κατ' ἐφεξῆς ἀναγινώσκονται. ἀλλὰ παρηλλαγμένως, καὶ πληροῦνται πάντα ἀπὸ τοῦ πάσχα ἕως τῆς. ν. καὶ δεῖ προσέχειν τὸν ἱερέα ἀκριβῶς τὸ συναξάριον μιᾶς ἑκάστης κυριακῆς. ἵνα μὴ ἄλλο ἀντ' ἄλλου ἀναγνώσῃ καὶ σφάλλῃ τῆς εὐθείας ὁδοῦ καὶ διατάξεως. τὸ γὰρ καλὸν, οὐ καλὸν, ὅταν μὴ καλῶς γίνεται.

Ἰστέον δὲ καὶ τοῦτο, ὅτι ἀπὸ τῆς β. τῆς μετὰ τὴν νέαν κυριακὴν εἰς τὸν ὄρθρον ψάλλομεν κανόνας δύο. τῆς κυριακῆς. πρὸς ς΄. καὶ τοῦ μηναίου δ΄.

τὰ σύμπαντα τούτοις. ὑμνεῖτε κύριον καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ἐπιποθήσας σου τὴν χαρμόσυνον θέαν, τὸ πρὶν ἠπίστει ὁ Θωμᾶς. ἀξιωθεὶς δὲ ταύτης, θεὸν καὶ κύριόν σε ἐκάλει δέσποτα, ὃν ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας. Σοῦ τὸ περίεργον, θησαυρὸν κεκρυμμένον. ἡμῖν ἀνέῳξε Θωμᾶς. θεολογήσας γλώσσῃ γὰρ θεοφορουμένῃ. ὑμνεῖτε ἔλεγεν, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

ᾠδὴ θ'. ὁ εἱρμός.

Σὲ τὴν φαεινὴν λαμπάδα, καὶ μητέρα τοῦ θεοῦ, τὴν ἀρίζηλον δόξαν, καὶ ἀνωτέραν πάντων τῶν ποιημάτων ἐν ὕμνοις μεγαλύνομεν.

Σοῦ τὴν φαεινὴν ἡμέραν, καὶ ὑπέρλαμπρον Χριστὲ, τὴν ὁλόφωτον χάριν, ἐν ᾗ ὡραῖος κάλλει τοῖς μαθηταῖς σου ἐπέστης. μεγαλύνομεν. Σὲ τὸν χοϊκῇ παλάμῃ ψηλαφόμενον πλευρὰν, καὶ μὴ φλέξαντα ταύτην, πυρὶ τῷ τῆς ἀΰλου θείας οὐσίας ἐν ὕμνοις μεγαλύνομεν.

Ἐξαποστειλάριον. Ὁ οὐρανὸν τοῖς.

Ἐμῶν μελῶν χειρί σου ἐξερευνήσας τὰς πληγὰς, μή μοι Θωμᾶ ἀπιστήσῃς, τραυματισθέντα διὰ σέ. σὺν μαθηταῖς ὁμοφρόνει, καὶ ζῶντα κήρυττε θεόν. ἄλλο.

Σήμερον ἔαρ μυρίζει, καὶ πᾶσα κτίσις χορεύει, σήμερον αἴρονται κλεῖθρα θυρῶν καὶ τῆς ἀπιστίας, Θωμᾶ τοῦ φίλου βοῶντος ὁ κύριος καὶ θεός μου.

Εἰς τοὺς αἴνους πᾶσα πνοή. Στιχηρὰ ἦχος δ'. γίνονται ς'. Ἀνατολίου. Ὢ τοῦ παραδόξου θαύμ.

Ὢ τοῦ παραδόξου θαύματος, ἀπιστία πίστιν βεβαίαν ἐγέννησεν. εἶπεν γὰρ ὁ Θωμᾶς, ἐὰν μὴ ἴδω καὶ μὴ πιστεύσω. ψηλαφήσας δὲ τὴν πλευρὰν, ἐθεολόγει τὸν σαρκωθέντα, τὸν αὐτὸν υἱὸν τοῦ θεοῦ, ἐγνώρισεν ὡς πεπονθότα σαρκί. ἐκήρυξε τὸν ἀναστάντα θεόν. καὶ ἐβόησε λαμπρᾷ τῇ φωνῇ. ὁ κύριός μου καὶ ὁ θεός μου δόξα σοι. Ὢ τοῦ παραδόξου θαύματος, τοῦ πυρὸς ὁ χόρτος ἀψάμενος σέσωσται. βαλὼν γὰρ ὁ Θωμᾶς ἐν τῇ πυρίνῃ πλευρᾷ τὴν χεῖρα, Ἰησοῦ Χριστοῦ τοῦ θεοῦ, οὐ κατεφλέχθη τῇ ψηλαφήσει. τῆς ψυχῆς γὰρ τὸ δυσπειθὲς μετέλαβεν εἰς ἀπιστίαν θερμῶς, ἐκέκραξεν ἀπὸ βαθέων ψυχῆς. ὁ δεσπότης ὁ μου εἶ κύριος καὶ θεὸς, ὁ ἐκ νεκρῶν ἐγηγερμένος δόξα σοι. Ὢ τοῦ παραδόξου θαύματος Ἰωάννης στήθει τοῦ λόγου ἀνέπεσε. Θωμᾶς δὲ τὴν πλευρὰν προσψηλαφῆσαι κατηξιώθη. ἀλλ' ὁ μὲν ἐκεῖθεν φρικτῶς, θεολογίας βυθὸν ἀνέλκει τὴν οἰκονομίαν. ὁ δὲ ἠξίωται μυσταγωγῆσαι ἡμᾶς. παρίστησι τὰς ἀποδείξεις τρανῶς τῆς ἐγέρσεως αὐτοῦ ἐκ βοῶν. ὁ κύριός μου καὶ ὁ θεός μου δόξα σοι.

Δόξα καὶ νῦν πλαγίου δ'. Ἰωάννου μοναχοῦ.

Ἄψαι Θωμᾶ τῆς πλευρᾶς τῇ χειρὶ, λέγει Χριστός. καὶ τοὺς τύπους τῶν ἥλων δεῦρο ψηλάφησον. πίστει ἐρεύνησον, καὶ γίνου μοι πιστὸς, καὶ μὴ γίνου ἄπιστος.

κύριον, ἐκ τῆς ἀφῆς πλησθεῖσα τοῖς χάριτος.

ᾠδὴ ε. ὁ εἱρμός.

Ἐκ νυκτὸς ὀρθρίζοντες ὑμνοῦμέν σε Χριστὲ, τὸν τῷ πατρὶ συνάναρχον καὶ σωτῆρα τῶν ψυχῶν. τὴν εἰρήνην τῷ κόσμῳ παράσχου φιλάνθρωπε.

Ἐπιστὰς τοῖς φίλοις ἀθυμοῦσιν ὁ σωτὴρ, τῇ παρουσίᾳ ἅπασαν ἀπελαύνει τὴν κατήφειαν, καὶ σκιρτᾶν διεγείρει τῇ ἀναστάσει αὐτοῦ.

Ἀπιστίαν πίστεως γεννήτειραν ἡμῖν τὴν τοῦ Θωμᾶ ἀνέδειξας. σὺ γὰρ πάντα τῇ σοφίᾳ σου, προνοεῖς συμφερόντως, Χριστὲ ὡς φιλάνθρωπος.

ᾠδὴ ς. ὁ εἱρμός.

Τὸν προφήτην διέσωσας, ἐκ τοῦ κήτους φιλάνθρωπε, κἀμὲ τοῦ βυθοῦ τῶν πταισμάτων ἀνάγαγε δέομαι.

Τὸν Θωμᾶν οὐ κατέλιπες, βαπτιζόμενον δέσποτα, βυθῷ ἀπιστίας παλάμας προτείνας εἰς ἔρευναν. Τὴν πλευρὰν ἐψηλάφησε, καὶ πιστεύσας ἐπέγνωσε, Θωμᾶς μὴ παρόντος τῇ πρώτῃ εἰσόδῳ σωτῆρ ἡμῶν.

Κοντάκιον. ἦχος πλάγιος δ'.

Τῇ φιλοπράγμονι δεξιᾷ, τὴν ζωοπαροχόν σου πλευρὰν, ὁ Θωμᾶς ἐξηρεύνησε Χριστὲ ὁ θεός. συγκεκλεισμένων γὰρ τῶν θυρῶν ὡς εἰσῆλθες σὺν τοῖς λοιποῖς ἀποστόλοις ἐβόα σοι. κύριος ὑπάρχεις καὶ θεός μου. ὁ οἶκος.

Τίς ἐφύλαξε τὴν τοῦ μαθητοῦ παλάμην τότε ἀχώνευτον. ὅτε τῇ πυρίνῃ πλευρᾷ προσῆλθε τοῦ κυρίου. τίς ἔδωκε ταύτῃ τόλμαν, καὶ ἴσχυσε ψηλαφῆσαι φλόγιον ὀστοῦν. πάντως ἡ ψηλαφηθεῖσα. εἰ μὴ γὰρ ἡ πλευρὰ δύναμιν ἐχορήγησε, πηλίνῃ δεξιᾷ πῶς εἶχε ψηλαφῆσαι, παθήματα σαλεύσαντα τὰ ἄνω καὶ τὰ κάτω. αὕτη ἡ χάρις Θωμᾷ ἐδόθη, τοῦ ταύτην ψηλαφῆσαι, Χριστῷ δὲ ἐκβοῆσαι. Κύριος ὑπάρχεις καὶ θεός μου.

ᾠδὴ ζ. ὁ εἱρμός.

Εἰκόνι λατρεύειν, μουσικῆς συμφωνίας, συγκαλουμένης λαοῦ, ἐκ τῶν ᾠδῶν Σιὼν ᾄδοντες, πατρικῶς οἱ παῖδες Δαβὶδ, τυράννου ἔλυσαν, τὸ παλίμφημον δόγμα, καὶ τὴν φλόγα εἰς δρόσον μετέβαλον, ὕμνον ἀναμέλποντες. ὁ ὑπερυψούμενος τῶν πατέρων καὶ ἡμῶν θεὸς εὐλογητὸς εἶ.

Ὡς πρώτη ὑπάρχει ἡμερῶν καὶ κυρία, ἡ λαμπροφόρος αὕτη, ἐν ᾗ ἀγάλλεσθαι ἄξιον, τὸν καινὸν καὶ θεῖον λαόν. ἐν βόμῳ φέρει γὰρ, καὶ αἰῶνος τὸν τύπον, ὡς ὀγδόας, τελοῦσα τοῦ μέλλοντος. ὁ ὑπερυψούμενος τῶν πατέρων καὶ ἡμῶν θεὸς εὐλογητὸς εἶ. Ἐμφόβως τὴν χεῖρα, ὁ Θωμᾶς, τῇ πλευρᾷ σου τῇ ζωηφόρῳ Χριστὲ, ἐνθεὶς ὑπόβομον ἤσθετο, ἐνεργείας σου περιπλῆσι τῶν δύο φύσεων τῶν ἐν σοὶ ἡνωμένων. ἀσυγχύτως καὶ πίστει ἐκραύγαζε. λέγων, σὺ εἶ κύριος, ὁ ὑπερυψούμενος τῶν πατέρων καὶ ἡμῶν θεὸς εὐλογητὸς εἶ.

ᾠδὴ η. ὁ εἱρμός.

Τὸν ἐν φλογὶ πυρὸς καιομένης καμίνου, διαφυλάξαντα παῖδας, καὶ ἐν μορφῇ ἀγγέλου συγκαταβάντα

τὴν ἀνάστασιν. οὐ γὰρ τοῖς πολλοῖς
ταῦτα ἐπεδείκνυτο. παρήχασι δὲ
ταῦτά τε πάντα οἱ εὐαγγελισταὶ ἀνα-
γράψασθαι. διότι οὐκ ἦν δυνατὸν,
ταῦτα τοὺς πολλοὺς καὶ ἐν τῷ κόσμῳ
ἀναστρεφομένοις ἀνθρώποις ἀκούειν,
ὡς ὑπερφυῆ λίαν τυγχάνοντα. Ταῖς
τοῦ σοῦ ἀποστόλου Θωμᾶ πρεσβείαις
Χριστὲ ὁ θεὸς ἡμῶν, ἐλέησον ἡμᾶς.
ἀμήν.

Οἱ ἀναβαθμοί. ἀντίφωνον α΄. ἦχος α΄.
Προκείμ. τοῦ α΄. ἤχου. Νῦν ἀναστήσο-
μαι λέγει κύριος. στίχος. Σῶσόν με
κύριε, ὅτι ἐκλέλοιπεν. Πᾶσα πνοή.
Τὸ ἑωθινὸν εὐαγγέλιον α΄. Ἀνάστασιν
Χριστοῦ θεασάμενοι. ὁ ν΄. ὁ κανὼν
Ἰωάννου μοναχοῦ. γίνονται τροπ. ιδ΄.
μετὰ τοῦ δόξα καὶ νῦν. ᾠδὴ α΄. ἦχος
α΄. ὁ εἱρμός.

Ἄσωμεν πάντες λαοί. Τῷ ἐκ
πικρᾶς δουλείας, Φαραὼ τὸν Ἰσ-
ραὴλ ἀπαλλάξαντι, καὶ ἐν βυθῷ θα-
λάσσης ποδὶ ἀβρόχως ὁδηγήσαντι.
ᾠδὴν ἐπινίκιον. ὅτι δεδόξασται.

Σήμερον ἔαρ ψυχῶν, ὅτι Χριστὸς
ἐκ τάφου ὥσπερ ἥλιος, ἐκλάμ-
ψας τριήμερος, τὸν ζοφερὸν χειμῶνα
ἀπήλασε τῆς ἁμαρτίας ἡμῶν, αὐ-
τὸν ἀνυμνήσωμεν. ὅτι δεδόξασται.
Πύλαι θανάτου Χριστὲ, οὐ δὲ τοῦ τά-
φου σφραγῖδες, οὐ δὲ κλεῖθρα τῶν θυ-
ρῶν σοι ἀντέστησαν. ἀλλ' ἀναστὰς ἐ-
πέστης τοῖς φίλοις σου. εἰρήνην δέ-
σποτα δωρούμενος τὴν πάντα νοῦν
ὑπερέχουσαν.

ᾠδὴ γ΄. ὁ εἱρμός.

Στερέωσόν με Χριστὲ ἐπὶ τὴν ἀ-
σείστον πέτραν τῶν ἐντολῶν σου.
ω.τ

φώτισόν με φωτὶ τοῦ προσώπου σου.
οὐκ ἔστιν ἅγιος πλήν σου φιλάν-
θρωπε.

Καινοὺς ἀντὶ παλαιῶν, ἀντὶ φθαρ-
τῶν δὲ ἀφθάρτους, διὰ σταυροῦ σου
Χριστὲ τελέσας ἡμᾶς. ἐν καινότητι
ζωῆς πολιτεύεσθαι ἀξίως προσέτα-
ξας. Τοὺς μώλωπάς σου Χριστὲ, οὓς
ἑκουσίως ὑπέστης ὑπὲρ ἡμῶν τοῖς μα-
θηταῖς σου φυλάξας μαρτύριον. τῆς
σῆς ἔδειξας ἐνδόξου ἀναστάσεως.

Κάθισμα. ἦχος α΄. Τοῦ λίθου σφρα-
γισθέντος.

Τῷ φόβῳ τῶν ἑβραίων κεκρυμ-
μένων τῶν μαθητῶν, καὶ ἐν τῇ Σιὼν
συνηγμένων, εἰσῆλθες πρὸς αὐτοὺς
ἀγαθὲ, καὶ ἔστης κεκλεισμένων τῶν θυ-
ρῶν ἐν μέσῳ αὐτῶν χαροποιὸς, καὶ
ὑπέδειξας αὐτοῖς τὰς χεῖρας, καὶ τῆς
ἀχράντου σου πλευρᾶς τοὺς μώλω-
πας. λέγων τῷ ἀπιστοῦντι μαθητῇ.
φέρε τὴν χεῖρά σου καὶ ἐρεύνα. ὅτι
αὐτὸς ἐγώ εἰμι, ὁ διὰ σὲ παθητός.
Δόξα καὶ νῦν τὸ αὐτό. ᾠδὴ δ΄. ὁ
εἱρμός.

Μέγα τὸ μυστήριον, τῆς σῆς Χρι-
στὲ οἰκονομίας, τοῦτο γὰρ ἄνωθεν
προβλέπων, θεοπτικῶς ὁ Ἀββα-
κούμ. ἐξῆλθες ἐβόα σοι, εἰς σωτη-
ρίαν λαοῦ σου φιλάνθρωπε.

Χολῆς μὲν ἐγεύσατο, τὴν πάλαι
γεῦσιν ἰώμενος. νυνὶ δὲ σὺν κη-
ρίῳ μέλιτος, τοῦ φωτισμοῦ μεταδι-
δοὺς, Χριστὸς τῷ προπάτορι, καὶ τῆς
αὐτοῦ γλυκείας μεθέξεως. Σοῦ ἡ παμ-
μακάριστος ὑμνεῖται γλῶσσα Δι-
δυμε. πρώτη γὰρ εὐσεβῶς κηρύττει
τὸν ζωοδότην Ἰησοῦν, θεόν τε καὶ
κύριον.

ἐγκαινισμὸς, ἡ παροῦσα κυριακή. ἥτις λέγοιτο ἂν κυρίως καὶ ὀγδόη καὶ πρώτη, ὀγδόη μὲν ὡς ἀπὸ τοῦ πάσχα. πρώτη δὲ, καὶ ὀγδόη πάλιν, ὅτι εἰς εἰκόνα τάττεται τῆς ἀπεράντου ἐκείνης τῆς ἡμέρας, τῆς ἐν τῷ μέλλοντι αἰῶνι. ἥτις καὶ πρώτη καὶ μία ἔσται πάντως, μὴ νυκτὶ διακοπτομένη. ταῦτα μὲν περὶ ἐγκαινίων. τὰ δὲ κατὰ τὸν Θωμᾶν οὕτω γέγονεν. τοῦ Χριστοῦ καθ' ἣν ἡμέραν ἀνέστη ὀψίας τοῖς μαθηταῖς ἐμφανισθέντος, ἀπεδήμει Θωμᾶς οὔπω μετὰ τῶν λοιπῶν συναχθεὶς, τῷ τῶν Ἰουδαίων φόβῳ, ἐπεὶ δὲ μετ' ὀλίγον ἐπανελθὼν μάθοι τὴν τοῦ Χριστοῦ παρουσίαν, ἠπίστει, οὐ τοῖς μαθηταῖς ὅτι αὐτὸν ἀναστάντα εἶδον, ἀλλ' ὅτι οὐδ' ὅλως ἀνέστη Χριστὸς, καὶ ταῦτα εἷς τυγχάνων τῶν δώδεκα. ὁ δὲ ἀμήχανος θεὸς, καὶ τοῦ ἑνὸς μὲν οὕτω κηδόμενος, ἅμα δὲ καὶ οἰκονομίᾳ τινὶ μείζονι. ἵνα καὶ μᾶλλον ἡ ἀνάστασις τοῖς εἰς ἔπειτα πιστωθείη, διαλιπὼν ἡμέρας ὀκτὼ, ἵνα τὸν ἐκείνου πόθον ἄκρως διαιρεθίσῃ, καὶ μᾶλλον ἀπιστήσας, πᾶσι πίστιν ἀκριβεστέραν παράσχῃ τῆς ἀναστάσεως, πάλιν ἔρχεται, καὶ τῶν θυρῶν κεκλεισμένων ὡς πρότερον, παρόντος δῆτα καὶ τοῦ Θωμᾶ, ἔνεισι καὶ τὴν εἰρήνην τὸ συνήθες ἀσπασάμενος. μετέπειτα πρὸς τὸν Θωμᾶν ἀποτείνεται. καὶ φησὶ φέρε τὸν δάκτυλόν σου ὧδε, καὶ ἴδε τὰς χεῖράς μου, καὶ φέρε τὴν χεῖρά σου, καὶ βάλε εἰς τὴν πλευράν μου, καὶ μὴ γίνου ἄπιστος ἀλλὰ πιστός. ἐπειδὴ γὰρ οὐ μόνον διὰ θεωρίας πιστωθῆναι εἶχε διὰ τὴν φαντασίαν, ἀλλὰ παχὺς ὢν καὶ ἁφῆς ἐμνήσθης. ἔδειξε δὲ διὰ τούτων. ὅτι ᾔδει καὶ ταῦτα ἔλεγε πρὸς τοὺς μαθητὰς παρὼν ἀκούων, βάλε τὴν χεῖρά σου εἰς τὴν πλευράν μου. δηλοῖ δὲ, ὅτι καὶ εὐρεῖα ἦν ἡ κατὰ τὴν πλευρᾶς πηγὴ ὡς καὶ χεῖρα εἴσω χωρεῖν. ὁ δὲ Θωμᾶς ἀκριβῶς διερευνησάμενος, καὶ τὴν πίστιν λαβὼν δι' ἁφῆς. συνεχωρεῖτο γὰρ ταῦθ' ὁρᾶν καὶ ποιεῖν ἐκεῖνα, κἂν ἐν ἀφθάρτῳ καὶ τεθεωμένῳ ἄκρως τῷ σώματι δι' ἀσφάλειαν ἔκραξεν. ὁ κύριός μου καὶ ὁ θεός μου· τὸ μὲν, διὰ τὴν σάρκα, τὸ δὲ διὰ τὴν θεότητα, καὶ ὁ Χριστὸς πρὸς αὐτὸν λέγει. ὅτι ἰδών με ἐπίστευσας, μακάριοι οἱ μὴ ἰδόντες καὶ πιστεύσαντες. Δίδυμος δὲ λέγεται ὁ Θωμᾶς, ἢ ὅτι μεθ' ἑτέρου γεγέννηται. ἢ διὰ τὸ διστάσαι τῇ ἀναστάσει, ἢ ὅτι οὕτως ἐκ φύσεως κεκολλημένοι ἦσαν αὐτοῦ οἱ δύο δάκτυλοι τῆς χειρὸς τῆς δεξιᾶς. ὁ μέσος δηλονότι καὶ ὁ περὶ ἐκεῖνον ὁ λεγόμενος λιχανός. Ἴσως ἄν τις φαίη, ὅτι διστάζειν ἔμελλεν, καὶ μετ' αὐτῶν ψηλαφεῖν, ἄλλοι δὲ λέγουσιν, ὅπερ καὶ ἀκριβέστερον. ὅτι τὸ, Θωμᾶς, δίδυμος ἑρμηνεύεται, δευτέρα αὕτη ἐμφάνεια τοῦ Χριστοῦ. τρίτη δὲ γέγονεν ἐπὶ τῆς θαλάσσης τῆς Τιβεριάδος, ἐν τῇ ἄγρᾳ τῶν ἰχθύων, ὅτε καὶ τροφῆς μετέσχε τῷ θείῳ πυρὶ καταναλωθείσης, ὡς ᾔδεν αὐτὸς, βεβαιοτέραν τὴν ἀνάστασιν παριστῶν. εἶτα εἰς Ἐμμαοὺς φαίνεται. πέμπτον ἐν Γαλιλαίᾳ. καὶ ἑνδεκάκις ὥσφασιν φαίνεται ἕως οὗ ἀνελήφθη. πολλὰ καὶ ὑπερφυῆ σημεῖα ποιῶν ἐνώπιον τῶν μαθητῶν μετὰ

καὶ θεόν σε ὡμολόγησε. σῴζοντα τοὺς πιστεύοντας εἰς σὲ φιλάνθρωπε.

Στίχος. Ἀνάστηθι κύριε ὁ θεός μου ὑψωθήτω ἡ χείρ σου, μὴ ἐπιλάθῃ.

Μεθ' ἡμέρας ὀκτὼ, τῆς ἐγέρσεώς σου Ἰησοῦ βασιλεῦ, μονογενὲς λόγε τοῦ πατρὸς, ὤφθης τοῖς μαθηταῖς σου, κεκλεισμένων τῶν θυρῶν, τὴν εἰρήνην σου παρεχόμενος, καὶ τῷ ἀπιστοῦντι μαθητῇ τοὺς τύπους ἔδειξας, δεῦρο ψηλάφησον τὰς χεῖρας καὶ τοὺς πόδας, καὶ τὴν ἀκήρατόν μου πλευράν. ὁ δὲ πεισθεὶς, ἐβόα σοι, ὁ κύριος, καὶ ὁ θεός μου δόξα σοι.

Δόξα καὶ νῦν πλαγ. β'. Ἰωάννου μοναχοῦ.

Τῶν θυρῶν κεκλεισμένων ἐπέστης Χριστὲ τοῖς μαθηταῖς. τότε ὁ Θωμᾶς οἰκονομικῶς οὐχ εὑρέθη μετ' αὐτῶν. ἔλεγε γὰρ, οὐ μὴ πιστεύσω ἐὰν μὴ ἴδω κἀγὼ τὸν δεσπότην. ἴδω τὴν πλευρὰν, ὅθεν ἐξῆλθε τὸ αἷμα, τὸ ὕδωρ τὸ βάπτισμα, ἴδω τὴν πληγὴν ἐξ ἧς ἰάθη τὸ μέγα τραῦμα ὁ ἄνθρωπος. ἴδω πῶς οὐκ ἦν ὡς πνεῦμα, ἀλλὰ σὰρξ καὶ ὀστέα. ὁ τὸν θάνατον πατήσας, καὶ Θωμᾶν πληροφορήσας κύριε δόξα σοι.

Τὸ προσ. ἦχος βαρύς.

Ἐσφραγισμένου τοῦ μνήματος, ἡ ζωὴ ἐκ τάφου ἀνέτειλας Χριστὲ ὁ θεὸς, καὶ τῶν θυρῶν κεκλεισμένων τοῖς μαθηταῖς ἐπέστης ἡ πάντων ἀνάστασις. πνεῦμα εὐθὲς δι' αὐτῶν ἐγκαινίζων ἡμῖν κατὰ τὸ μέγα σου ἔλεος.

Τὸ αὐτὸ καὶ εἰς τὸ ἀπόδειπνον. Τὸ δ' ἀπόδειπνον ποιοῦμεν οὕτω. Τὸ κατευθυνθήτω ἐξάψαλμον. τὸ μεθ' ἡμῶν ὁ θεὸς, καὶ τὰ ἀκόλουθα. Εἶτα ὁ κανὼν τῆς θεοτόκου. ὧδη δ'. Τοῦ Γαβριὴλ φθεγξαμένου. Εἰς δὲ τὸ τέλος προσ. Ἐσφραγισμένου τοῦ μνήματος.

Τῇ κυριακῇ τοῦ ἀντίπασχα εἰς τὸν ὄρθρον εἰς τὸ θεὸς κύριος. προσ. Ἐσφραγισμένου. τρίς. Στιχολογοῦμεν κάθισμα α'. Ἐξομολογήσομαί σοι κύριε ἐν ὅλῃ. ἡ ὑπακοή. ἦχος α'. τοῦ ἀναστάσιμου ἤχου. Ἡ τοῦ λῃστοῦ μετάνοια. ἡ ἀνάγνωσις. δέσποτα εὐλόγησον.

Τῇ αὐτῇ ἡμέρᾳ κυριακῇ πρώτῃ μετὰ τὸ πάσχα τὰ ἐγκαίνια ἑορτάζομεν τῆς Χριστοῦ ἀναστάσεως, καὶ τὴν τοῦ ἁγίου ἀποστόλου Θωμᾶ ψηλάφησιν. τὰ μὲν οὖν ἐγκαίνια ἔθιμον ἦν ἀρχαῖον γίνεσθαι, εἰς τὴν τῶν ὀλισθήμων. τοῦ γὰρ χρόνου ἀνακυκλοῦντος, καὶ τὴν αὐτὴν ἡμέραν καθ' ἣν τότε διεπράχθη ἐπάγοντος τοῦ πράγματος ἐκείνου μνείαν ἐποιοῦντο ἐτήσιον, ἵνα μὴ εἰς λήθην τὰ μεγάλα τῶν ἔργων γένοιντο, ἐντεῦθεν ἑβραῖοι πρῶτον τὸ πάσχα ἐν Γαλγάλοις ἐποίησαν, τὴν τῆς ἐρυθρᾶς διάβασιν ἐγκαινίζοντες. ἐντεῦθεν ἡ σκηνὴ τοῦ μαρτυρίου αὐτοῖς ἐγκαινίζεται καὶ πολυτελῶς. ἐντεῦθεν ἡ βασιλεία Δαβὶδ, καὶ τ' ἄλλα, ἵνα μὴ καθ' ἕκαστον λέγω. ἐπεὶ οὖν πάντων τῶν ἐν βίῳ πραγμάτων διαφερόντως μέγιστον καὶ ὑπὲρ ἅπασαν ἔννοιαν ἡ τοῦ κυρίου ἀνάστασις ἔργον, οὐ μόνον κατ' ἔτος αὐτὴν ἑορτάζομεν καὶ ἐγκαινίζομεν, ἀλλ' ἀεὶ καὶ μεθ' ἡμέρας ὀκτώ. πρῶτος τοίνυν ταύτης

ἐγκαι-



Τῷ Σαββάτῳ τῆς διακαινησίμου. ἑσπέρας εἰς τὸ λυχνικὸν ἀρχόμεθα ψάλλειν τὸν προοιμιακὸν ψαλμὸν καὶ στιχολογοῦμεν τὸ μακάριος ἀνήρ. εἰς τὸ κύριε ἐκέκραξα ἱστῶμεν στίχους ή. καὶ ψάλλομεν στιχηρά. ἦχος ά. Ἰωάννου μοναχοῦ. Τὸ ά. τρίς.

ΜΕΘ᾽ ἡμέρας ὀκτὼ, τῆς ἐγέρσεώς σου κύριε, ὤφθης τοῖς μαθηταῖς σου, ἐν τόπῳ οὗ ἦσαν συνηγμένοι, καὶ φωνήσας αὐτοῖς. εἰρήνη ἡμῖν. τῷ ἀπιστοῦντι μαθητῇ τὰς χεῖρας ὑπέδειξας, καὶ τὴν ἄχραντον πλευράν. ὁ δὲ πεισθεὶς ἐβόα σοι ὁ κύριός μου καὶ ὁ θεός μου δόξα σοι. Τὸ β́. Τρίς.

Θωμᾶς ὁ λεγόμενος δίδυμος, οὐκ ἦν μετ᾽ αὐτῶν ὅτε εἰσῆλθες Χριστὲ, κεκλεισμένων τῶν θυρῶν, ὅθεν καὶ ἠπίστει τοῖς ῥηθεῖσιν αὐτῷ, ἐξ ἀπιστίας εἰς πίστιν βεβαιῶν, οὐκ ἀπηξίωσας δὲ ἀγαθὲ, ὑποδεῖξαι αὐτῷ τὴν ἄχραντον πλευράν σου καὶ τῶν χειρῶν καὶ τῶν ποδῶν τοὺς μώλωπας, ὁ δὲ ψηλαφήσας, καὶ ἰδὼν ὡμολόγησέ σε εἶναι θεὸν, οὐ γυμνὸν, καὶ ἄνθρωπον οὐ ψιλὸν, καὶ ἐβόα, ὁ κύριός μου καὶ ὁ θεός μου δόξα σοι.

Τὸ γ́. δίς.

Τῶν θυρῶν κεκλεισμένων, τῶν μαθητῶν συνηθροισμένων, εἰσῆλθες ἄφνω παντοδύναμε Ἰησοῦ ὁ θεὸς ἡμῶν, καὶ στὰς ἐν μέσῳ αὐτῶν εἰρήνην δοὺς, ἐπλήρωσας ἁγίου πνεύματος, προσμένειν τε προσέταξας. καὶ μηδαμῶς χωρίζεσθαι ἀπὸ Ἱερουσαλὴμ, ἕως οὗ ἐνδύσησθε τὴν ἐξ ὕψους δύναμιν. διὸ βοῶμέν σοι, ὁ φωτισμὸς καὶ ἡ ἀνάστασις, καὶ εἰρήνη ἡμῶν δόξα σοι. Δόξα καὶ νῦν πλαγ. ά.

Φιλάνθρωπε μέγα καὶ ἀνείκαστον τὸ πλῆθος τῶν οἰκτιρμῶν σου. ὅτι ἐμακροθύμησας ὑπὸ Ἰουδαίων ῥαπιζόμενος, ὑπὸ τῶν ἀθετούντων σε πολυπραγμονούμενος, ὑπὸ ἀποστόλου ψηλαφώμενος. πῶς ἐσαρκώθης; πῶς ἐσταυρώθης ὢ ἀναμάρτητε; ἀλλὰ συνέτισον ἡμᾶς, ὡς τὸν Θωμᾶν βοᾶν σοι. ὁ κύριός μου καὶ ὁ θεός μου δόξα σοι. Προκείμ. Ὁ κύριος ἐβασίλευσεν. στίχος. Ἐνεδύσατο κύριος δύναμιν.

Εἰς τὸν στίχον, στιχηρά. ἦχος β́. Ἰωάννου μοναχοῦ.

ΤΩν θυρῶν κεκλεισμένων ἐπιστὰς ὁ Ἰησοῦς τοῖς μαθηταῖς ἀφοβίαν καὶ εἰρήνην ἐδίδου. εἶτα λέγει τῷ Θωμᾷ, τί μοι ἀπιστεῖς; ὅτι ἀνέστην ἐκ νεκρῶν, φέρε ὧδε τὴν χεῖρά σου, καὶ βάλε εἰς τὴν πλευράν μου, καὶ ἴδε. σοῦ γὰρ ἀπιστοῦντος, οἱ πάντες ἔμαθον τὰ πάθη καὶ τὴν ἀνάστασίν μου, κράζειν μετὰ σοῦ ὁ κύριός μου καὶ ὁ θεός μου δόξα σοι. στίχος. Ἐξομολογήσομαί σοι κύριε ἐν ὅλῃ καρδίᾳ μου. Μετὰ τὴν ἔγερσίν σου κύριε συνηγμένων τῶν μαθητῶν σου, καὶ τῶν θυρῶν κεκλεισμένων ἐν μέσῳ ἔστης. εἰρήνην παρέχων αὐτοῖς. πεισθεὶς δὲ καὶ ὁ Θωμᾶς, τῇ ὁράσει τῶν χειρῶν καὶ τῆς πλευρᾶς σου, κύριον

ριε ἐλέησον λ΄. καὶ ἀπόλ. Δεῖ γι- νώσκειν· ὅτι ὥσπερ ἐγένετο ἡ τάξις τῆς α΄. ἡμέρας. ἀπὸ τε τοῦ θυμιάματος τῆς ἀρχῆς τοῦ ὄρθρου. μέχρι τῆς συμπληρώσεως τοῦ ἀποδείπνου ἡ αὐτὴ τάξις τελεῖται μέχρι καὶ αὐτοῦ τοῦ σαββάτου τῆς διακαινησίμου ἀνελλιπῶς. ὡσαύτως ὁ ἱερεὺς λαβὼν τὸ θυμιατὸν καὶ ἐξελθὼν ἀπὸ τοῦ θυσιαστηρίου θυμ[...] τοῦ διακόνου προπορευομένου ἔμ[προσ]θεν αὐτοῦ μετὰ μανουαλίων δύο. ὁ δὲ λαὸς ἅπας ἔνδον ὑπάρχων τοῦ ναοῦ. Ὁμοίως καὶ τὸ Χριστὸς ἀνέστη ψάλλε[ται] ὑπ᾽ αὐτοῦ μετὰ τῶν στίχων, καὶ ὁ αὐτὸς Κανὼν ψάλλεται δι᾽ ὅλης τῆς ἑβδομάδος εἴς τε τὸν ὄρθρον καὶ εἰς τὸ ἀπόδειπνον. λυόμενος εἰς τὸν ὄρθρον τροπ. ιβ. ἀπὸ τῆς β΄. τῆς διακαινησίμου μέχρι τοῦ δόξα καὶ νῦν. ἡ αὐτὴ ὑπακοὴ, τὸ αὐτὸ κοντάκιον, τὸ ἀνάστασιν Χριστοῦ θεασάμενοι. γ΄. τὸ ἐξαποστειλ. τὰ ἀντίφωνα τῆς λειτουργίας ὁμοίως καὶ τὸ κοινωνικὸν καὶ καθεξῆς ὡς προεγράφη.

Τῇ β΄. τῆς διακαινησίμου εἰς τὸ κύριε ἐκέκραξα στιχηρὰ ἀναστάσιμα. γ΄. ἦχος γ΄. τὰ ἀρχαῖα καὶ ἀνατολικὰ γ΄. ζήτει εἰς τὸ ὀκτώ[ηχον] [...] ρ[...]ς΄. δόξα καὶ νῦν β΄. τὸ πρῶτον τοῦ ἤχου. Πῶς μὴ θαυμάσωμεν. Προκείμενον. ἦχος βαρύς. Ὁ θεὸς ἡμῶν ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ· πάντα ὅσα ἠθέλησεν ἐποίησεν. Στίχος. Ἐν ἐξόδῳ Ἰσραὴλ ἐξ Αἰγύπτου. οἴκου Ἰακὼβ ἐκ λαοῦ βαρβάρου.

Εἰς τὸν στίχον τὰ ἀναστάσιμα τῆς στιχου. Ὁ τῷ πάθει σου Χριστέ. ζήτει φ.ρλς΄. Εἶτα τὰ στιχηρὰ β. τοῦ πάσχα. Πάσχα ἱερὸν ἡμῖν. καὶ. Δεῦτε ἀπὸ θέας.

Ὁμοίως δὲ καὶ εἰς τὸν ὄρθρον. εἰς τοὺς αἴνους στιχηρὰ ἀναστάσιμα γ΄. καὶ γ΄. ἀνατολικὰ τῆς ὀκτωήχου. ζήτει σβ΄. καὶ τὰ τε τοῦ πάσχα. δόξα καὶ νῦν. Ἀναστάσεως ἡμέρα. Οὕτως οὖν ψάλλονται τὰ στιχηρὰ ὅλη τῇ ἑβδομάδι καθ᾽ ἑκάστην ἡμέραν ἦχον ἕνα.

Τῇ γ΄. τῆς διακαινησίμου ἑσπέρας προκείμενον. ἦχος βαρύς. Φωνῇ μου πρὸς κύριον ἐκέκραξα. στίχος. Ἐν ἡμέρᾳ θλίψεώς μου τὸν θεὸν ἐξεζήτησα.

Τῇ δ΄. τῆς διακαινησίμου ἑσπέρας προκείμενον. ἦχος βαρύς. Ἐνώπισαι ὁ θεὸς τῆς προσευχῆς μου. στίχος. Πρόσχες μοι καὶ εἰσάκουσόν μου.

Τῇ ε΄. τῆς διακαινησίμου προκείμενον. ἦχος βαρύς. Ἀγαπήσω σε κύριε ἡ ἰσχύς μου. στίχος. Ὁ θεός μου βοηθός μου καὶ ἐλπιῶ ἐπ᾽ αὐτόν.

Τῇ παρασκευῇ ἑσπέρας, στιχηρὰ ἀναστάσιμα. ἦχος πλάγιου δ΄. Ἑσπερινὸν ὕμνον. Καὶ τὰ λοιπά. ζήτει [...] ὀκτώηχον φύλ. σλδ΄. Ὁ γὰρ βαρὺς ἦχος ἀπομένει προκείμενον. ἦχος πλάγιος [δ΄]. Ἔδωκας κληρονομίαν τοῖς φοβουμένοις σε κύριε. στίχος. Ἀπὸ τῶν περάτων τῆς γῆς πρὸς σὲ ἐκέκραξα.

στη. γ'. Ἀνάστασιν Χριστοῦ θεασάμενοι. γ'. Κύριε ἐλέησον. λ'. καὶ ἀπόλ. Ἕτεραι ὧραι τοῦ ἁγίου Σάβα. Τό. Χριστὸς ἀνέστη. γ'. Τὴν ἀνάστασιν Χριστοῦ θεασάμενοι. γ'. ζήτει εἰς τὸ ὡρολόγιον φυλ. ρκϛ'. ἡ ὑπακοή. Προλαβοῦσαι τὸν ὄρθρον. Τὸ κοντάκιον. Εἰ καὶ ἐν τάφῳ κατῆλ. καὶ τροπ. γ'. τοῦ κανόνος ἤχου δ'. Ἐν τάφῳ σωματικῶς. ζήτει φ. σϛ'. Δόξα. Ὡς ζωηφόρος. καὶ νῦν. Τοῦ ὑψίστου. ζήτει τὸ γ'. καὶ δ'. τροπάριον τῆς ϛ'. ᾠδῆς τοῦ δ'. ἤχου τῆς ἀναστάσιμου. φύλ. σι. ἔπειτα τὸ ἀναστάσιμον βοηθ. τοῦ κατὰ τὴν ἡμέραν. τὸ κύριε ἐλέησον λ'. καὶ ἀπολύει. Αὕτη ἡ ἀκολουθία τελεῖται εἰς τὴν α'. ὥραν, καὶ γ'. καὶ ϛ'. καὶ θ'. καὶ μέχρι τῆς αὐτῆς ἡμέρας τοῦ σαββάτου τῆς διακαινησίμου.

Τῇ κυριακῇ ἑσπέρας εἰς τὸ λυχνικὸν μετὰ τὸ δεύτερον σιδηροῦ σημαντήριον, ἄρχεται ὁ διάκονος ἄνω εἰς τὸν ἄμβωνα λέγων. Εὐλόγησον δέσποτα. ὁ ἱερεύς. Εὐλογημένη ἡ βασιλεία. καὶ ἀρχόμεθα ψάλλειν οἱ πάντες ὁμοφώνως τὸ Χριστὸς ἀνέστη γ'. εἶτα ὁ διάκονος συναπτὴν μεγάλην, καὶ ὁ ἱερεὺς τὴν εὐχήν. εἶθ' οὕτω μετὰ τὴν ἐκφώνησιν, ὁ διάκονος θυμιᾷ ἐνηλλαγμένος ψαλλόντων τῶν χορῶν τὸ κύριε ἐκέκραξα εἰς ἦχον β'. στιχηρὰ τοῦ η'. ἤχου τὰ ἀρ[illegible]ια γ'. καὶ ἀνατολικὰ γ'. δόξα καὶ νῦν θ'. Ὢ θαύματος καινοῦ. γίνεται εἴσοδος εἰς τὸ φῶς ἱλαρὸν μετὰ τοῦ Εὐαγγελίου. προκείμ. ἦχος βαρύς. Τίς θεὸς μέγας ὡς ὁ θεὸς ἡμῶν. σὺ εἶ ὁ θεὸς ὁ ποιῶν θαυμάσια. στίχος. Ἐγνώρισας ἐν τοῖς λαοῖς ὁ θεὸς, τὴν δύναμίν σου καὶ τὴν δόξαν σου. στίχος. Καὶ εἶπα νῦν ἠρξάμην. αὕτη ἡ ἀλλοίωσις τῆς δεξιᾶς τοῦ ὑψίστου.

Ψαλλομένων δὲ τούτων θυμιᾷ ὁ διάκονος τὴν ἁγίαν τράπεζαν κύκλῳ, καὶ ὅλον τὸ ἅγιον βῆμα. εἶτα μετὰ τὸ προκείμ. ὁ διάκ. Σοφία ὀρθ. καὶ ἀναγνώσ... τὸ θ'. ἑωθινὸν εὐαγγέλιον. Οὔσης ὀψίας. τέλος οὐ μὴ πιστεύσω. καὶ εὐθέως ὁ διάκονος εἴπωμεν πάντες. εἶτα ἡ ἐκτενής. καὶ μετὰ τὸ καταξίωσον κύριε, τὰς αἰτήσεις. πληρώσωμεν τὴν ἑσπερινὴν δέησιν, εἶτα μετὰ τὴν ἐκφώνησιν τῆς εὐχῆς τῆς κεφαλοκλισίας, ψάλλ. τὸ ἀναστάσιμον στιχηρὸν τοῦ στίχου. Ἡ ἀνάστασίς σου Χριστὲ σωτήρ. εἶθ' οὕτως. στίχος α'. Ἀναστήτω ὁ θεός. καὶ ψάλλ. τὰ στιχηρὰ τοῦ πάσχα πλαγίου α'. Πάσχα ἱερὸν ἡμῖν. στίχος. Ὡς ἐκλείπει καπνός. Δεῦτε ἀπὸ θέας. δόξα καὶ νῦν. πλαγ. α'. Ἀναστάσεως ἡμέρα. πληρωθέντος οὖν τοῦ Χριστὸς ἀνέστη. λέγει ὁ διάκ. Ἐν εἰρήνῃ προέλθωμεν. ὁ χορὸς ἐν ὀνόματι κυρίου. ὁ διάκ. Σοφία. ὁ χορός. Εὐλογητ. ἅγιε εὐλόγησον, καὶ ἀπολ.

Τὸ δὲ ἀπόδειπνον γίνεται οὕτως. εὐλογεῖ ὁ ἱερεὺς λέγων, εὐλογητὸς ὁ θεὸς ἡμῶν. καὶ ἄρχεται ὁ χορὸς ψάλλειν ὁμοφώνως καὶ μελῳδικῶς τὸ Χριστὸς ἀνέστη γ'. εἶτα ὁ κανὼν ἀναστάσεως ἡμέρα. ποιοῦμεν αὐτὸν. βοη. ϛ'. μετὰ τοῦ εἱρμοῦ καὶ τοῦ δόξα καὶ νῦν ἀπὸ ϛ'. τὸ κοντάκ. ἀπὸ θ'. τὸ ἐξαποστειλ. εἶθ' οὕτως τὸ Χριστὸς ἀνέστη γ'. κύ-

τὸν μισθὸν ἀπολάβετε, πλούσιοι καὶ πένητες, μετ᾽ ἀλλήλων χορεύσατε. ἐγκρατεῖς καὶ ῥάθυμοι, τὴν ἡμέραν τιμήσατε. νηστεύσαντες καὶ μὴ νηστεύσαντες εὐφράνθητε σήμερον. ἡ τράπεζα γέμει, τρυφήσατε πάντες. ὁ μόσχος πολύς· μηδεὶς ἐξέλθῃ πεινῶν. πάντες ἀπολαύετε τοῦ συμποσίου τῆς πίστεως· πάντες ἀπολαύσατε τοῦ πλούτου τῆς χρηστότητος. μηδεὶς θρηνείτω πενίαν. ἐφάνη γὰρ ἡ κοινὴ βασιλεία. μηδεὶς ὀδυρέσθω πταίσματα. συγγνώμη γὰρ ἐκ τοῦ τάφου ἀνέτειλε. μηδεὶς φοβείσθω θάνατον. ἠλευθέρωσε γὰρ ἡμᾶς τοῦ σωτῆρος ὁ θάνατος. ἔσβεσεν αὐτὸν ὑπ᾽ αὐτοῦ κατεχόμενος. ἐσκύλευσε τὸν ᾅδην, ὁ κατελθὼν εἰς τὸν ᾅδην. ἐπίκρανεν αὐτὸν, γευσάμενος τῆς σαρκὸς αὐτοῦ, καὶ τοῦτο προλαβὼν Ἡσαΐας ἐβόησεν. ὁ ᾅδης φησὶν ἐπικράνθη, συναντήσας σοι κάτω, ἐπικράνθη, καὶ γὰρ κατηργήθη. ἐπικράνθη καὶ γὰρ ἐνεπαίχθη. ἐπικράνθη, καὶ γὰρ ἐνεκρώθη. ἐπικράνθη καὶ γὰρ καθῃρέθη. ἐπικράνθη, καὶ γὰρ ἐδεσμεύθη. ἔλαβε σῶμα, καὶ θεῷ περιέτυχεν. ἔλαβε γῆν, καὶ συνήντησεν οὐρανῷ. ἔλαβεν ὅπερ ἔβλεπε, καὶ πέπτωκεν, ὅθεν οὐκ ἔβλεπε. ποῦ σου θάνατε τὸ κέντρον. ποῦ σου ᾅδη τὸ νῖκος, ἀνέστη Χριστὸς, καὶ σὺ καταβέβλησαι. ἀνέστη Χριστὸς καὶ πεπτώκασι δαίμονες. ἀνέστη Χριστὸς καὶ χαίρουσιν ἄγγελοι. ἀνέστη Χριστὸς καὶ ζωὴ πολιτεύεται. ἀνέστη Χριστὸς καὶ νεκρὸς οὐδεὶς ἐπὶ μνήματος. Χριστὸς γὰρ ἐγερθεὶς ἐκ νεκρῶν, ἀπαρχὴ τῶν κεκοιμημένων ἐγένετο. αὐτῷ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας. ἀμήν.

Καὶ ταύτης τῆς ἀναγνώσεως πληρωθείσης ψάλλομεν τὸ Χριστὸς ἀνέστη. γ. καὶ γίνεται ἡ ἐκτενής. Ἐλέησον ἡμᾶς ὁ θεός. Καὶ τὰ λοιπά. εἶτα ἡ συναπτὴ τῶν αἰτήσεων. ὁ διάκονος. Πληρώσωμεν τὴν δέησιν ἡμῶν τῷ κυρίῳ. ὁ ἱερεὺς τὴν εὐχήν.

Αἰνοῦμέν σε, καὶ ὑμνοῦμέν σε, καὶ εὐλογοῦμέν σε, καὶ δοξάζομέν σε, καὶ εὐχαριστοῦμέν σοι, ὁ θεὸς τῶν πατέρων ἡμῶν. ὅτι παρήγαγες τὴν σκιὰν τῆς νυκτὸς, καὶ ἔδειξας πάλιν τὸ φῶς τῆς ἡμέρας. ἀλλ᾽ ἱκετεύομεν τὴν σὴν ἀγαθότητα. ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν, καὶ πρόσδεξαι τὰς δεήσεις ἡμῶν, ἐν τῇ μεγάλῃ σου εὐσπλαγχνίᾳ. ὅτι πρὸς σὲ καταφεύγομεν τὸν ἐλεήμονα καὶ παντοδύναμον θεόν. λάμψον ἐν ταῖς καρδίαις ἡμῶν τὸν ἀληθινὸν ἥλιον τῆς δικαιοσύνης, φώτισον ἡμῶν τὸν νοῦν καὶ τὰς αἰσθήσεις ὅλας διατήρησον, ἵνα ὡς ἡμέρᾳ εὐσχημόνως περιπατήσωμεν, εἰς τὴν ὁδὸν τῶν ἐντολῶν σου, καταντήσωμεν εἰς τὴν αἰώνιον ζωὴν, καὶ ἀπολαύσει γενέσθαι καταξιωθῶμεν τοῦ ἀπροσίτου φωτός. Ἀντιλαβοῦ. Τὸν ὄρθρον καὶ τὴν ἐπιφαύσασαν. Τὰ λοιπὰ καὶ ἀπόλ.

Αἱ ὧραι τῆς κυριακῆς, καὶ ὅλης τῆς ἑβδομάδος τῆς διακαινησίμου μέχρι καὶ αὐτοῦ τοῦ σαββάτου. ψάλλονται οὕτως. Εὐλογητὸς ὁ θεὸς. ἱερεύς. Εὐλογητὸς ὁ θεὸς ἡμῶν. Χριστὸς ἀνέ-

στη.

πάσχα Χριστὸς ὁ λυτρωτής. πάσχα ἄμωμον, πάσχα μέγα. πάσχα τῶν πιστῶν. πάσχα τὸ πύλας ἡμῖν τοῦ παραδείσου ἀνοῖξαν, πάσχα πάντας ἁγιάζον πιστούς. στίχος [illegible] ὡς ἐκλείπει καπνὸς, ἐκλιπέτωσαν, ὡς τήκεται κηρὸς ἀπὸ προσώπου πυρὸς, οὕτως ἀπόλοιντο οἱ ἁμαρτωλοὶ ἀπὸ προσώπου τοῦ θεοῦ. καὶ οἱ δίκαιοι εὐφρανθήτωσαν. Δεῦτε ἀπὸ θέας γυναῖκες εὐαγγελίστριαι, καὶ τῇ Σιὼν εἴπατε. δέχου παρ' ἡμῶν χαρᾶς εὐαγγέλια τῆς ἀναστάσεως Χριστοῦ, τέρπου χόρευε, καὶ ἀγάλλου Ἱερουσαλήμ, τὸν βασιλέα Χριστὸν θεασαμένη ἐκ τοῦ μνήματος ὡς νυμφίον προερχόμενον. Δόξα καὶ νῦν. πλαγίου α΄.

Ἀναστάσεως ἡμέρα, καὶ λαμπρυνθῶμεν τῇ πανηγύρει καὶ ἀλλήλους περιπτυξώμεθα. εἴπωμεν ἀδελφοὶ, καὶ τοῖς μισοῦσιν ἡμᾶς συγχωρήσωμεν πάντα τῇ ἀναστάσει, καὶ οὕτω βοήσωμεν. Χριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ τοῖς ἐν τοῖς μνήμασι ζωὴν χαρισάμενος.

γ΄. Καὶ τούτου λεγομένου ἐξέρχεται ὁ ἡγούμενος [illegible] εἰς τὸ βῆμα βαστάζων τὸ ἅγιον εὐαγγέλιον, καὶ ἵσταται ἔμπροσθεν τῶν ἁγίων θυρῶν. εἶτα καὶ [illegible] καὶ διάκονοι πάντες [illegible] εἰς αὐτὸν ἀ[illegible] τὸ ἅγιον εὐαγγέλιον, καὶ τὸν [illegible] εἰς τὰ δεξιὰ μέρη [illegible] ἀσπαζόμενοι τὸ εὐαγγέλιον καὶ τὸν [illegible]μενον, ὁμοίως καὶ πάντες τοὺς πάντας. τοῦ ἀσπασμοῦ γινομένου [illegible] τῶν ἀγγέλων ἀναβὰς ἀναγνώστης ἀναγινώσκει τὸν λόγον τοῦ [illegible] πάντων ἱσταμένων [illegible].

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ Χρυσοστόμου, λόγος κατηχητικὸς εἰς τὴν ἁγίαν καὶ λαμπροφόρον ἡμέραν τῆς ἐνδόξου καὶ σωτηριώδους Χριστοῦ τοῦ θεοῦ ἡμῶν ἀναστάσεως.

Εὐλόγησον δέσποτα.

Εἴπις εὐσεβὴς καὶ φιλόθεος, ἀπολαυέτω τῆς καλῆς ταύτης καὶ λαμπρᾶς πανηγύρεως. Εἴπις δοῦλος εὐγνώμων, εἰσελθέτω χαίρων εἰς τὴν χαρὰν τοῦ κυρίου αὐτοῦ. εἴπις ἔκαμε νηστεύων ἀπολαυέτω νῦν τὸ δηνάριον. εἴπις ἀπὸ τῆς πρώτης ὥρας εἰργάσατο δεχέσθω σήμερον τὸ δίκαιον ὄφλημα. εἴπις μετὰ τὴν τρίτην ἦλθεν, εὐχαρίστως ἑορτασάτω. εἴπις μετὰ τὴν ἕκτην ἔφθασε, μηδὲν ἀμφιβαλλέτω, καὶ γὰρ οὐδὲν ζημιοῦται. εἴπις ὑστέρησεν εἰς τὴν ἐννάτην, προσελθέτω μηδὲν ἐνδιάζων. εἴπις εἰς μόνην ἔφθασε τὴν ἑνδεκάτην, μὴ φοβηθῇ τὴν βραδύτητα. φιλότιμος γὰρ ὢν ὁ δεσπότης, δέχεται τὸν ἔσχατον καθάπερ καὶ τὸν πρῶτον, ἀναπαύει τὸν τῆς ἑνδεκάτης, ὡς τὸν ἐργασάμενον ἀπὸ τῆς πρώτης, καὶ τὸν ὕστερον ἐλεεῖ, καὶ τὸν πρῶτον θεραπεύει, κἀκείνῳ δίδωσι, καὶ τούτῳ χαρίζεται, καὶ τὰ ἔργα δέχεται καὶ τὴν γνώμην ἀσπάζεται καὶ τὴν πρᾶξιν τιμᾷ, καὶ τὴν πρόθεσιν ἐπαινεῖ. οὐκοῦν εἰσέλθετε πάντες εἰς τὴν χαρὰν τοῦ κυρίου ἡμῶν, καὶ πρῶτοι, καὶ δεύτεροι

σου, πρόσδεξαι τὰς δεήσεις, τὰς νυκτερινὰς λατρείας, καὶ χάρισαι ἡμῖν ὁ Θεὸς πίστιν ἀκαταίσχυντον. ἐλπίδα βεβαίαν, ἀγάπην ἀνυπόκριτον. διαφύλαξον ἡμῶν εἰσόδους, καὶ ἐξόδους, πράξεις ἔργα λόγους, καὶ ἐνθυμήσεις. καὶ δὸς ἡμῖν καταντῆσαι εἰς τὰς ἀρχὰς τῆς ἡμέρας, αἰνοῦντας, ὑμνοῦντας τῆς σῆς ἀφράστου δυνάμεως τὴν ἀγαθότητα. Ὅτι ηὐλόγηταί σου τὸ ὄνομα καὶ δεδόξασταί σου ἡ βασιλεία τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος. νῦν καί.

ᾠδὴ θ'. ὁ εἱρμός.

Φωτίζου φωτίζου ἡ νέα Ἱερουσαλήμ. ἡ γὰρ δόξα κυρίου ἐπὶ σὲ ἀνέτειλε. χόρευε νῦν καὶ ἀγάλλου Σιών. σὺ δὲ ἁγνὴ, τέρπου θεοτόκε ἐν τῇ ἐγέρσει τοῦ τόκου σου.

Ὢ θείας, ὢ φίλης, ὢ γλυκυτάτης σου φωνῆς, μεθ' ἡμῶν ἀψευδῶς γὰρ, ἐπηγγείλω ἔσεσθαι, μέχρι τερμάτων αἰῶνος Χριστὲ, ἣν οἱ πιστοὶ ἄγκυραν ἐλπίδος, κατέχοντες ἀγαλλώμεθα. Ὢ πάσχα τὸ μέγα, καὶ ἱερώτατον Χριστὲ, ὢ σοφία καὶ λόγε, τοῦ θεοῦ καὶ δύναμις, δίδου ἡμῖν ἐκτυπώτερον, σοῦ μετασχεῖν, ἐν τῇ ἀνεσπέρῳ ἡμέρᾳ τῆς βασιλείας σου. Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ κυρίου δεηθῶμεν.

Ὁ Θεὸς ὁ σωτὴρ ἡμῶν, ὁ τὰς νοερὰς, καὶ λογικὰς ὑποστησάμενος δυνάμεις, τῷ σῷ θελήματι πρὸς ἀέναόν σου δοξολογίαν σοῦ δεόμεθα καὶ σὲ παρακαλοῦμεν. πρόσδεξαι ἡμῶν μετὰ τῶν δημιουργημάτων σου πάντων τὴν κατὰ δύναμιν δοξολογίαν, καὶ ταῖς σαῖς πλουσίαις τῆς σῆς ἀγαθότητος ἀντάμειψαι δωρεαῖς. ὅτι σοὶ κάμπτει πᾶν γόνυ ἐπουρανίων καὶ ἐπιγείων, καὶ καταχθονίων, καὶ πᾶσα κτίσις αἰνεῖ τὴν ἀκατάληπτόν σου δύναμιν. μόνος γὰρ εἶ θεὸς ἀληθινὸς καὶ πολυέλεος. Ἀντιλαβοῦ. Τῆς παναγίας. Ὅτι σὲ αἰνοῦσι πᾶσαι αἱ δυνάμεις.

Ἐξαποστειλάριον. Ἐπεσκέψατο.

Σαρκὶ ὑπνώσας ὡς θνητὸς ὁ βασιλεὺς καὶ κύριος, τριήμερος ἐξανέστης. Ἀδὰμ ἐγείρας ἐκ φθορᾶς, καὶ καταργήσας θάνατον. πάσχα θεῖον τὸ μέγα τοῦ κόσμου σωτήριον.

ἄλλο ἐξαποστειλ. Τοῖς μαθηταῖς.

Ζωῆς πρὸς τάφον δράμωμεν. οἱ πάλαι πρὸς ἀπάτην. πόδας ὀξεῖς κινήσαντες, δεῦτε μὴ τὰ ἀρώματα, γυναῖκες λάβουσι πάλαι. ἴδωμεν ἀχωρήτου τὸ καινὸν ἄρτι σπήλαιον. ἴδωμεν οὐκ ἀστέρα, ἀλλὰ φωτὸς τὸν ἄγγελον κράζοντα καὶ βοῶντα, Χριστὸς ἠγέρθη κράξατε νικητὴς τοῦ θανάτου.

Εἰς τοὺς αἴνους πᾶσα πνοή. στιχηρὰ ἀναστάσιμα τοῦ ὀκτωήχου τοῦ ἤχου τὰ ἀρχαῖα δ'. Ὑμνοῦμεν σου Χριστὲ τό. Καὶ ἀνατολικά. ζήτει εἰς τὴν ὀκτώηχον. φυλ. ρπζ'. εἶθ' οὕτω τὰ παρόντα στιχηρὰ μετὰ τῶν στίχων αὐτῶν. ἦχος πλάγιος α. στίχος α'.

Ἀναστήτω ὁ θεὸς καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτοῦ, καὶ φυγέτωσαν ἀπὸ προσώπου αὐτοῦ οἱ μισοῦντες αὐτόν.

Πάσχα ἱερὸν ἡμῖν σήμερον ἀναδέδεικται, πάσχα καινὸν ἅγιον, πάσχα μυστικὸν, πάσχα πανσεβάσμιον.

πάσχα

ᾠδὴ ζ΄. ὁ εἱρμός.

Ὁ παῖδας ἐκ καμίνου ῥυσάμενος, γενόμενος ἄνθρωπος, πάσχει ὡς θνητός, καὶ διὰ πάθους τὸ θνητόν, ἀφθαρσίας ἐνδύει εὐπρέπειαν. ὁ μόνος εὐλογητὸς τῶν πατέρων θεὸς καὶ ὑπερένδοξος.

Γυναῖκες μετὰ μύρων θεόφρονες, ὀπίσω σου ἔδραμον. ὃν δὲ ὡς θνητὸν μετὰ δακρύων ἐζήτουν, προσεκύνησαν χαίρουσαι ζῶντα θεόν, καὶ πάσχα τὸ μυστικόν, σοῖς Χριστὲ μαθηταῖς εὐηγγελίσαντο. Θανάτου ἑορτάσωμεν νέκρωσιν. ᾅδου τὴν καθαίρεσιν, ἄλλης βιοτῆς τῆς αἰωνίου ἀπαρχήν, καὶ σκιρτῶντες ὑμνοῦμεν τὸν αἴτιον. τὸν μόνον εὐλογητὸν τῶν πατέρων θεὸν καὶ ὑπερένδοξον.

Ὡς ὄντως ἱερὰ καὶ πανέορτος, αὕτη ἡ σωτήριος νὺξ καὶ φωταυγής, τῆς λαμπροφόρου ἡμέρας τῆς ἐγέρσεως, οὖσα προάγγελος, ἐν ᾗ τὸ ἄχρονον φῶς ἐκ τάφου σωματικῶς πᾶσιν ἐπέλαμψεν. Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ.

Ὁ θεὸς καὶ πατὴρ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ ἐξαναστήσας ἡμᾶς ἀπὸ τοῦ ὕπνου· καὶ ἐπισυναγαγὼν ἐπὶ τὴν ὥραν ταύτην τῆς προσευχῆς. δὸς ἡμῖν χάριν ἐν ἀνοίξει τοῦ στόματος ἡμῶν, καὶ πρόσδεξαι ἡμῶν τὰς κατὰ δύναμιν εὐχαριστίας, καὶ δίδαξον ἡμᾶς τὰς δικαιοσύνας σου. ὅτι προσεύξώμεθα καθ' ὃ δεῖ οὐκ οἴδαμεν. ἐὰν μὴ σὺ κύριε τῷ ἁγίῳ σου πνεύματι ὁδηγήσῃς ἡμᾶς. διὸ δεόμεθά σου, εἴ τι ἡμάρτομεν μέχρι τῆς παρούσης ὥρας, ἐν λόγῳ ἢ ἔργῳ, ἢ κατὰ διάνοιαν, ἑκουσίως, ἢ ἀκουσίως, ἄνες, ἄφες, συγχώρησον. Ἐὰν γὰρ ἀνομίας παρατηρήσῃς κύριε κύριε τίς ὑποστήσεται. ὅτι παρὰ σοὶ ὁ ἱλασμός, παρὰ σοῦ ἡ ἀπολύτρωσις. σὺ εἶ μόνος ἅγιος βοηθός, κραταιὸς ὑπερασπιστής, τῆς ζωῆς ἐν σοὶ ἡ ὕμνησις ἡμῶν διαπαντός. Εἴη τὸ κράτος τῆς βασιλείας σου εὐλογημένον καὶ δεδοξασμένον τὸ ὄνομά σου τοῦ πατρός. καὶ.

ᾠδὴ η΄. ὁ εἱρμός.

Αὕτη ἡ κλητὴ καὶ ἁγία ἡμέρα, ἡ μία τῶν σαββάτων, ἡ βασιλὶς καὶ κυρία, ἑορτῶν ἑορτή, καὶ πανήγυρις ἐστὶ πανηγύρεων. ἐν ᾗ εὐλογοῦμεν Χριστὸν εἰς τοὺς αἰῶνας.

Δεῦτε τοῦ καινοῦ τῆς ἀμπέλου γεννήματος, τῆς θείας εὐφροσύνης ἐν τῇ εὐσήμῳ ἡμέρᾳ τῆς ἐγέρσεως, βασιλείας τε Χριστοῦ κοινωνήσωμεν. ὑμνοῦντες αὐτὸν ὡς θεὸν εἰς τοὺς αἰῶνας. Ἆρον κύκλῳ τοὺς ὀφθαλμούς σου Σιὼν καὶ ἴδε. ἰδοὺ γὰρ ἥκασί σοι ὡς φωστῆρες ἐκ δυσμῶν καὶ βορρᾶ καὶ θαλάσσης. καὶ ἑῴας τὰ τέκνα σου, ἐν σοὶ εὐλογοῦντα Χριστὸν εἰς τοὺς αἰῶνας. Πάτερ παντοκράτορ, καὶ λόγε καὶ πνεῦμα, τρισὶν ἑνιζομένη, ἐν ὑποστάσεσι φύσις, ὑπερούσιε καὶ ὑπέρθεε, εἰς σὲ βεβαπτίσμεθα, καὶ σὲ εὐλογοῦμεν εἰς πάντας τοὺς αἰῶνας. Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ κυρίου δεηθῶμεν.

Κύριε ὁ θεὸς ἡμῶν. ὁ τὴν τοῦ ὕπνου ῥαθυμίαν διασκεδάσας ἀφ' ἡμῶν καὶ συγκαλέσας ἡμᾶς κλήσει ἁγίᾳ τοῦ ἐν νυκτὶ ἐπᾶραι τὰς χεῖρας ἡμῶν, καὶ ἐξομολογήσασθαί σοι ἐπὶ τὰ κρίματα τῆς δικαιοσύνης

τάφου. Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ.

Εὐχαριστοῦμέν σοι κύριε ὁ θεὸς τῶν σωτηρίων ἡμῶν. ὅτι πάντα ποιεῖς εἰς εὐεργεσίαν τῆς ζωῆς ἡμῶν. ἵνα διαπαντὸς πρὸς σὲ ἀποβλέψωμεν, τὸν σωτῆρα καὶ εὐεργέτην τῶν ἡμετέρων ψυχῶν. ὅτι διανέπαυσας ἡμᾶς ἐν τῷ παρελθόντι τῆς νυκτὸς μέτρῳ, καὶ ἐξήγειρας ἡμᾶς εἰς προσκύνησιν τοῦ ἁγίου ὀνόματός σου. διὸ δεόμεθά σου κύριε. δὸς ἡμῖν χάριν καὶ δύναμιν ἵνα καταξιωθῶμεν ψάλλειν σοι συνετῶς, καὶ προσεύχεσθαι ἀδιαλείπτως ἐν φόβῳ καὶ τρόμῳ, τὴν ἑαυτῶν σωτηρίαν κατεργαζόμενοι, διὰ τῆς ἀντιλήψεως τοῦ Χριστοῦ σου. μνήσθητι κύριε καὶ τῶν ἐν νυκτὸς πρὸς σὲ βοώντων, ἐπάκουσον αὐτῶν καὶ ἐλέησον, καὶ σύντριψον ὑπὸ τοὺς πόδας αὐτῶν τοὺς ἀοράτους καὶ πολεμίους ἐχθρούς. Ἀντιλαβοῦ. Τῆς παναγίας ἀχράντου. Σὺ γὰρ εἶ ὁ βασιλεύς.

Τὸ κοντάκιον ἦχος πλαγίου δʹ.

Εἰ καὶ ἐν τάφῳ κατῆλθες ἀθάνατε, ἀλλὰ τοῦ ᾅδου καθεῖλες τὴν δύναμιν, καὶ ἀνέστης ὡς νικητὴς Χριστὲ ὁ θεός, γυναιξὶ μυροφόροις φθεγξάμενος. χαίρετε, καὶ τοῖς σοῖς ἀποστόλοις εἰρήνην δωρούμενος, ὁ τοῖς πεσοῦσι παρέχων ἀνάστασιν. ὁ οἶκος.

Τὸν πρὸ ἡλίου ἥλιον δύναντα ποτὲ ἐν τάφῳ προεφθάσαν πρὸς ὄρθρον, ἐκζητοῦσαι ὡς ἡμέραν μυροφόροι κόραι, καὶ πρὸς ἀλλήλας ἐβόων, ὦ φίλοι, δεῦτε τοῖς ἀρώμασιν ὑφαλείψωμεν σῶμα ζωηφόρον καὶ τεθαμμένον. σάρκα ἀνιστῶσαν τὸν παραπεσόντα Ἀδάμ, κείμενον ἐν τῷ μνήματι, ἄγωμεν· καὶ σπεύσωμεν ὥσπερ οἱ μάγοι, καὶ προσκυνήσωμεν, καὶ προσκομίσωμεν τὰ μύρα ὡς δῶρα τῷ μὴ ἐν σπαργάνοις, ἀλλ᾽ ἐν σινδόνι ἐνειλημμένῳ. καὶ κλαύσωμεν καὶ κράξωμεν. ὦ δέσποτα ἐξεγέρθητι. Ὁ τοῖς πεσοῦσι παρέχων ἀνάστασιν. εἶτα. Ἀνάστασιν Χριστοῦ θεασάμενοι. γʹ. ζήτει εἰς τὸ ὡρολόγιον. φ. ρκβʹ. Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ.

Κύριε ὁ θεὸς ἡμῶν ὁ τὴν μετανοίας ἄφεσιν τοῖς ἀνθρώποις δωρησάμενος, καὶ τύπον ἡμῖν ἐπιγνώσεως, τὴν τοῦ προφήτου Δαβὶδ μετάνοιαν, πρὸς συγχώρησιν ὑποδείξας. αὐτὸς δέσποτα πολλοῖς καὶ μεγάλοις ἡμᾶς περιπίπτοντας πλημμελήμασιν, ἐλέησον κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου. ἐξάλειψον τὰ ἀνομήματα ἡμῶν. ὅτι σοὶ ἡμάρτομεν κύριε, τῷ καὶ τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς καρδίας τῶν ἀνθρώπων γινώσκοντι. καὶ μόνῳ ἔχοντι ἐξουσίαν ἀφιέναι ἁμαρτίας. καρδίαν δὲ καθαρὰν κτίσας ἐν ἡμῖν, καὶ πνεύματι ἡγεμονικῷ στηρίξας ἡμᾶς, καὶ τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου γνωρίσας ἡμῖν. μὴ ἀπορρίψῃς ἡμᾶς ἀπὸ τοῦ προσώπου σου, ἀλλ᾽ εὐδόκησον ὡς ἀγαθὸς καὶ φιλάνθρωπος μέχρι τῆς ἐσχάτης ἡμῶν ἀναπνοῆς προσφέρειν σοι θυσίαν δικαιοσύνης, καὶ ἀναφορὰν ἐν τοῖς ἁγίοις σου θυσιαστηρίοις. Ἐλέει, καὶ οἰκτιρμοῖς, καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου υἱοῦ. μεθ᾽ οὗ εὐλογητὸς εἶ σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου πνεύματι. νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ὑπὸ τῆς ἰδίας σου εὐσπλαγχνίας. πρόσδεξαι ἡμᾶς καὶ νῦν προσκυνοῦντάς σε καὶ κατὰ δύναμιν εὐχαριστοῦντάς σοι. καὶ δώρησαι ἡμῖν πάντα τὰ πρὸς σωτηρίαν αἰτήματα. ἀνάδειξον ἡμᾶς υἱοὺς φωτὸς καὶ ἡμέρας. καὶ κληρονόμους τῶν αἰωνίων σου ἀγαθῶν. μνήσθητι κύριε ἐν τῷ πλήθει τῶν οἰκτιρμῶν σου, παντὸς τοῦ λαοῦ σου, τῶν συμπαρόντων καὶ συνευχομένων ἡμῖν, τῶν ἁπάντων ἀδελφῶν ἡμῶν, τῶν ἐν γῇ, τῶν ἐν θαλάσσῃ, τῶν ἐν παντὶ τόπῳ τῆς δεσποτείας σου δεομένων τῆς σῆς φιλανθρωπίας καὶ βοηθείας, καὶ πᾶσι χορήγησον τὸ μέγα σου ἔλεος, ἵνα σεσωσμένοι ψυχῇ καὶ σώματι πάντοτε διαμένοντες, μετὰ παρρησίας δοξάσωμεν τὸ θαυμαστὸν καὶ εὐλογημένον ὄνομά σου. Ὅτι θεὸς ἐλέους οἰκτιρμῶν, καὶ φιλανθρωπίας ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ.

ᾠδὴ ε'. ὁ εἱρμός.

Ὀρθρίσωμεν ὄρθρου βαθέως, καὶ ἀντὶ μύρου τὸν ὕμνον προσοίσωμεν τῷ δεσπότῃ, καὶ Χριστὸν ὀψόμεθα, δικαιοσύνης ἥλιον πᾶσι ζωὴν ἀνατέλλοντα.

Τὴν ἄμετρόν σου εὐσπλαγχνίαν, οἱ ταῖς τοῦ ᾅδου σειραῖς συνεχόμενοι, δεδορκότες πρὸς τὸ φῶς ἠπείγοντο, Χριστὲ ἀγαλλομένῳ ποδί, πάσχα κροτοῦντες αἰώνιον. Προσέλθωμεν λαμπαδιφόροι, τῷ προϊόντι Χριστῷ ἐκ τοῦ μνήματος ὡς νυμφίῳ, καὶ συνεορτάσωμεν ταῖς φιλεόρτοις τάξεσι, πάσχα θεοῦ τὸ σωτήριον.

ὁ διάκονος. Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ.

Ὁ ἱερεὺς. Τὴν εὐχήν.

Ἀγαθῶν θησαυρέ, πηγῆς ἀεννάου, πάτερ ἅγιε, θαυματουργέ, παντοδύναμε, παντοκράτορ, πάντες σε προσκυνοῦμεν καὶ σοῦ δεόμεθα, τὰ σὰ ἐλέη καὶ τοὺς σοὺς οἰκτιρμοὺς ἐπικαλούμενοι εἰς βοήθειαν, καὶ ἀντίληψιν τῆς ἡμετέρας ταπεινώσεως. μνήσθητι οὖν κύριε τῶν σῶν οἰκετῶν, καὶ πρόσδεξαι πάντων ἡμῶν τὰς ἑωθινὰς δεήσεις, ὡς θυμίαμα ἐνώπιόν σου, καὶ μηδένα ἡμῶν ἀδόκιμον ποιήσῃς, ἀλλὰ πάντας περιποίησαι διὰ τῶν οἰκτιρμῶν σου. μνήσθητι κύριε τῶν ἀγρυπνούντων καὶ ψαλλόντων εἰς δοξολογίαν σήν, καὶ τοῦ μονογενοῦς σου υἱοῦ καὶ θεοῦ ἡμῶν, καὶ τοῦ ἁγίου σου πνεύματος, γενοῦ αὐτῶν βοηθὸς καὶ ἀντιλήπτωρ, καὶ πρόσδεξαι αὐτῶν τὰς ἱκεσίας εἰς τὸ ὑπερουράνιον καὶ νοερόν σου θυσιαστήριον. Ὅτι σὺ εἶ ὁ θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν. τῷ.

ᾠδὴ ϛ'. ὁ εἱρμός.

Κατῆλθες ἐν τοῖς κατωτάτοις τῆς γῆς, καὶ συνέτριψας μοχλοὺς αἰωνίους κατόχους πεπεδημένους Χριστέ. καὶ τριήμερος, ὡς ἐκ κήτους Ἰωνᾶς ἐξανέστης τοῦ τάφου.

Φυλάξας τὰ σήμαντρα σῶα Χριστέ, ἐξηγέρθης τοῦ τάφου, ὁ τὰς κλεῖς τῆς παρθένου μὴ λυμηνάμενος, ἐν τῷ τόκῳ σου, καὶ ἀνέῳξας ἡμῖν παραδείσου τὰς πύλας. Σῶτέρ μου, τὸ ζῶν τε καὶ ἄθυτον ἱερεῖον ὡς θεὸς, σεαυτὸν ἑκουσίως προσαγαγὼν τῷ πατρί. συνανέστησας παγγενῆ τὸν Ἀδάμ, ἀναστὰς ἐκ τοῦ

ἀλεκτρυόνων ᾠδῇ λέγουσιν. ἄλλοι, ὅτε ὁ σεισμὸς γέγονε, καὶ διαφόρως ἕτεροι. τούτων δὲ οὕτω γεγενημένων. ἰδού τινες τῶν ἀπὸ τῆς Κουστωδίας ἐλθόντες, ἀπήγγειλαν τοῖς ἀρχιερεῦσι τὰ διαπεπραγμένα. οἱ δὲ ἀργυρίοις τούτους δεξιωσάμενοι, πείθουσιν αὐτοὺς εἰπεῖν, ὡς οἱ μαθηταὶ αὐτοῦ νυκτὸς ἐλθόντες ἔκλεψαν αὐτόν. κατὰ δὲ τὴν ἑσπέραν τῆς παρούσης ἡμέρας, τῶν μαθητῶν εἰς ἓν ἀθροισθέντων διὰ τὸν Ἰουδαϊκὸν φόβον καὶ τῶν θυρῶν ἀσφαλῶς κεκλεισμένων, εἴσεισι πρὸς αὐτοὺς ὁ Χριστός. ὅτι ἐν ἀφθάρτῳ ἦν σώματι. καὶ τὴν εἰρήνην τὸ συνήθως τούτοις εὐαγγελίζεται. οἱ δὲ τοῦτον ἰδόντες ὑπερβαλλόντως ἐχάρησαν, καὶ διὰ τοῦ ἐμφυσήματος, τελεώτερον τὴν τοῦ ἁγίου πνεύματος ἐνέργειαν δέχονται. Πῶς δὲ τριήμερος, ἡ τοῦ κυρίου ἀνάστασις, γίνωσκε οὕτως, ἡ ἑσπέρα τῆς πέμπτης, καὶ ἡ ἡμέρα τῆς παρασκευῆς. οὕτω γὰρ τὸ νυχθήμερον οἱ ἑβραῖοι μετροῦσιν. ἡμέρα μία. Τῆς παρασκευῆς πάλιν ἡ νύξ, καὶ τὸ σάββατον ὅλον, ἕτερον νυχθήμερον. Ἰδοὺ ἡμέρα δευτέρα. ἕτερον νυχθήμερον πάλιν, ἡ τοῦ σαββάτου νύξ, καὶ ἡ τῆς κυριακῆς ἡμέρα, ἀπὸ μέρους γὰρ τῆς ἀρχῆς τὸ ὅλον καταλαμβάνεται, ἄλλο νυχθήμερον. Ἰδοὺ καὶ ἡμέρα τρίτη. Ἢ καὶ οὕτω· τρίτῃ ὥρᾳ τῆς παρασκευῆς ἐσταύρωται ὁ Χριστός. εἶτα ἀπὸ ἕκτης ὥρας ἕως ἐννάτης, σκότος ἐγένετο. τοῦτο νύκτα μοι νόησον, ἰδοὺ ἀπὸ τρίτης ἕως ἐννάτης, ἓν νυχθήμερον. εἶτα πάλιν μετὰ τὸ σκότος, ἡμέρα καὶ ἡ νὺξ τῆς παρασκευῆς. ἰδοὺ δύο νυχθήμερα. ἡ ἡμέρα τοῦ σαββάτου καὶ ἡ νὺξ αὐτοῦ πάλιν, ἰδοὺ τρία νυχθήμερα. εἰδ' ἐς τὴν τρίτην ἐπαγγειλάμενος εὐεργετῆσαι ἡμᾶς ὁ σωτήρ, συντομώτερον διεπράξατο τὴν εὐεργεσίαν. καὶ οὕτω χάρις αὐτῷ καὶ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν. ᾠδὴ δ΄. ὁ εἱρμός.

Ἐπὶ τῆς θείας φυλακῆς, ὁ θεηγόρος Ἀββακοὺμ στήτω μεθ' ἡμῶν, καὶ δεικνύτω φαεσφόρον ἄγγελον, διαπρυσίως λέγοντα. σήμερον σωτηρία τῷ κόσμῳ. ὅτι ἀνέστη Χριστός, ὡς παντοδύναμος.

Ἄρσεν μὲν ὡς διανοῖξαν, τὴν παρθενεύσασαν νηδύν. πέφηνε Χριστός, ὡς βροτὸς δὲ ἀμνὸς προσηγόρευται. ἄμωμος δὲ ὡς ἄγευστος, κηλίδος τὸ ἡμέτερον πάσχα, καὶ ὡς θεὸς ἀληθὴς τέλειος λέλεκται. Ὡς ἐνιαύσιος ἀμνός, ὁ εὐλογούμενος ἡμῖν, στέφανος Χριστὸς ἑκουσίως ὑπὲρ πάντων τέθυται, πάσχα τὸ καθάρσιον, καὶ αὖθις ἐκ τοῦ τάφου ὡραῖος δικαιοσύνης ἡμῖν ἔλαμψεν ἥλιος. Ὁ θεοπάτωρ μὲν Δαβίδ, πρὸ τῆς σκιώδους κιβωτοῦ, ἥλατο σκιρτῶν. ὁ λαὸς δὲ τοῦ θεοῦ ὁ ἅγιος, τὴν τῶν συμβόλων ἔκβασιν, ὁρῶντες εὐφρανθῶμεν ἐνθέως. ὅτι ἀνέστη Χριστὸς ὡς παντοδύναμος. ὁ Διάκονος. Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ. Ὁ ἱερεύς. Τὴν εὐχήν.

Δέσποτα ὁ θεὸς ὁ ἅγιος, καὶ ἀκατάληπτος, ὁ εἰπὼν ἐκ σκότους φῶς λάμψαι. ὁ ἀναπαύσας ἡμᾶς ἐν τῷ τῆς νυκτὸς ὕπνῳ, καὶ διαναστήσας πρὸς δοξολογίαν καὶ ἱκεσίαν τῆς σῆς ἀγαθότητος. δυσωπούμενος

ταῖς γυναιξὶ γίνεται περὶ τὸ τοῦ σαββάτου ὀψέ, οἱονεὶ, περὶ τὸ μέσον τῆς τοῦ σαββάτου νυκτὸς, καὶ πρῶτον μὲν ἡ ἀνάστασις, τῇ τοῦ θεοῦ μητρὶ γνώριμος γίνεται, ἀπεναντίας καθημένη τοῦ τάφου, ὥς φησιν ὁ Ματθαῖος, σὺν τῇ Μαγδαληνῇ. ἀλλ' ἵνα μὴ ἡ ἀνάστασις ἀμφιβάλλοιτο διὰ τὴν πρὸς τὴν μητέρα οἰκείωσιν, οἱ εὐαγγελισταὶ φασὶ, πρῶτον φαίνεται τῇ Μαγδαληνῇ Μαρίᾳ, αὕτη καὶ τὸν ἐν τῷ λίθῳ ἄγγελον εἶδε, καὶ παρακύψασα πάλιν τοὺς ἔνδον ὁρᾷ, οἱ δὲ καὶ τὴν τοῦ κυρίου ἀνάστασιν καταγγέλλουσιν. ἠγέρθη γάρ φασιν, οὐκ ἔστιν ὧδε. ἴδε ὁ τόπος ὅπου ἔθηκαν αὐτόν. τρέχει οὖν ταῦτα ἀκούσασα, καὶ πρὸς τοὺς διαπείρους τῶν μαθητῶν, Πέτρον καὶ Ἰωάννην ἔρχεται, καὶ τὴν ἀνάστασιν τούτοις εὐαγγελίζεται. ὑποστρεφούσης δὲ ταύτης μετὰ τῆς ἄλλης Μαρίας, ὑπηντησεν αὐταῖς ὁ Χριστὸς, λέγων. χαίρετε. ἔδει γὰρ τὸ φῦλον πρῶτον ἀκοῦσαν ἐν λύπαις τέξῃ τέκνα, αὐτὸ τοῦτο πρῶτον καὶ τὴν χαρὰν ἐνωτίσασθαι. αἱ δὲ τῷ πόθῳ νικώμεναι προσέρχονται, καὶ τῶν ἀχράντων αὐτοῦ ποδῶν ἅπτονται, ἀκριβέστερον γνῶναι βουλόμεναι. οἱ δὲ ἀπόστολοι πρὸς τὸν τάφον γίνονται, καὶ ὁ μὲν Πέτρος παρακύψας μόνον περὶ τὸ μνημεῖον ἀπῆλθεν, ὁ δὲ Ἰωάνης ἔνδον γίνεται, καὶ περιεργότερον βλέπει, τῆς τε σινδόνος ἅπτεται καὶ τοῦ σουδαρίου. πάλιν δὲ ἡ Μαγδαληνὴ περὶ ὄρθρον ἥκει μεθ' ἑτέρων γυναικῶν τὰ ὀφθέντα πιστώσασθαι ἀκριβέστερον. περὶ δὲ τὰ ἔξω ἑστῶσα ὠδύρετο. ἔνδον δὲ τοῦ τάφου παρακύψασα. ὁρᾷ δύο ἀγγέλους ἀστράπτοντας τῇ λαμπρότητι, καὶ ὥσπερ ἐπιτιμῶντας αὐτὴν καὶ λέγοντας. γύναι τί κλαίεις; τίνα ζητεῖς; Ἰησοῦν ζητεῖτε τὸν Ναζαρινὸν τὸν ἐσταυρωμένον; ἠγέρθη, οὐκ ἔστιν ὧδε. καὶ εὐθέως ἀνέστησαν ἔμφοβοι, ἰδόντες τὸν κύριον. διὸ ἐκείνη στραφεῖσα ὄπισθεν, βλέπει τὸν Χριστὸν ἑστῶτα. κηπουρὸν δὲ εἶναι αὐτὸν οἰηθεῖσα, ὅτι ἐν τῷ κήπῳ τὸ μνῆμα ἦν, λέγει. κύριε, εἰ σὺ ἐβάστασας αὐτὸν εἰπέ μοι ποῦ ἔθηκας αὐτὸν, κἀγὼ αὐτὸν ἀρῶ. αὖθις δὲ πρὸς τοὺς ἀγγέλους νευσάσης, ὁ σωτὴρ Μαρία φησὶ πρὸς τὴν Μαγδαληνήν. ἡ δὲ τῆς γλυκείας καὶ συνήθους τοῦ Χριστοῦ αἰσθομένη φωνῆς, ἅψασθαι αὐτοῦ ἤθελεν, ὁ δὲ λέγει. μή μου ἅπτου. οὔπω γὰρ ἀναβέβηκα πρὸς τὸν πατέρα μου. καθὼς αὐτὴ λογίζῃ, ἔτι ἄνθρωπόν με εἶναι ὑπολαμβάνουσα. πορεύου δὲ πρὸς τοὺς ἀδελφούς μου, καὶ εἰπὲ αὐτοῖς, ὅσα τε εἶδες καὶ ἤκουσας. καὶ τοῦτο μὲν ἡ Μαγδαληνὴ πράττει. ἐπιφασκούσης δὲ πάλιν ἡμέρας περὶ τὸν τάφον σὺν ταῖς λοιπαῖς γίνεται. αἱ δὲ περὶ Ἰωάνναν καὶ Σαλώμην ἀνατείλαντος τοῦ ἡλίου ἦλθον, καὶ ἁπλῶς εἰπεῖν ἐνδιάφορος ἡ περὶ τὸν τάφον τῶν γυναικῶν ἔλευσις γέγονεν, ἐν αἷς ἦν καὶ ἡ θεοτόκος. αὕτη γάρ ἐστιν ἣν Ἰωσῆ λέγει Μαρίαν τὸ εὐαγγέλιον. τοῦ Ἰωσὴφ δὲ ἦν υἱὸς οὗτος ὁ Ἰωσῆς. Ἐν ἀδήλῳ μέντοι ἐστὶν ὁποίᾳ ὥρᾳ ἀνέστη ὁ κύριος, τινὲς μὲν γὰρ ἐν πρώτῃ

ἀπὸ τῶν καρδιῶν ἡμῶν, χάρισαι ἡμῖν τὸν τῆς δικαιοσύνης ἥλιον. ἀνεπηρέαστον τὴν ζωὴν ἡμῶν διαφύλαξον τῇ σφραγῖδι τοῦ ἁγίου πνεύματος. κατεύθυνον τὰ διαβήματα ἡμῶν εἰς ὁδὸν εἰρήνης. καὶ δὸς ἡμῖν τὸν ὄρθρον καὶ τὴν ἡμέραν ἐν ἀγαλλιάσει, ἵνα σοὶ τὰς ἑωθινὰς ἀναπέμψωμεν εὐχάς. Ἀντιλαβοῦ. Τῆς παναγίας. Ὅτι σὸν τὸ κράτος.

Ὑπακοή. ἦχος δ'.

Προλαβοῦσαι τὸν ὄρθρον αἱ περὶ Μαρίαν, καὶ εὑροῦσαι τὸν λίθον ἀποκυλισθέντα τοῦ μνήματος, ἤκουον ἐκ τοῦ ἀγγέλου· τὸν ἐν φωτὶ ἀϊδίῳ ὑπάρχοντα, μετὰ τῶν νεκρῶν, τί ζητεῖτε ὡς ἄνθρωπον; βλέπετε τὰ ἐντάφια σπάργανα, δράμετε καὶ τῷ κόσμῳ κηρύξατε, ὡς ἠγέρθη ὁ κύριος, θανατώσας τὸν θάνατον. ὅτι ὑπάρχει θεοῦ υἱὸς τοῦ σώζοντος τὸ γένος τῶν ἀνθρώπων.

Κάθισμα ἦχος α'.

Τῇ τοῦ Πάσχα ἡμέρᾳ εὐφρανθῶμεν φιλέορτοι, ὅτι τὰ οὐράνια πάντα σὺν ἡμῖν ἑορτάζουσιν. αὕτη γὰρ ὑπάρχει ἀληθῶς, ἀνάστασις καὶ Πάσχα μυστικόν. ἑορτῶν ἁπασῶν τε καὶ πανηγύρεων μείζων ὑπάρχουσα. Πάσχα μεγάλη ἑορτή, πάσχα σωτήριον καὶ χαρά, πάσχα τῆς τριάδος τιμὴ καὶ προσκύνησις.

Δόξα καὶ νῦν τὸ αὐτό. Καὶ ἀνάγνωσις.

Συναξάριον τῇ ἁγίᾳ καὶ μεγάλῃ κυριακῇ τοῦ πάσχα.

Τῇ ἁγίᾳ καὶ μεγάλῃ κυριακῇ τοῦ πάσχα, αὐτὴν τὴν ζωηφόρον ἀνάστασιν ἑορτάζομεν τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. ἣν δὴ καὶ πάσχα προσαγορεύομεν, ὃ δὴ τῇ ἑβραίων διαλέκτῳ, διάβασις ἑρμηνεύεται. αὕτη γάρ ἐστιν ἡ ἡμέρα, καθ' ἣν ὁ θεὸς ἀρχῆθεν τὸν κόσμον ἐκ τοῦ μὴ ὄντος παρήγαγε, κατ' αὐτὴν τὴν ἡμέραν καὶ τὸν Ἰσραηλίτην λαόν, τῆς ἐρυθρᾶς διαβιβάσας, τῶν τοῦ Φαραὼ ἀφαρπάζει χειρῶν. ἐν ταύτῃ πάλιν ἐξ οὐρανοῦ καταβάς, τῇ μήτρᾳ τῆς παρθένου ἐνῴκησε, καὶ νῦν τὸ ἀνθρώπινον σύμπαν τῶν τοῦ ᾅδου ἁρπάσας πυθμένων, εἰς οὐρανοὺς ἀνεβίβασε, καὶ πρὸς τὸ ἀρχαῖον ἀξίωμα ἤγαγε τῆς ἀφθαρσίας. πλὴν καταβὰς εἰς ᾅδην, οὐ πάντας ἀνέστησεν, ἀλλ' ὅσοι πιστεῦσαι αὐτῷ ᾑρετίσαντο. τὰς δὲ ψυχὰς τῶν ἀπ' αἰῶνος ἁγίων βιαίως κρατουμένας παρὰ τοῦ ᾅδου, ἠλευθέρωσε, καὶ πᾶσι δέδωκε πρὸς οὐρανοὺς ἀνιέναι. διὰ τοῦτο γεγηθότες ὑπερφυῶς μετὰ λαμπρότητος τὴν ἀνάστασιν ἑορτάζομεν, τὴν χαρὰν εἰκονίζοντες, ἣν ἡ φύσις ἡμῶν διὰ σπλάγχνα ἐλέους θεοῦ ἐπλούτησεν, ὡσαύτως δὲ καὶ τὴν τῆς ἔχθρας κατάλυσιν, καὶ τὴν μετὰ θεοῦ ἕνωσιν, καὶ αὐτῶν τῶν ἀγγέλων δεικνῦντες, τὸν συνήθη διαπεριπλόμεθα ἀσπασμόν.

Ἡ δὲ τοῦ κυρίου ἀνάστασις, γέγονεν οὕτω, τῶν στρατιωτῶν φυλασσόντων τὸν τάφον. περὶ μέσης νυκτὸς σεισμὸς γίνεται. κατελθὼν γὰρ ἄγγελος, τὸν λίθον τῆς τοῦ μνημείου θύρας ἀφίστησιν. ἀναθωρῶντες τοίνυν οἱ φύλακες φεύγουσι, καὶ πάροδος ἐν τεῦθεν

ταῖς

τὸ δόξα καὶ νῦν. εἰσέρχεται ὁ ἱερεὺς ἔνδον τοῦ θυσιαστηρίου, καὶ λέγει φανοτέρως. Χριστὸς ἀνέστη ἐκ νεκρῶν. ὁ χορὸς δὲ, καὶ τοῖς ἐν τοῖς μνήμασιν. ὁ ἱερεὺς, καὶ τοῖς ἐν τοῖς μνήμασιν. ὁ διάκονος. Ἐν εἰρήνῃ τοῦ κυρίου δεηθῶμεν. Συναπτὴν μεγάλην τῶν εἰρηνικῶν. καὶ ὁ ἱερεὺς τὴν ἑωθινὴν εὐχὴν μετὰ τῆς ἐκφωνήσεως ἅπαντα ζήτει εἰς τὸ ὡρολόγιον. φύλ. ριζ. ριη. καὶ ριθ. Καὶ εὐθέως ἄρχεται ὁ καθηγούμενος τοῦ κανόνα. ποίημα κυρίου Ἰωάννου τοῦ Δαμασκηνοῦ. ἦχος ά. ποιοῦντες τὰ προπάρια αὐτοῦ. δέκα. μετὰ τοῦ δόξα καὶ νῦν. καθ᾽ ἑκάστην ᾠδὴν ποιοῦμεν συναπτὴν μικρὰν, λέγοντες, καὶ μίαν εὐχήν. ᾠδὴ ά. ἦχος ά. ὁ εἱρμός.

Ἀναστάσεως ἡμέρα λαμπρυνθῶμεν λαοὶ, πάσχα κυρίου πάσχα, ἐκ γὰρ θανάτου πρὸς ζωὴν, καὶ ἐκ γῆς πρὸς οὐρανὸν, Χριστὸς ὁ θεὸς ἡμᾶς διεβίβασεν. ἐπινίκιον ᾄδοντας.

Καθαρθῶμεν τὰς αἰσθήσεις, καὶ ὀψόμεθα τῷ ἀπροσίτῳ φωτὶ, τῆς ἀναστάσεως Χριστὸν, ἐξαστράπτοντα καὶ χαίρετε φάσκοντα. τρανῶς ἀκουσώμεθα, ἐπινίκιον ᾄδοντες. Οὐρανοὶ μὲν ἐπαξίως εὐφραινέσθωσαν, γῆ δὲ ἀγαλλιάσθω, ἑορταζέτω δὲ κόσμος, ὁρατός τε ἅπας καὶ ἀόρατος. Χριστὸς γὰρ ἐγήγερται εὐφροσύνη αἰώνιος. Συναπτὴ μικρά. Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ κυρίου δεηθῶμεν.

Ἐκ νυκτὸς ὀρθρίζει τὸ πνεῦμα ἡμῶν πρὸς σὲ, ὁ θεὸς διότι φῶς τὰ προστάγματά σου ἐπὶ τῆς γῆς, δικαιοσύνην καὶ ἁγιασμὸν ἐπιτελεῖν ἐν φόβῳ σου, συνέτησον ἡμᾶς. σὲ γὰρ δοξάζομεν, τὸν μόνον ὄντως ὄντα θεόν. κλῖνον τὸ οὖς σου, καὶ ἐπάκουσον ἡμῶν καὶ μνήσθητι κύριε τῶν συμπαπαρόντων, καὶ συνευχομένων ἡμῖν πάντων κατ᾽ ὄνομα, καὶ σῶσον αὐτοὺς ἐν τῇ δυνάμει σου. εὐλόγησον τὸν λαόν σου, καὶ ἁγίασον τὴν κληρονομίαν σου. εἰρήνην τῷ κόσμῳ σου δώρησαι, τῇ ἐκκλησίᾳ σου. τοῖς ἱερεῦσι, τοῖς βασιλεῦσιν ἡμῶν, καὶ παντὶ τῷ λαῷ σου. Ἀντιλαβοῦ. Τῆς παναγίας. Ὅτι ηὐλόγηται καὶ.

ᾠδὴ γ. ὁ εἱρμός.

Δεῦτε πόμα πίωμεν καινὸν, οὐκ ἐκ πέτρας ἀγόνου τερατουργούμενον, ἀλλ᾽ ἀφθαρσίας πηγὴν, ἐκ τάφου ὀμβρήσαντος Χριστοῦ. ἐν ᾧ στερεούμεθα.

Νῦν πάντα πεπλήρωται φωτὸς, οὐρανός τε, καὶ γῆ, καὶ τὰ καταχθόνια, ἑορταζέτω γοῦν πᾶσα κτίσις τὴν ἔγερσιν Χριστοῦ, ἐν ᾗ ἐστερέωται. Χθὲς συνεθαπτόμην σοι Χριστὲ, συνεγείρομαι σήμερον ἀναστάντι σοι, συνεσταυρούμην σοι χθὲς, αὐτός με συνδόξασον σωτὴρ ἐν τῇ βασιλείᾳ σου. Ἔτι καὶ ἔτι. ὁ ἱερεὺς τὴν εὐχήν.

Ἐκ νυκτὸς ὀρθρίζει τὸ πνεῦμα ἡμῶν, διότι φῶς τὰ προστάγματά σου ἐπὶ τῆς γῆς, δίδαξον ἡμᾶς τὴν δικαιοσύνην σου τὰς ἐντολάς σου καὶ τὰ δικαιώματά σου. φώτισον τοὺς ὀφθαλμοὺς τῶν διανοιῶν ἡμῶν, μήποτε ὑπνώσωμεν ἐν ἁμαρτίαις εἰς θάνατον. ἐξέλασον πάντα ζόφον

ἀπὸ

μέσων τῶν θυρῶν θυμιᾷ τὴν ἁγίαν τράπεζαν, καὶ ἐξελθὼν διὰ τοῦ ἀριστεροῦ μέρους τοῦ θυσιαστηρίου θυμιᾷ ἔμπροσθεν τῶν ἁγίων θυρῶν· εἶτα προπορευομένου ἕως τῶν κληρικῶν μετὰ λαμπάδων καὶ μανουαλίων ἔμπροσθεν τοῦ ἱερέως καὶ αὐτοῦ λαμπρὰν στολὴν ἐνδεδυμένου τοῦ διακόνου, ἐξέρχονται εἰς τὸν νάρθηκα, εἶθ' οὕτως ἀσφαλίζονται πάλιν αἱ πύλαι μηδενὸς ἔνδον τοῦ ναοῦ καταλειφθέντος εἰ μὴ τοῦ ἅπτοντος τὰ κηρία. εἶτα στὰς ὁ ἱερεὺς ἐν μέσῳ αὐτῶν καὶ τρὶς σταυροειδῶς ἐν αὐτοῖς σφραγίσας μετὰ τοῦ θυμιατοῦ, διέρχεται ἀπ' αὐτῶν εἰς τὸ δεξιὸν μέρος προπορευομένου τοῦ διακόνου μετὰ μανουαλίων. καὶ ὁ ἱερεὺς θυμιᾷ τοὺς ἀδελφοὺς πάντας μετὰ σιωπῆς καὶ συντελέσας αὐτούς. ἵσταται ἔμπροσθεν τῶν πυλῶν κεκλεισμένων αὐτῶν οὐσῶν, καὶ μόνον σφραγίσας, ἀνοίξαντες εἰσερχόμεθα μηδὲν τὸ σύνολον ψάλλοντες, διαβὰς οὖν ὁ ἱερεὺς διὰ τοῦ δεξιοῦ μέρους τοῦ ναοῦ, καὶ εἰσελθὼν εἰς τὸ θυσιαστήριον, καὶ θυμιάσας ἐξέρχεται ἔξω τῶν ἁγίων θυρῶν, καὶ στὰς κατὰ ἀνατολάς, καὶ ἔμπροσθεν αὐτοῦ σταθεὶς ὁ διάκονος μετὰ μανουαλίων καὶ θυμιατοῦ, ἄρχεται ψάλλειν ὁ ἱερεὺς εἰς ἦχον πλαγίου αʹ. Τὸ Χριστὸς ἀνέστη λέγων ἐν πρώτοις. Τό.

Δόξα τῇ ἁγίᾳ καὶ ὁμοουσίῳ καὶ ζωοποιῷ καὶ ἀδιαιρέτῳ τριάδι. πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. εἶτα. Χριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ τοῖς ἐν τοῖς μνήμασι ζωὴν χαρισάμενος.

Τοῦτο ψάλλεται τρίς. ἀποκρινομένου τοῦ χοροῦ κατὰ μίαν τοῦ ἱερέως. εἶθ' οὕτως ἄρχεται στιχολογεῖν ὁ ἱερεὺς μελῳδικῶς λέγων. στίχος αʹ.

Αὕτη ἡ ἡμέρα ἣν ἐποίησεν ὁ κύριος ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ.

Καὶ ὁ χορὸς ἀποκρίνεται κατὰ στίχον. Τὸ Χριστὸς ἀνέστη. στίχος δεύτερος.

Ὦ κύριε σῶσον δή, ὦ κύριε εὐόδωσον δή. εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου. στίχος γʹ.

Συστήσασθε ἑορτὴν ἐν τοῖς πυκάζουσιν ἕως τῶν κεράτων τοῦ θυσιαστηρίου.

Δόξα καὶ νῦν ὁ ἱερεύς. Καὶ τοῖς ἐν τοῖς μνήμασι ζωὴν χαρισάμενος.

Καὶ ὁ χορὸς Χριστὸς ἀνέστη, καὶ μετὰ

τὸ




ΠΕΝΤΗΚΟΣΤΑΡΙΟΝ

ΠΕΡΙΕΧΟΝ ΠΑΣΑΣ ΤΑΣ ΑΥΤΩΙ ΠΡΕΠΟΥΣΑΣ ΚΑΙ ΑΝΑΓΚΑΙΑΣ ΑΚΟΛΟΥΘΙΑΣ.

ΑΡΧΟΜΕΝΟΝ ΑΠΟ ΤΗΣ ΖΩΗΦΟΡΟΥ, μεγάλης κυριακῆς τῆς ἐγέρσεως τοῦ κυρίου ἡμῶν Ιησοῦ Χριστοῦ, μέχρι τῆς αὐτῆς ἑορτῆς τοῦ τιμίου σώματος καὶ αἵματος τοῦ κυρίου ἡμῶν Ιησοῦ Χριστοῦ.





Τῇ ἁγίᾳ καὶ ζωηφόρῳ νυκτὶ τῆς ἐγέρσεως Χριστοῦ τοῦ θεοῦ ἡμῶν, ὥρας ἐννάτης ἀρχῆ. σημαίνεται, καὶ συναχθέντων τῶν ἀδελφῶν πάντων ἐν τῷ τῆς ἐκκλησίας νάρθηκι, ἀπαρχομένου τοῦ δευτέρου σημαντηρίου, ἅπτουσι τὰς κανδήλας αὐτοῦ. ὁ δὲ ἱερεὺς ἔνδον τοῦ ναοῦ περιβαλλόμενος στολὴν λαμπὴν κεκλεισμένων

Κατὰ Ἰωάν. ἑω. ια. κεφ. κα.

Τῷ καιρῷ ἐκείνῳ ἐφανέρωσεν ἑαυτὸν ὁ Ἰησοῦς τοῖς μαθηταῖς αὐτοῦ ἐγερθεὶς ἐκ νεκρῶν. καὶ λέγει τῷ Σίμωνι Πέτρῳ ὁ Ἰησοῦς, Σίμων Ἰωνᾶ, ἀγαπᾷς με πλεῖον τούτων; λέγει αὐτῷ, ναὶ κύριε, σὺ οἶδας ὅτι φιλῶ σε. λέγει αὐτῷ, βόσκε τὰ ἀρνία μου. λέγει αὐτῷ πάλιν δεύτερον, Σίμων Ἰωνᾶ, ἀγαπᾷς με; λέγει αὐτῷ, ναὶ κύριε, σὺ οἶδας ὅτι φιλῶ σε. λέγει αὐτῷ ποίμαινε τὰ πρόβατά μου. λέγει αὐτῷ τὸ τρίτον, Σίμων Ἰωνᾶ, φιλεῖς με; ἐλυπήθη ὁ Πέτρος, ὅτι εἶπεν αὐτῷ τὸ τρίτον, φιλεῖς με; καὶ εἶπεν αὐτῷ, κύριε, σὺ πάντα οἶδας. σὺ γινώσκεις ὅτι φιλῶ σε. λέγει αὐτῷ ὁ Ἰησοῦς, βόσκε τὰ πρόβατά μου. ἀμὴν ἀμὴν λέγω σοι, ὅτε ἦς νεώτερος, ἐζώννυες σεαυτὸν, καὶ περιεπάτεις ὅπου ἤθελες. ὅταν δὲ γηράσῃς, ἐκτενεῖς τὰς χεῖράς σου, καὶ ἄλλος σε ζώσει, καὶ οἴσει ὅπου οὐ θέλεις. Τοῦτο δὲ εἶπε, σημαίνων ποίῳ θανάτῳ δοξάσει τὸν θεόν. καὶ τοῦτο εἰπὼν, λέγει αὐτῷ, ἀκολούθει μοι. ἐπιστραφεὶς δὲ ὁ Πέτρος βλέπει τὸν μαθητὴν ὃν ἠγάπα ὁ Ἰησοῦς, ἀκολουθοῦντα, ὃς καὶ ἀνέπεσεν ἐν τῷ δείπνῳ ἐπὶ τὸ στῆθος αὐτοῦ, καὶ εἶπε, κύριε τίς ἐστιν ὁ παραδιδούς σε; τοῦτον ἰδὼν ὁ Πέτρος λέγει τῷ Ἰησοῦ, κύριε, οὗτος δὲ τί; λέγει αὐτῷ ὁ Ἰησοῦς, ἐὰν αὐτὸν θέλω μένειν ἕως ἔρχομαι, τί πρός σε; σὺ ἀκολούθει μοι. ἐξῆλθεν οὖν ὁ λόγος οὗτος εἰς τοὺς ἀδελφοὺς, ὅτι ὁ μαθητὴς ἐκεῖνος οὐκ ἀποθνήσκει. καὶ οὐκ εἶπεν αὐτῷ ὁ Ἰησοῦς, ὅτι οὐκ ἀποθνήσκει. ἀλλ᾽ ἐὰν αὐτὸν θέλω μένειν ἕως ἔρχομαι, τί πρός σε; οὗτός ἐστιν ὁ μαθητὴς ὁ μαρτυρῶν περὶ τούτων, καὶ γράψας ταῦτα. καὶ οἴδαμεν ὅτι ἀληθής ἐστιν ἡ μαρτυρία αὐτοῦ. ἔστι δὲ καὶ ἄλλα πολλὰ ὅσα ἐποίησεν ὁ Ἰησοῦς, ἅτινα ἐὰν γράφηται καθ᾽ ἓν, οὐδὲ αὐτὸν οἶμαι τὸν κόσμον χωρῆσαι τὰ γραφόμενα βιβλία. ἀμήν.

Τέλος τῶν ἕνδεκα ἑωθινῶν ἀναστασίμων Εὐαγγελίων.



τὸν τύπον τῶν ἥλων, καὶ βάλω τὸν δάκτυλόν μου εἰς τὸν τύπον τῶν ἥλων, καὶ βάλω τὴν χεῖρά μου εἰς τὴν πλευρὰν αὐτοῦ, οὐ μὴ πιστεύσω. καὶ μεθ᾽ ἡμέρας ὀκτὼ πάλιν ἦσαν ἔσω οἱ μαθηταὶ αὐτοῦ, καὶ Θωμᾶς μετ᾽ αὐτῶν. ἔρχεται ὁ Ἰησοῦς τῶν θυρῶν κεκλεισμένων, καὶ ἔστη εἰς τὸ μέσον, καὶ εἶπεν, εἰρήνη ἡμῖν, εἶτα λέγει τῷ Θωμᾷ, φέρε τὸν δάκτυλόν σου ὧδε, καὶ ἴδε τὰς χεῖράς μου, καὶ φέρε τὴν χεῖρά σου, καὶ βάλε εἰς τὴν πλευράν μου, καὶ μὴ γίνου ἄπιστος, ἀλλὰ πιστός. καὶ ἀπεκρίθη Θωμᾶς καὶ εἶπεν αὐτῷ, ὁ κύριός μου, καὶ ὁ θεός μου. λέγει αὐτῷ ὁ Ἰησοῦς, ὅτι ἑώρακάς με, πεπίστευκας. μακάριοι οἱ μὴ ἰδόντες καὶ πιστεύσαντες. πολλὰ μὲν οὖν καὶ ἄλλα σημεῖα ἐποίησεν ὁ Ἰησοῦς ἐνώπιον τῶν μαθητῶν αὐτοῦ, ἃ οὐκ ἔστι γεγραμμένα ἐν τῷ βιβλίῳ τούτῳ. ταῦτα δὲ γέγραπται ἵνα πιστεύσητε ὅτι Ἰησοῦς ἐστὶν ὁ Χριστὸς ὁ υἱὸς τοῦ θεοῦ, καὶ ἵνα πιστεύοντες ζωὴν αἰώνιον ἔχητε ἐν τῷ ὀνόματι αὐτοῦ.

Κατὰ Ἰωάννην ι. κεφ. κά.

Τῷ καιρῷ ἐκείνῳ. ἐφανέρωσεν ἑαυτὸν πάλιν ὁ Ἰησοῦς τοῖς μαθηταῖς ἐπὶ τῆς θαλάσσης τῆς Τιβεριάδος. ἐφανέρωσε δὲ οὕτως. ἦσαν ὁμοῦ Σίμων Πέτρος καὶ Θωμᾶς ὁ λεγόμενος Δίδυμος, καὶ Ναθαναὴλ ἀπὸ Κανᾶ τῆς Γαλιλαίας, καὶ οἱ υἱοὶ τοῦ Ζεβεδαίου, καὶ ἄλλοι ἐκ τῶν μαθητῶν αὐτοῦ δύο. λέγει αὐτοῖς Σίμων Πέτρος, ὑπάγω ἁλιεύειν. λέγουσιν αὐτῷ, ἐρχόμεθα καὶ ἡμεῖς σὺν σοί. ἐξῆλθον, καὶ ἀνέβησαν εἰς τὸ πλοῖον εὐθύς, καὶ ἐν ἐκείνῃ τῇ νυκτὶ ἐπίασαν οὐδέν. πρωΐας δὲ γινομένης ἔστη ὁ Ἰησοῦς εἰς τὸν αἰγιαλόν, οὐ μέντοι ᾔδεισαν οἱ μαθηταὶ ὅτι Ἰησοῦς ἐστι. λέγει οὖν αὐτοῖς ὁ Ἰησοῦς, παιδία, μήτι προσφάγιον ἔχετε; ἀπεκρίθησαν αὐτῷ. οὔ. ὁ δὲ εἶπεν αὐτοῖς βάλετε εἰς τὰ δεξιὰ μέρη τοῦ πλοίου τὸ δίκτυον, καὶ εὑρήσετε. ἔβαλον οὖν, καὶ οὐκ ἔτι αὐτὸ ἑλκῦσαι ἴσχυσαν ἀπὸ πλήθους τῶν ἰχθύων. λέγει οὖν ὁ μαθητὴς ἐκεῖνος, ὃν ἠγάπα ὁ Ἰησοῦς, τῷ Πέτρῳ, ὁ κύριός ἐστι. Σίμων οὖν Πέτρος ἀκούσας ὅτι ὁ κύριός ἐστι, τὸν ἐπενδύτην διεζώσατο. ἦν γὰρ γυμνός. καὶ ἔβαλεν ἑαυτὸν εἰς τὴν θάλασσαν. οἱ δὲ ἄλλοι μαθηταὶ τῷ πλοιαρίῳ ἦλθον. οὐ γὰρ ἦσαν μακρὰν ἀπὸ τῆς γῆς, ἀλλ᾽ ὡς ἀπὸ πηχῶν διακοσίων, σύροντες τὸ δίκτυον τῶν ἰχθύων. ὡς οὖν ἀπέβησαν εἰς τὴν γῆν, βλέπουσιν ἀνθρακιὰν κειμένην, καὶ ὀψάριον ἐπικείμενον καὶ ἄρτον. λέγει αὐτοῖς ὁ Ἰησοῦς, ἐνέγκατε ἀπὸ τῶν ὀψαρίων ὧν ἐπιάσατε νῦν. ἀνέβη Σίμων Πέτρος, καὶ εἵλκυσε τὸ δίκτυον ἐπὸ τῆς γῆς, μεστὸν ἰχθύων μεγάλων ἑκατὸν πεντήκοντα τριῶν. καὶ τοσούτων ὄντων οὐκ ἐσχίσθη τὸ δίκτυον. λέγει αὐτοῖς ὁ Ἰησοῦς, δεῦτε, ἀριστήσατε. οὐδεὶς δὲ ἐτόλμα τῶν μαθητῶν ἐξετάσαι αὐτόν, σὺ τίς εἶ; εἰδότες ὅτι ὁ κύριός ἐστιν. ἔρχεται οὖν ὁ Ἰησοῦς, καὶ λαμβάνει τὸν ἄρτον, καὶ δίδωσιν αὐτοῖς, καὶ τὸ ὀψάριον ὁμοίως. τοῦτο ἤδη τρίτον ἐφανερώθη ὁ Ἰησοῦς τοῖς μαθηταῖς αὐτοῦ ἐγερθεὶς ἐκ νεκρῶν.

Κατὰ

λέγει αὐτοῖς, ἦραν τὸν κύριον ἐκ τοῦ μνημείου. καὶ οὐκ οἴδαμεν ποῦ ἔθηκαν αὐτόν. ἐξῆλθεν οὖν ὁ Πέτρος καὶ ὁ ἄλλος μαθητὴς, καὶ ἤρχοντο εἰς τὸ μνημεῖον. ἔτρεχον δὲ οἱ δύο ὁμοῦ, καὶ ὁ ἄλλος μαθητὴς προέδραμε τάχιον τοῦ Πέτρου, καὶ ἦλθε πρῶτος εἰς τὸ μνημεῖον. καὶ παρακύψας βλέπει κείμενα τὰ ὀθόνια, οὐ μέντοι εἰσῆλθεν. ἔρχεται οὖν Σίμων Πέτρος ἀκολουθῶν αὐτῷ, καὶ εἰσῆλθεν εἰς τὸ μνημεῖον, καὶ θεωρεῖ τὰ ὀθόνια κείμενα, καὶ τὸ σουδάριον ὃ ἦν ἐπὶ τῆς κεφαλῆς αὐτοῦ, οὐ μετὰ τῶν ὀθονίων κείμενον, ἀλλὰ χωρὶς ἐντετυλιγμένον εἰς ἕνα τόπον. τότε οὖν εἰσῆλθε, καὶ ὁ ἄλλος μαθητὴς ὁ ἐλθὼν πρῶτος εἰς τὸ μνημεῖον, καὶ εἶδε, καὶ ἐπίστευσεν. οὐδέπω γὰρ ᾔδεισαν τὴν γραφὴν, ὅτι δεῖ αὐτὸν ἐκ νεκρῶν ἀναστῆναι. ἀπῆλθον οὖν πάλιν πρὸς ἑαυτοὺς οἱ μαθηταί.

Κατὰ Ἰωάννην η. κεφ. κ΄.

Τῇ ἡμέρᾳ ἐκείνῃ. Μαρία εἱστήκει πρὸς τὸ μνημεῖον κλαίουσα ἔξω. ὡς οὖν ἔκλαιε, παρέκυψεν εἰς τὸ μνημεῖον, καὶ θεωρεῖ δύο ἀγγέλους ἐν λευκοῖς καθεζομένους, ἕνα πρὸς τῇ κεφαλῇ, καὶ ἕνα πρὸς τοῖς ποσὶν, ὅπου ἔκειτο τὸ σῶμα τοῦ Ἰησοῦ. καὶ λέγουσιν αὐτῇ ἐκεῖνοι, γύναι, τί κλαίεις; λέγει αὐτοῖς, ὅτι ἦραν τὸν κύριόν μου, καὶ οὐκ οἶδα ποῦ ἔθηκαν αὐτόν. καὶ ταῦτα εἰποῦσα ἐστράφη εἰς τὰ ὀπίσω, καὶ θεωρεῖ τὸν Ἰησοῦν ἑστῶτα, καὶ οὐκ ᾔδει ὅτι ὁ Ἰησοῦς ἐστι. λέγει αὐτῇ ὁ Ἰησοῦς, γύναι, τί κλαίεις; τίνα ζητεῖς; ἐκείνη δὲ δοκοῦσα ὅτι ὁ κηπουρός ἐστι λέγει αὐτῷ, κύριε, εἰ σὺ ἐβάστασας αὐτὸν, εἰπέ μοι ποῦ ἔθηκας αὐτὸν, κἀγὼ αὐτὸν ἀρῶ. λέγει αὐτῇ ὁ Ἰησοῦς. Μαρία. στραφεῖσα ἐκείνη λέγει αὐτῷ, ῥαββουνὶ, ὃ λέγεται διδάσκαλε. λέγει αὐτῇ ὁ Ἰησοῦς. μή μου ἅπτου. οὔπω γὰρ ἀναβέβηκα πρὸς τὸν πατέρα μου. πορεύου δὲ πρὸς τοὺς ἀδελφούς μου καὶ εἰπὲ αὐτοῖς, ἀναβαίνω πρὸς τὸν πατέρα μου, καὶ πατέρα ὑμῶν, καὶ θεόν μου καὶ θεὸν ὑμῶν. ἔρχεται Μαρία ἡ Μαγδαληνὴ ἀπαγγέλλουσα τοῖς μαθηταῖς ὅτι ἑώρακε τὸν κύριον, καὶ ταῦτα εἶπεν αὐτῇ.

Κατὰ Ἰωάννην θ΄. κεφ. κ΄.

Οὔσης ὀψίας τῇ ἡμέρᾳ ἐκείνῃ τῇ μιᾷ τῶν σαββάτων, καὶ τῶν θυρῶν κεκλεισμένων ὅπου ἦσαν οἱ μαθηταὶ συνηγμένοι διὰ τὸν φόβον τῶν Ἰουδαίων, ἦλθεν ὁ Ἰησοῦς καὶ ἔστη εἰς τὸ μέσον, καὶ λέγει αὐτοῖς εἰρήνη ὑμῖν. καὶ τοῦτο εἰπὼν ἔδειξεν αὐτοῖς τὰς χεῖρας καὶ τὴν πλευρὰν αὐτοῦ. ἐχάρησαν οὖν οἱ μαθηταὶ ἰδόντες τὸν κύριον. εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς πάλιν, εἰρήνη ὑμῖν. καθὼς ἀπέσταλκέ με ὁ πατὴρ, κἀγὼ πέμπω ὑμᾶς. καὶ τοῦτο εἰπὼν ἐνεφύσησε, καὶ λέγει αὐτοῖς, λάβετε πνεῦμα ἅγιον. ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας ἀφίενται αὐτοῖς. ἄν τινων κρατῆτε, κεκράτηνται. Θωμᾶς δὲ εἷς ἐκ τῶν δώδεκα, ὁ λεγόμενος δίδυμος, οὐκ ἦν μετ' αὐτῶν ὅτε ἦλθεν ὁ Ἰησοῦς. ἔλεγον οὖν αὐτῷ οἱ ἄλλοι μαθηταὶ, ἑωράκαμεν τὸν κύριον, ὁ δὲ εἶπεν αὐτοῖς, ἐὰν μὴ ἴδω ἐν ταῖς χερσὶν αὐτοῦ

σε ποιεῖτο πορρωτέρω πορεύεσθαι. καὶ παρεβιάσαντο αὐτόν, λέγοντες, μεῖνον μεθ' ἡμῶν· ὅτι πρὸς ἑσπέραν ἐστὶ, καὶ κέκλικεν ἡ ἡμέρα. καὶ εἰσῆλθε τοῦ μεῖναι σὺν αὐτοῖς. καὶ ἐγένετο ἐν τῷ κατακλιθῆναι αὐτὸν μετ' αὐτῶν, λαβὼν τὸν ἄρτον εὐλόγησε, καὶ κλάσας ἐπεδίδου αὐτοῖς. αὐτῶν δὲ διηνοίχθησαν οἱ ὀφθαλμοὶ, καὶ ἐπέγνωσαν αὐτόν. καὶ αὐτὸς ἄφαντος ἐγένετο ἀπ' αὐτῶν. καὶ εἶπον πρὸς ἀλλήλοις, οὐχὶ ἡ καρδία ἡμῶν καιομένη ἦν ἐν ἡμῖν, ὡς ἐλάλει ἡμῖν ἐν τῇ ὁδῷ, καὶ ὡς διήνοιγεν ἡμῖν τὰς γραφάς; καὶ ἀναστάντες αὐτῇ τῇ ὥρᾳ ὑπέστρεψαν εἰς Ἱερουσαλὴμ, καὶ εὗρον συνηθροισμένους τοὺς ἕνδεκα, καὶ τοὺς σὺν αὐτοῖς, λέγοντας, ὅτι ἠγέρθη ὁ κύριος ὄντως. καὶ ὤφθη Σίμωνι, καὶ αὐτοὶ ἐξηγοῦντο τὰ ἐν τῇ ὁδῷ, καὶ ὡς ἐγνώσθη αὐτοῖς ἐν τῇ κλάσει τοῦ ἄρτου.

Κατὰ Λουκᾶν ςʹ. κεφ. κδʹ.

Τῷ καιρῷ ἐκείνῳ, ἀναστὰς ὁ Ἰησοῦς ἐκ νεκρῶν ἔστη ἐν μέσῳ τῶν μαθητῶν αὐτοῦ. καὶ λέγει αὐτοῖς, εἰρήνη ὑμῖν. πτοηθέντες δὲ καὶ ἔμφοβοι γενόμενοι ἐδόκουν πνεῦμα θεωρεῖν. καὶ εἶπεν αὐτοῖς, τί τεταραγμένοι ἐστὲ, καὶ διὰ τί διαλογισμοὶ ἀναβαίνουσιν ἐν ταῖς καρδίαις ὑμῶν; ἴδετε τὰς χεῖράς μου καὶ τοὺς πόδας μου· ὅτι αὐτὸς ἐγώ εἰμι, ψηλαφήσατέ με καὶ ἴδετε. ὅτι πνεῦμα σάρκα καὶ ὀστέα οὐκ ἔχει, καθὼς ἐμὲ θεωρεῖτε ἔχοντα. καὶ τοῦτο εἰπὼν ἐπέδειξεν αὐτοῖς τὰς χεῖρας καὶ τοὺς πόδας. ἔτι δὲ ἀπιστούντων αὐτῶν ἀπὸ τῆς χαρᾶς, καὶ θαυμαζόντων, εἶπεν αὐτοῖς, ἔχετέ τι βρώσιμον ἐνθάδε; οἱ δὲ ἐπέδωκαν αὐτῷ ἰχθύος ὀπτοῦ μέρος, καὶ ἀπὸ μελισσίου κηρίου, καὶ λαβὼν ἐνώπιον αὐτῶν ἔφαγεν. εἶπε δὲ αὐτοῖς· οὗτοι οἱ λόγοι οὓς ἐλάλησα πρὸς ὑμᾶς ἔτι ὢν σὺν ὑμῖν. ὅτι δεῖ πληρωθῆναι πάντα τὰ γεγραμμένα ἐν τῷ νόμῳ Μωσέως καὶ προφήταις καὶ ψαλμοῖς περὶ ἐμοῦ. τότε διήνοιξεν αὐτῶν τὸν νοῦν, τοῦ συνιέναι τὰς γραφάς, καὶ εἶπεν αὐτοῖς, ὅτι οὕτω γέγραπται, καὶ οὕτως ἔδει παθεῖν τὸν Χριστὸν, καὶ ἀναστῆναι ἐκ νεκρῶν τῇ τρίτῃ ἡμέρᾳ, καὶ κηρυχθῆναι ἐπὶ τῷ ὀνόματι αὐτοῦ μετάνοιαν καὶ ἄφεσιν ἁμαρτιῶν εἰς πάντα τὰ ἔθνη, ἀρξάμενον ἀπὸ Ἱερουσαλήμ. ὑμεῖς δέ ἐστε μάρτυρες τούτων. καὶ ἰδοὺ ἐγὼ ἀποστέλλω τὴν ἐπαγγελίαν τοῦ πατρός μου ἐφ' ὑμᾶς. ὑμεῖς δὲ καθίσατε ἐν τῇ πόλει Ἱερουσαλὴμ, ἕως οὗ ἐνδύσησθε δύναμιν ἐξ ὕψους. ἐξήγαγε δὲ αὐτοὺς ἔξω ἕως εἰς Βηθανίαν. καὶ ἐπάρας τὰς χεῖρας αὐτοῦ, εὐλόγησεν αὐτούς. καὶ ἐγένετο ἐν τῷ εὐλογεῖν αὐτὸν αὐτοὺς, διέστη ἀπ' αὐτῶν, καὶ ἀνεφέρετο εἰς τὸν οὐρανόν. καὶ αὐτοὶ προσκυνήσαντες αὐτὸν, ὑπέστρεψαν εἰς Ἱερουσαλὴμ μετὰ χαρᾶς μεγάλης. καὶ ἦσαν διαπαντὸς ἐν τῷ ἱερῷ, αἰνοῦντες καὶ εὐλογοῦντες τὸν θεόν. ἀμήν.

Κατὰ Ἰωάννην ζʹ. κεφ. κʹ.

Τῇ μιᾷ τῶν σαββάτων Μαρία ἡ Μαγδαληνὴ ἔρχεται πρωῒ σκοτίας ἔτι οὔσης, εἰς τὸ μνημεῖον, καὶ βλέπει τὸν λίθον ἠρμένον ἐκ τοῦ μνημείου. τρέχει οὖν καὶ ἔρχεται πρὸς Σίμωνα Πέτρον, καὶ πρὸς τὸν ἄλλον μαθητὴν ὃν ἐφίλει ὁ Ἰησοῦς, καὶ

λέγει

ζῶν, εἶπον πρὸς αὐτάς, τί ζητεῖτε
τὸν ζῶντα μετὰ τῶν νεκρῶν; οὐκ ἔστιν
ὧδε, ἀλλ' ἠγέρθη. μνήσθητε ὡς ἐ-
λάλησεν ὑμῖν, ἔτι ὢν ἐν τῇ Γαλι-
λαίᾳ. λέγων, ὅτι δεῖ τὸν υἱὸν τοῦ ἀν-
θρώπου παραδοθῆναι εἰς χεῖρας ἀν-
θρώπων ἁμαρτωλῶν, καὶ σταυρωθῆ-
ναι, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστῆναι. καὶ
ἐμνήσθησαν τῶν ῥημάτων αὐτοῦ. καὶ
ὑποστρέψασαι ἀπὸ τοῦ μνημείου, ἀ-
πήγγειλαν ταῦτα πάντα τοῖς ἕνδε-
κα, καὶ πᾶσι τοῖς λοιποῖς. ἦσαν δὲ ἡ
Μαγδαληνὴ Μαρία, καὶ Ἰωάννα, καὶ
Μαρία Ἰακώβου, καὶ αἱ λοιπαὶ σὺν
αὐταῖς, αἳ ἔλεγον πρὸς τοὺς ἀποστό-
λους ταῦτα. καὶ ἐφάνησαν ἐνώπιον
αὐτῶν ὡσεὶ λῆρος τὰ ῥήματα αὐτῶν,
καὶ ἠπίστουν αὐταῖς. ὁ δὲ Πέτρος ἀ-
ναστὰς ἔδραμεν ἐπὶ τὸ μνημεῖον, καὶ
παρακύψας βλέπει τὰ ὀθόνια κεί-
μενα μόνα. καὶ ἀπῆλθε πρὸς ἑαυ-
τὸν, θαυμάζων τὸ γεγονός.

Κατὰ Λουκᾶν ς. κεφ. κδ΄.

Τῷ καιρῷ ἐκείνῳ. ὁ Πέτρος ἀνα-
στὰς ἔδραμεν ἐπὶ τὸ μνημεῖον, καὶ
παρακύψας βλέπει τὰ ὀθόνια κεί-
μενα μόνα, καὶ ἀπῆλθε πρὸς ἑαυτὸν
θαυμάζων τὸ γεγονός. καὶ ἰδοὺ δύο
ἐξ αὐτῶν ἦσαν πορευόμενοι ἐν αὐτῇ
τῇ ἡμέρᾳ εἰς κώμην ἀπέχουσαν στα-
δίους ἑξήκοντα ἀπὸ Ἱερουσαλήμ, ᾗ
ὄνομα Ἐμμαούς. καὶ αὐτοὶ ὡμίλουν
πρὸς ἀλλήλους περὶ πάντων τῶν συμ-
βεβηκότων τούτων. καὶ ἐγένετο ἐν
τῷ ὁμιλεῖν αὐτοὺς καὶ συζητεῖν, καὶ
αὐτὸς ὁ Ἰησοῦς ἐγγίσας συνεπορεύε-
το αὐτοῖς. οἱ δὲ ὀφθαλμοὶ αὐτῶν
ἐκρατοῦντο τοῦ μὴ ἐπιγνῶναι αὐτόν.
εἶπε δὲ πρὸς αὐτούς, τίνες οἱ λόγοι
οὗτοι, οὓς ἀντιβάλλετε πρὸς ἀλλή-
λους περιπατοῦντες, καὶ ἐστὲ σκυθρω-
ποί; ἀποκριθεὶς δὲ ὁ εἷς ᾧ ὄνομα
Κλεώπας, εἶπε πρὸς αὐτόν, σὺ μό-
νος παροικεῖς Ἱερουσαλὴμ, καὶ οὐκ
ἔγνως τὰ γενόμενα ἐν αὐτῇ ἐν ταῖς
ἡμέραις ταύταις; καὶ εἶπεν αὐτοῖς,
ποῖα; οἱ δὲ εἶπον αὐτῷ, τὰ περὶ Ἰη-
σοῦ τοῦ Ναζωραίου, ὃς ἐγένετο ἀνὴρ
προφήτης, δυνατὸς ἐν ἔργῳ καὶ λό-
γῳ ἐναντίον τοῦ θεοῦ καὶ παντὸς τοῦ
λαοῦ. ὅπως τε παρέδωκαν αὐτὸν οἱ
ἀρχιερεῖς, καὶ οἱ ἄρχοντες ἡμῶν εἰς
κρίμα θανάτου, καὶ ἐσταύρωσαν αὐτόν.
ἡμεῖς δὲ ἠλπίζομεν, ὅτι αὐτός ἐστιν
ὁ μέλλων λυτροῦσθαι τὸν Ἰσραήλ. ἀλ-
λά γε σὺν πᾶσι τούτοις τρίτην ταύ-
την ἡμέραν ἄγει σήμερον, ἀφ' οὗ
ταῦτα ἐγένετο. ἀλλὰ καὶ γυναῖκές
τινες ἐξ ἡμῶν ἐξέστησαν ἡμᾶς, γενό-
μεναι ὄρθριαι ἐπὶ τὸ μνημεῖον. καὶ
μὴ εὑροῦσαι τὸ σῶμα αὐτοῦ, ἦλθον,
λέγουσαι καὶ ὀπτασίαν ἀγγέλων ἑω-
ρακέναι, οἳ λέγουσιν αὐτὸν ζῆν. καὶ
ἀπῆλθόν τινες τῶν σὺν ἡμῖν ἐπὶ τὸ
μνημεῖον, καὶ εὗρον οὕτω καθὼς καὶ
αἱ γυναῖκες εἶπον. αὐτὸν δὲ οὐκ εἶ-
δον. καὶ αὐτὸς εἶπε πρὸς αὐτούς, ὦ
ἀνόητοι καὶ βραδεῖς τῇ καρδίᾳ τοῦ
πιστεύειν πᾶσιν οἷς ἐλάλησαν οἱ προ-
φῆται. οὐχὶ ταῦτα ἔδει παθεῖν τὸν
Χριστόν, καὶ εἰσελθεῖν εἰς τὴν δόξαν
αὐτοῦ; καὶ ἀρξάμενος ἀπὸ Μωσέως,
καὶ ἀπὸ πάντων τῶν προφητῶν διηρμή-
νευεν αὐτοῖς ἐν πάσαις ταῖς γρα-
φαῖς τὰ περὶ αὐτοῦ. καὶ ἤγγισαν εἰς τὴν
κώμην οὗ ἐπορεύοντο, καὶ αὐτὸς προ-
σεποιεῖ-

λιωή, καὶ Μαρία Ἰακώβου, καὶ Σαλώμη ἠγόρασαν ἀρώματα, ἵνα ἐλθοῦσαι ἀλείψωσι τὸν Ἰησοῦν. καὶ λίαν πρωῒ τῆς μιᾶς σαββάτων ἔρχονται ἐπὶ τὸ μνημεῖον, ἀνατείλαντος τοῦ ἡλίου. καὶ ἔλεγον πρὸς ἑαυτάς, τίς ἀποκυλίσει ἡμῖν τὸν λίθον ἐκ τῆς θύρας τοῦ μνημείου; καὶ ἀναβλέψασαι θεωροῦσιν ὅτι ἀποκεκύλισται ὁ λίθος. ἦν γὰρ μέγας σφόδρα. καὶ εἰσελθοῦσαι εἰς τὸ μνημεῖον, εἶδον νεανίσκον καθήμενον ἐν τοῖς δεξιοῖς, περιβεβλημένον στολὴν λευκήν, καὶ ἐξεθαμβήθησαν. ὁ δὲ λέγει αὐταῖς, μὴ ἐκθαμβεῖσθε. Ἰησοῦν ζητεῖτε τὸν Ναζαρινὸν τὸν ἐσταυρωμένον. ἠγέρθη, οὐκ ἔστιν ὧδε. ἴδε ὁ τόπος ὅπου ἔθηκαν αὐτόν. ἀλλ' ὑπάγετε, εἴπατε τοῖς μαθηταῖς αὐτοῦ, καὶ τῷ Πέτρῳ, ὅτι προάγει ὑμᾶς εἰς τὴν Γαλιλαίαν. ἐκεῖ αὐτὸν ὄψεσθε, καθὼς εἶπεν ὑμῖν. καὶ ἐξελθοῦσαι ἔφυγον ἀπὸ τοῦ μνημείου. εἶχε δὲ αὐτὰς τρόμος καὶ ἔκστασις, καὶ οὐδενὶ οὐδὲν εἶπον. ἐφοβοῦντο γάρ.

Κατὰ Μάρκον γ'. κεφ. ιϛ'.

Τῷ καιρῷ ἐκείνῳ. ἀναστὰς ὁ Ἰησοῦς πρωῒ πρώτῃ Σαββάτου, ἐφάνη πρῶτον Μαρίᾳ τῇ Μαγδαληνῇ, ἀφ' ἧς ἐκβεβλήκει ἑπτὰ δαιμόνια. ἐκείνη πορευθεῖσα ἀπήγγειλε τοῖς μετ' αὐτοῦ γενομένοις, πενθοῦσι καὶ κλαίουσι. κἀκεῖνοι ἀκούσαντες ὅτι ζῇ, καὶ ἐθεάθη ὑπ' αὐτῆς, ἠπίστησαν. μετὰ δὲ ταῦτα δυσὶν ἐξ αὐτῶν περιπατοῦσιν ἐφανερώθη ἐν ἑτέρᾳ μορφῇ, πορευομένοις εἰς ἀγρόν. κἀκεῖνοι ἀπελθόντες ἀπήγγειλαν τοῖς λοιποῖς. οὐδὲ ἐκείνοις ἐπίστευσαν. ὕστερον, ἀνακειμένοις αὐτοῖς τοῖς ἕνδεκα ἐφανερώθη, καὶ ὠνείδισε τὴν ἀπιστίαν αὐτῶν, καὶ σκληροκαρδίαν, ὅτι τοῖς θεασαμένοις αὐτὸν ἐγηγερμένον ἐκ νεκρῶν, οὐκ ἐπίστευσαν. καὶ εἶπεν αὐτοῖς, πορευθέντες εἰς τὸν κόσμον ἅπαντα, κηρύξατε τὸ εὐαγγέλιον, πάσῃ τῇ κτίσει. ὁ πιστεύσας, καὶ βαπτισθεὶς σωθήσεται. ὁ δὲ ἀπιστήσας κατακριθήσεται. σημεῖα δὲ τοῖς πιστεύσασι, ταῦτα παρακολουθήσει. ἐν τῷ ὀνόματί μου δαιμόνια ἐκβαλοῦσι. γλώσσαις λαλήσουσι καιναῖς. ὄφεις ἀροῦσι. κἂν θανάσιμόν τι πίωσιν, οὐ μὴ αὐτοὺς βλάψει. ἐπὶ ἀρρώστους χεῖρας ἐπιθήσουσι, καὶ καλῶς ἕξουσιν. ὁ μὲν οὖν κύριος μετὰ τὸ λαλῆσαι αὐτοῖς, ἀνελήφθη εἰς τὸν οὐρανόν, καὶ ἐκάθισεν ἐκ δεξιῶν τοῦ θεοῦ. ἐκεῖνοι δὲ ἐξελθόντες ἐκήρυξαν πανταχοῦ. τοῦ κυρίου συνεργοῦντος, καὶ τὸν λόγον βεβαιοῦντος διὰ τῶν ἐπακολουθούντων σημείων. ἀμήν.

Κατὰ Λουκᾶν δ'. κεφ. κδ'.

Τῇ μιᾷ τῶν σαββάτων ὄρθρου βαθέως ἦλθον γυναῖκες ἐπὶ τὸ μνῆμα, φέρουσαι ἃ ἡτοίμασαν ἀρώματα, καί τινες σὺν αὐταῖς. εὗρον δὲ τὸν λίθον ἀποκεκυλισμένον ἀπὸ τοῦ μνημείου. καὶ εἰσελθοῦσαι οὐχ εὗρον τὸ σῶμα τοῦ κυρίου Ἰησοῦ. καὶ ἐγένετο ἐν τῷ διαπορεῖσθαι αὐτὰς περὶ τούτου, καὶ ἰδοὺ δύο ἄνδρες ἐπέστησαν αὐταῖς ἐν ἐσθήσεσιν ἀστραπτούσαις. ἐμφόβων δὲ γενομένων αὐτῶν, καὶ κλινουσῶν τὸ πρόσωπον εἰς τὴν

σαξει, ἐν δεξιοῖς χαλάσαντες, πλῆθος εἷλκον ἰχθύων, ὃν Πέτρος γνοὺς, πρὸς αὐτὸν ἐνήχετο. οἷς τὸ τρίτον φανεὶς, καὶ ἄρτον ἔδειξε, καὶ ἰχθὺν ἐπ᾽ ἀνθράκων. Θεοτοκίον.

Ἑωθινὸν ι´. Ἦχος πλαγ. β´.

Μετὰ τὴν εἰς ᾅδου κάθοδον, καὶ τὴν ἐκ νεκρῶν ἀνάστασιν, ἀθυμοῦντες ὡς εἰκὸς, ἐπὶ τῷ χωρισμῷ σου Χριστὲ, οἱ μαθηταὶ πρὸς ἐργασίαν ἐτράπησαν, καὶ πάλιν πλοῖα καὶ δίκτυα, καὶ ἄγρα οὐδαμοῦ, ἀλλὰ σὺ σῶτερ ἐμφανισθεὶς, ὡς δεσπότης πάντων. δεξιοῖς τὰ δίκτυα κελεύεις βαλεῖν, καὶ ἦν ὁ λόγος ἔργον εὐθὺς, καὶ πλῆθος τῶν ἰχθύων πολὺ, καὶ δεῖπνον ξένον ἕτοιμον ἐν γῇ. οὗ μετασχόντων τότε σου τῶν μαθητῶν. καὶ ἡμᾶς νῦν νοητῶς, καταξίωσον ἐντρυφῆσαι φιλάνθρωπε κύριε.


Ἐξαποστειλάριον ι´.

Μετὰ τὴν θείαν ἔγερσιν, τρὶς τῷ Πέτρῳ φιλεῖς με πυθόμενος ὁ κύριος, τῶν ἰδίων προβάτων προβάλλεται ποιμενάρχην. ὃς ἰδὼν ὃν ἠγάπα τὸν Ἰησοῦν ἑπόμενον, ἤρετο τὸν δεσπότην, οὗτος δὲ τί, ἐὰν θέλω ἔφησε μένειν τοῦτον, ἕως καὶ πάλιν ἔρχομαι. τί πρός σε φίλε Πέτρε. Θ.

Ἑωθινὸν ια´. Ἦχος πλαγ. α´.

Φανερῶν ἑαυτὸν τοῖς μαθηταῖς ὁ σωτὴρ, μετὰ τὴν ἀνάστασιν, Σίμωνι δέδωκε τὴν τῶν προβάτων νομὴν, εἰς ἀγάπης ἀντέκτισιν, τὴν τοῦ ποιμαίνειν φροντίδα αἰτῶν. διὸ καὶ ἔλεγεν, εἰ φιλεῖς Πέτρε, ποίμαινε τὰ ἀρνία μου, ποίμαινε τὰ πρόβατά μου, ὁ δὲ εὐθέως ἐνδεικνύμενος τὸ φιλόστοργον, περὶ τοῦ ἄλλου μαθητοῦ ἐπυνθάνετο. ὧν ταῖς πρεσβείαις Χριστὲ, τὴν ποίμνην σου διαφύλαττε ἐκ λύκων λυμαινομένων αὐτήν.

Τέλος τῶν ἀναστασίμων ἐξαποστειλαρίων καὶ τῶν ἑωθινῶν ἰδιομέλων.



Εὐαγγέλια ἑωθινὰ ἀναστάσιμα ια´.
Τὸ. α´. Εὐαγγέλιον κατὰ Ματθαῖον. κεφαλ. κη´.

Τῷ καιρῷ ἐκείνῳ. οἱ ἕνδεκα μαθηταὶ ἐπορεύθησαν εἰς τὴν Γαλιλαίαν, εἰς τὸ ὄρος οὗ ἐτάξατο αὐτοῖς ὁ Ἰησοῦς. καὶ ἰδόντες αὐτὸν, προσεκύνησαν αὐτῷ. οἱ δὲ ἐδίστασαν. καὶ προσελθὼν ὁ Ἰησοῦς ἐλάλησεν αὐτοῖς, λέγων. ἐδόθη μοι πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς. πορευθέντες οὖν μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος, διδάσκοντες αὐτοὺς τηρεῖν πάντα ὅσα ἐνετειλάμην ὑμῖν. καὶ ἰδοὺ ἐγὼ μεθ᾽ ὑμῶν εἰμι πάσας τὰς ἡμέρας, ἕως τῆς συντελείας τοῦ αἰῶνος ἀμήν.

Κατὰ Μάρκον β´. κεφ. ις´.

Τῷ καιρῷ ἐκείνῳ, διαγενομένου τοῦ σαββάτου. Μαρία ἡ Μαγδαληνὴ,

φάς. οἷς καὶ τὴν πατρικὴν ἐπαγγελίαν καθυποσχόμενος, καὶ εὐλογήσας αὐτοὺς διέστη πρὸς οὐρανόν. διὸ σὺν αὐτοῖς προσκυνοῦμέν σε. κύριε δόξα σοι.

Ἐξαποστειλάριον ζ´.

Ὅτι ἦραν τὸν κύριον τῆς Μαρίας εἰπούσης, ἐπὶ τὸν τάφον ἔδραμον Σίμων Πέτρος, καὶ ἄλλος μύστης Χριστοῦ, ὃν ἠγάπα, ἔτρεχον δὲ οἱ δύο, καὶ εὗρον τὰ ὀθόνια ἔνδον κείμενα μόνα, καὶ κεφαλῆς, ἦν δὲ τὸ σουδάριον χωρὶς τούτων. διὸ πάλιν ἡσύχασαν, τὸν Χριστὸν ἕως εἶδον. Θεοτοκ.

Ἑωθινὸν ζ´. ἦχος βαρύς.

Ἰδοὺ σκοτία καὶ πρωΐ, καὶ τί πρὸς τὸ μνημεῖον Μαρία ἕστηκας; πολὺ σκότον ἔχουσα ταῖς φρεσίν, οὗ ἐφ᾽ οὗ ποῦ τέθειται ζητεῖς ὁ Ἰησοῦς. ἀλλ᾽ ὁρᾷς τοὺς συντρέχοντας μαθητάς, πῶς τοῖς ὀθονίοις καὶ τῷ σουδαρίῳ τὴν ἀνάστασιν ἐτεκμήραντο, καὶ ἀνεμνήσθησαν τῆς περὶ τούτου γραφῆς, μεθ᾽ ὧν καὶ δι᾽ ὧν, καὶ ἡμεῖς πιστεύσαντες, ἀνυμνοῦμέν σε τὸν ζωοδότην Χριστόν.

Ἐξαποστειλάριον η´.

Δύο ἀγγέλους βλέψασα ἔνδοθεν τοῦ μνημείου, Μαρία ἐξεπλήττετο, καὶ Χριστὸν ἀγνοοῦσα, ὡς κηπουρὸν ἐπηρώτα. κύριε ποῦ τὸ σῶμα τοῦ Ἰησοῦ μου τέθεικας. κλήσει δὲ τοῦτον γνοῦσα, εἶναι αὐτὸν τὸν σωτῆρα, ἤκουσε μή μου ἅπτου, πρὸς τὸν πατέρα ἄπειμι. εἰπὲ τοῖς ἀδελφοῖς μου. Θ´.

Ἑωθινὸν η´. ἦχος πλαγίου

Τὰ τῆς Μαρίας δάκρυα, οὐ μάτην χεῖται θερμῶς. ἰδοὺ γὰρ κατηξίωται, καὶ διδαχῶν τῶν ἀγγέλων, καὶ τῆς ὄψεως τῆς σῆς ὦ Ἰησοῦ. ἀλλ᾽ ἔτι περίγεια φρονεῖ, οἷα γυνὴ ἀσθενής. διὸ καὶ ἀποπέμπεται, μὴ προσψαῦσαί σου Χριστέ. ἀλλ᾽ ὅμως κήρυξ πέμπεται τοῖς σοῖς μαθηταῖς. οἷς εὐαγγέλια φέρουσα, τὴν πρὸς τὸν πατρῷον κλῆρον ἄνοδον ἐπαγγέλλει σου, μεθ᾽ ἧς ἀξίωσον καὶ ἡμᾶς τῆς ἐμφανείας σου δέσποτα κύριε.

Ἐξαποστειλάριον θ´.

Συγκεκλεισμένων δέσποτα τῶν θυρῶν ὡς εἰσῆλθες τοὺς ἀποστόλους ἔπλησας, πνεύματος παναγίου, εἰρηνικῶς ἐμφυσήσας, οἷς δεσμεῖν τε καὶ λύειν τὰς ἁμαρτίας εἴρηκας. καὶ ὀκτὼ μεθ᾽ ἡμέρας τὴν σὴν πλευρὰν τῷ Θωμᾷ ὑπέδειξας, καὶ τὰς χεῖρας. μεθ᾽ οὗ βοῶμεν κύριος, καὶ θεὸς σὺ ὑπάρχεις. Θ´.

Ἑωθινὸν ι´. ἦχος πλαγ. δ´.

Ὡς ἐπ᾽ ἐσχάτων τῶν χρόνων, οὕτως ὀψίας σαββάτων ἐφίστασαι τοῖς φίλοις Χριστέ, καὶ θαύματι θαῦμα βεβαιοῖς, τῇ κεκλεισμένῃ εἰσόδῳ τῶν θυρῶν, τὴν ἐκ νεκρῶν σου ἀνάστασιν. ἀλλ᾽ ἔπλησας χαρᾶς τοὺς μαθητάς, καὶ πνεύματος ἁγίου μετέδωκας αὐτοῖς καὶ ἐξουσίαν ἔνειμας ἀφέσεως ἁμαρτιῶν, καὶ τὸν Θωμᾶν οὐ κατέλιπες, τῷ τῆς ἀπιστείας καταβαπτίζεσθαι κλύδωνι. διὸ παράσχου καὶ ἡμῖν γνῶσιν ἀληθῆ, καὶ ἄφεσιν πταισμάτων εὔσπλαγχνε κύριε.

Ἐξαποστειλάριον ι´.

Τιβεριάδος θάλασσα, σὺν παισὶ Ζεβεδαίου Ναθαναὴλ τῷ Πέτρῳ τε, σὺν δυσὶν ἄλλοις πάλαι, καὶ Θωμᾶν εἶχε πρὸς ἄγραν. οἱ Χριστοῦ τῇ προ-

οὐρανοῦ διαπρέποντος, ἔγερσιν διδαχθῶμεν, καὶ πρὸς ζωὴν, τῷ μνημείῳ δράμωμεν σὺν τῷ Πέτρῳ, καὶ τὸ πραχθὲν θαυμάσαντες, μείνωμεν Χριστὸν βλέψαι. θʹ. Τὸ χαίρετε φθεγξάμενος, διημείψω τὴν λύπην, τῶν προπατόρων κύριε, τὴν χαρὰν ἀντισώζων, ἐγέρσεώς σου ἐν κόσμῳ, ταύτης οὖν ζωοδότα, διὰ τῆς τεκούσης σε, φῶς φωτίζον καρδίας. φῶς οἰκτιρμῶν, τὸ σὸν ἐξαπόστειλον τοῦ βοᾶν σοι. φιλάνθρωπε θεάνθρωπε. δόξα τῇ ἐγέρσει σου.

Ἑωθινὸν δʹ. ἦχος δʹ.

Ὄρθρος ἦν βαθὺς, καὶ αἱ γυναῖκες ἦλθον ἐπὶ τὸ μνῆμα σου Χριστὲ, ἀλλὰ τὸ σῶμα οὐχ εὑρέθη τὸ ποθούμενον αὐταῖς. διὸ ἀπορουμέναις, οἱ ταῖς ἀστραπτούσαις ἐσθῆσιν ἐπιστάντες. τί τὸν ζῶντα μετὰ τῶν νεκρῶν ζητεῖτε; ἔλεγον. ἠγέρθη ὡς προεῖπε. τί ἀμνημονεῖτε τῶν ῥημάτων αὐτοῦ; οἷς πεισθεῖσαι, τὰ ὁραθέντα ἐκήρυττον, ἀλλ' ἐδόκει λῆρος τὰ εὐαγγέλια· οὕτως ἦσαν ἔτι νωθεῖς οἱ μαθηταί. ἀλλ' ὁ Πέτρος ἔδραμε, καὶ ἰδὼν ἐδόξασέ σου, πρὸς ἑαυτὸν τὰ παθήματα.

Ἐξαποστειλάριον εʹ.

Ἡ ζωὴ καὶ ὁδὸς Χριστὸς, ἐκ νεκρῶν τῷ Κλεόπᾳ, καὶ τῷ Λουκᾷ συνώδευσεν, οἷς περ καὶ ἐπεγνώσθη, εἰς Ἐμμαοῦς κλῶν τὸν ἄρτον. ὧν ψυχαὶ καὶ καρδίαι, καιόμεναι ἐτύγχανον, ὅτε τούτοις ἐλάλει ἐν τῇ ὁδῷ, καὶ γραφαῖς ἡρμήνευεν, ἃ ὑπέστη μεθ' ὧν ἠγέρθη κράζωμεν, ὤφθη τε καὶ τῷ Πέτρῳ. θεοτοκίον. Τὸ χαῖρε.

Ἑωθινὸν εʹ. ἦχος πλάγιος αʹ.

Ὦ τῶν σοφῶν σου κριμάτων Χριστὲ, πῶς Πέτρῳ μὲν τοῖς ὀθονίοις μόνοις, ἔδωκας ἐννοῆσαι σου τὴν ἀνάστασιν. Λουκᾷ δὲ καὶ Κλεόπᾳ συμπορευόμενος ὁμιλεῖς, καὶ ὁμιλῶν, οὐκ εὐθέως ἑαυτὸν φανεροῖς. διὸ καὶ ὀνειδίζῃ, ὡς μόνος παροικῶν Ἱερουσαλὴμ, καὶ μὴ μετέχων τῶν ἐν τέλει βουλευμάτων αὐτοῖς. ἀλλ' ὁ πάντα πρὸς τὸ τοῦ πλάσματος συμφέρον οἰκονομῶν· καὶ τὰς περὶ σοῦ προφητείας ἀνέπτυξας, καὶ ἐν τῷ εὐλογεῖν τὸν ἄρτον ἐγνώσθης αὐτοῖς, ὧν καὶ πρὸ τούτου αἱ καρδίαι, πρὸς γνῶσιν σου, ἀνεφλέγοντο, οἳ καὶ τοῖς μαθηταῖς συνηθροισμένοις ἤδη τρανῶς ἐκήρυττόν σου τὴν ἀνάστασιν. δι' ἧς ἐλέησον ἡμᾶς. Ἐξαποστειλάριον ϛʹ.

Δεικνύων ἄνθρωπος, σῶτερ εἶ κατ' οὐσίαν, ἐν μέσῳ στὰς ἐδίδασκες, ἀναστὰς ἐκ τοῦ τάφου, καὶ βρώσεως συμμετέχες, βάπτισμα μετανοίας. εὐθὺς δὲ πρὸς οὐράνιον ἀνελήφθης πατέρα καὶ μαθηταῖς πέμπειν τὸν παράκλητον ἐπηγγείλω, ὑπέρθεε θεάνθρωπε, δόξα τῇ σῇ ἐγέρσει. θεοτοκίον. Ἐκ τῶν προγεγραμμένων. Ἑωθινὸν ϛʹ. ἦχος πλάγ. βʹ.

Ἡ ὄντως εἰρήνη σὺ Χριστὲ, πρὸς ἀνθρώπους θεοῦ, εἰρήνην τὴν σὴν διδοὺς μετὰ τὴν ἔγερσιν μαθηταῖς, ἐμφόβους ἔδειξας αὐτοῖς, δόξαντας πνεῦμα ὁρᾶν. ἀλλὰ κατέστειλας τὸν τάραχον αὐτῶν τῆς ψυχῆς, δείξας τὰς χεῖρας καὶ τοὺς πόδας σου, πλὴν ἀπιστούντων ἔτι, τῇ τῆς τροφῆς μεταλήψει, καὶ διδαχῶν ἀναμνήσει, διήνοιξας αὐτῶν τὸν νοῦν, τοῦ συνιέναι τὰς γραφάς.

Ἑωθινὸν α΄. Ἦχος α΄.

Εἰς τὸ ὄρος τοῖς μαθηταῖς ἐπειγομένοις, διὰ τὴν χαμόθεν ἔπαρσιν, ἐπέστη ὁ κύριος, καὶ προσκυνήσαντες αὐτόν, καὶ τὴν δοθεῖσαν ἐξουσίαν, πανταχοῦ διδαχθέντες, εἰς τὴν ὑπ᾿ οὐρανὸν ἐξαποστέλλονται, κηρύξαι τὴν ἐκ νεκρῶν ἀνάστασιν, καὶ τὴν εἰς οὐρανοὺς ἀποκατάστασιν, οἷς καὶ συνδιαιωνίζειν, ὁ ἀψευδὴς ἐπηγγείλατο Χριστὸς ὁ θεὸς καὶ σωτὴρ τῶν ψυχῶν ἡμῶν. Ἐξαποστειλάριον β΄.

Τὸν λίθον θεωρήσασαι ἀποκεκυλισμένον, αἱ μυροφόροι ἔχαιρον. εἶδον γὰρ νεανίσκον καθήμενον ἐν τῷ τάφῳ, καὶ αὐτὸς ταύταις ἔφη. Ἰδοὺ Χριστὸς ἐγήγερται, εἴπατε σὺν τῷ Πέτρῳ τοῖς μαθηταῖς, ἐν τῷ ὄρει φθάσατε Γαλιλαίας, ἐκεῖ ὑμῖν ὀφθήσεται ὡς προεῖπε τοῖς φίλοις. θ΄. Ἄγγελος ἐκόμισε, τῇ παρθένῳ τὸ χαῖρε πρὸ τῆς Χριστοῦ συλλήψεως, ἄγγελος δὲ τὸν λίθον ἐκύλισε τοῦ τάφου, ἀντὶ λύπης ὁ μὲν γὰρ χαρᾶς ἀφράστου σύμβολα, ὁ δὲ ἀντὶ θανάτου σε χορηγὸν τῆς ζωῆς κηρύττων, καὶ μεγαλύνων, καὶ λέγων τὴν ἀνάστασιν, γυναιξὶ καὶ τοῖς μύσταις.

Ἑωθινὸν β΄. Ἦχος β΄.

Μετὰ μύρων προσελθούσαις, ταῖς περὶ τὴν Μαρίαν γυναιξί, καὶ διαπορουμέναις πῶς ἔσται αὐταῖς τυχεῖν τοῦ ἐφέτου, ὡράθη ὁ λίθος μετηρμένος, καὶ θεῖος νεανίας καταστέλλων τὸν θόρυβον αὐτῶν τῆς ψυχῆς, ἠγέρθη γάρ φησιν Ἰησοῦς ὁ κύριος. διὸ κηρύξατε τοῖς κήρυξιν αὐτοῦ μαθηταῖς, εἰς τὴν Γαλιλαίαν δραμεῖν, καὶ ὄψεσθαι αὐτόν. ἀναστάντα ἐκ νεκρῶν, ὡς ζωοδότην καὶ κύριον.

Ἐξαποστειλάριον γ΄.

Ὅτι Χριστὸς ἐγήγερται, μήτις διαπιστείτω, ἐφάνη τῇ Μαρίᾳ γάρ, ἔπειτα καθωράθη, τοῖς εἰς ἀγρὸν ἀπιοῦσι, μύσταις δὲ πάλιν ὤφθη ἀνακειμένοις ἕνδεκα, οὓς βαπτίζειν ἐκπέμψας. εἰς οὐρανοὺς ὅθεν καταβέβηκεν ἀνελήφθη, ἐπικυρῶν τὸ κήρυγμα, πλήθεσι τῶν σημείων. θ΄. Ὁ ἀνατείλας ἥλιος ἐκ παστοῦ νυμφίος, ἀπὸ τοῦ τάφου σήμερον, καὶ τὸν ᾅδην σκυλεύσας, καὶ θάνατον καταργήσας, σὲ τεκούσης πρεσβείαις φῶς ἡμῖν ἐξαπόστειλον, φῶς φωτίζον καρδίας καὶ ψυχάς. φῶς βαδίζειν ἅπαντας ἐμβιβάζων, ἐν τρίβοις προσταγμάτων σου, καὶ ὁδοὺς τῆς εἰρήνης.

Ἑωθινὸν γ΄. ἦχος γ΄.

Τῆς Μαγδαληνῆς Μαρίας, τὴν τοῦ σωτῆρος διαγγελιζομένης ἐκ νεκρῶν ἀνάστασιν, καὶ ἐμφάνειαν. διαπιστοῦντες οἱ μαθηταί. ὠνειδίζοντο τὸ τῆς καρδίας σκληρόν. ἀλλὰ τοῖς σημείοις καθοπλισθέντες, καὶ θαύμασι, πρὸς τὸ κήρυγμα ἀποστέλλονται. καὶ σὺ μὲν κύριε, πρὸς τὸν ἀρχίφωτον ἀνελήφθης πατέρα. οἱ δὲ ἐκήρυττον πανταχοῦ τὸν λόγον τοῖς θαύμασι πιστούμενοι. διὸ οἱ φωτισθέντες δι᾿ αὐτῶν, δοξάζομέν σου τὴν ἐκ νεκρῶν ἀνάστασιν, φιλάνθρωπε κύριε.

Ἐξαποστειλάριον δ΄.

Ταῖς ἀρεταῖς ἀστράψαντες, ἴδωμεν ἐπιστάντας, ἐν ζωηφόρῳ μνήματι, ἄνδρας ἐναστραπτούσαις ἐσθήσεσι μυροφόροις κλινούσαις εἰς γῆν ὄψιν, τοῦ

σαυρόν σου ἡμῖν δέδωκας· φρίττε γὰρ καὶ τρέμει μὴ φέρων, καθορᾷν αὐτοῦ τὴν δύναμιν· ὅτι νεκροὺς ἀνιστᾷ, καὶ θάνατον κατήργησε· διὰ τοῦτο προσκυνοῦμεν τὴν ταφήν σου, καὶ τὴν ἔγερσιν.

Αἰνεῖτε τὸν θεόν.

Ο ἄγγελός σου κύριε, ὁ τὴν ἀνάστασιν κηρύξας· τοὺς μὲν φύλακας ἐφόβησε, τὰς δὲ γυναῖκας ἐφώνησε λέγων· τί ζητεῖτε τὸν ζῶντα μετὰ τῶν νεκρῶν; ἀνέστη θεὸς ὤν, καὶ τῇ οἰκουμένῃ ζωὴν ἐδωρήσατο.

Ετερα στιχηρὰ ἀνατολικά. ἦχος ὁ αὐτός. στίχος. Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις.

Ε Παθες διὰ σταυροῦ ὁ ἀπαθὴς τῇ θεότητι, ταφὴν κατεδέξω σήμερον, ἵνα ἡμᾶς ἐλευθερώσῃς ἐκ τῆς δουλείας τοῦ ἐχθροῦ, καὶ ἀθανατίσας ζωοποιήσῃς ἡμᾶς Χριστὲ ὁ θεὸς, διὰ τῆς ἀναστάσεώς σου φιλάνθρωπε, Εν ἤχῳ σάλπιγγος.


Π ροσκυνῶ καὶ δοξάζω, καὶ ἀνυμνῶ Χριστὲ τὴν σὴν ἐκ τάφου ἀνάστασιν, δι' ἧς ἠλευθέρωσας ἡμᾶς ἐκ τῶν τοῦ ᾅδου ἀλύτων δεσμῶν, καὶ ἐδωρήσω τῷ κόσμῳ τὸ μέγα ἔλεος.

Εν τυμπάνῳ.

Τ ὸ ζωδόχον σου μνῆμα φρουροῦντες οἱ παράνομοι, σὺν τῇ κουστωδίᾳ ἐσφραγίσαντο τοῦτο, σὺ δὲ ὡς ἀθάνατος θεὸς καὶ παντοδύναμος ἀνέστης σήμερος. Εν κυμβάλοις.

Π ορευθέντες σου ἐν πύλαις ᾅδου κύριε, καὶ ταύτας συντρίψαντος, ὁ αἰχμάλωτος οὕτως ἐβόα. τίς ἐστιν οὗτος; ὅτι οὐ καταδικάζεται ἐν τοῖς κατωτάτοις τῆς γῆς, ἀλλὰ καὶ ὡς σκηνὴν κατέλυσε τοῦ θανάτου τὸ δεσμωτήριον, ἐδεξάμην αὐτὸν ὡς θνητόν, καὶ τρέμω ὡς θεὸν παντοδύναμε ἐλέησον ἡμᾶς.

Τέλος τῆς Αναστασίμου ἠ. ἤχου.



Αρχὴ τῶν ἀναστασίμων ἐξαποστειλαρίων, καὶ τῶν ἑωθινῶν ἰδιομέλων, τῶν ια. εἰσὶ μὲν τὰ ἑωθινὰ λέοντος τοῦ σοφωτάτου βασιλέως. τὰ δὲ ἐξαποστειλάρια τοῦ υἱοῦ αὐτοῦ Κωνσταντίνου βασιλέως.

Εξαποστειλάριον α.

Τ Οῖς μαθηταῖς συνέλθωμεν, ἐν ὄρει Γαλιλαίας πίστει Χριστὸν θεάσασθαι λέγοντα ἐξουσίαν λαβεῖν τῶν ἄνω καὶ κάτω. μάθωμεν πῶς διδάσκει, βαπτίζειν εἰς τὸ ὄνομα, τοῦ πατρὸς ἔθνη πάντα, καὶ τοῦ υἱοῦ, καὶ ἁγίου πνεύματος, καὶ συνεῖναι τοῖς μύσταις, ὡς ὑπέσχετο ἕως τῆς συντελείας. θ'. Τ οῖς μαθηταῖς συνέχαιρες, θεοτόκε παρθένε, ὅτι Χριστὸν ἑώρακας, ἀναστάντα ἐκ τάφου, σήμερον καθὼς εἶπεν, οἷς καὶ ὤφθη διδάσκων, καὶ φανερὸν τὰ κρείττονα, καὶ βαπτίζειν κελεύων, ἐν τῷ πατρὶ, καὶ υἱῷ, καὶ πνεύματι, τοῦ πιστεύειν, αὐτοῦ ἡμᾶς τὴν ἔγερσιν, καὶ δοξάζειν σε κόρη.

τρὸς, καὶ συμβασιλεῦον ὁμοούσιον πνεῦμα. οἱ παῖδες εὐλογεῖτε.

ἄλλος. ὁ εἱρμὸς. Νικηταὶ τυράννου.

ΤΟν ἐπὶ τοῦ ξύλου, χεῖρας μοι ἐκτείναντα, τῷ γυμνωθέντι, περισκαλουμένόν με, τῇ αὐτοῦ εὐσχήμονι θάλψαι γυμνώσει. εὐλογεῖτε πάντα τὰ ἔργα κυρίου τὸν κύριον. θ΄ Τοῦ Ἀδὰμ παρθένε, τοῦ παραπεσόντος μου ὤφθης θυγάτηρ. τοῦ θεοῦ δὲ μήτηρ, τοῦ ἀνακαινίσαντός μου τὴν οὐσίαν. ὃν ὑμνοῦμεν πάντα τὰ ἔργα.

ᾠδὴ θ΄. ὁ εἱρμός.

ΕΞέστη ἐπὶ τούτῳ ὁ οὐρανὸς, καὶ τῆς γῆς κατεπλάγη τὰ πέρατα, ὅτι θεὸς ὤφθη τοῖς ἀνθρώποις σωματικῶς, καὶ ἡ γαστήρ σου γέγονεν, εὐρυχωτέρα τῶν οὐρανῶν. διό σε θεοτόκε, ἀγγέλων καὶ ἀνθρώπων, ταξιαρχίαι μεγαλύνουσιν.

ΤΗ θείᾳ καὶ ἀνάρχῳ φύσει ἁπλοῦς, πεφυκὼς συνετέθης προσλήψει σαρκὸς, ἐν σεαυτῷ ταύτην ὑποστήσας λόγε θεοῦ, καὶ πεπονθὼς ὡς ἄνθρωπος ἔμεινας ἐκτὸς πάθους ὡς θεός. διό σε ἐν οὐσίαις δυσὶν ἀδιαιρέτως, καὶ ἀσυγχύτως μεγαλύνομεν. Πατέρα κατ᾽ οὐσίαν τὸν θεῖκὴν, ὡς δὲ φύσει, γινόμενος ἄνθρωπος. ἔφης θεὸς, ὕψιστε τοῖς δούλοις συγκαταβαίνων, ἐξαναστὰς τοῦ μνήματος, χάριτι πατέρα τῶν γηγενῶν, τιθεὶς τὸν κατὰ φύσιν, θεόν τε καὶ δεσπότην. μεθ᾽ οὗ σε πάντες μεγαλύνομεν. θ΄. Ὡραιώθης ὦ παρθένε μήτηρ θεοῦ, ὑπὲρ φύσιν τεκοῦσα ἐν σώματι, τὸν ἀγαθὸν λόγον ἐκ καρδίας τῆς ἑαυτοῦ, ὃν ὁ πατὴρ ἠρεύξατο, πάντων πρὸ αἰώνων ὡς ἀγαθὸς, ὃν νῷ καὶ τῶν σωμάτων, ἐπέκεινα νοοῦμεν, εἰ καὶ τὸ σῶμα περιβέβληται.

ἄλλος. ὁ εἱρμός. Ἔφριξε πᾶσα ἀκοή.

ΘΕοῦ σε φύσει τὸν υἱὸν, συλληφθέντα ἐν γαστρὶ ἐπιστάμεθα, τῆς θεομήτορος, καὶ γεγονότα δι᾽ ἡμᾶς ἄνθρωπον. καὶ καθορῶντες ἐν σταυρῷ, τῇ φύσει μὲν πάσχοντα τῆς ἀνθρωπότητος, ἀπαθῆ δὲ ὡς θεὸν διαμείναντα. θ΄ Ἔντεινε, καὶ κατευοδοῦ, καὶ βασίλευε υἱὲ θεομήτορος, Ἰσμαηλίτην λαὸν καθυποτάττων, τὸν πολεμοῦντα ἡμᾶς. φιλευσεβοῦντι βασιλεῖ, ὡς ὅπλον ἀνίκητον ἐπαγομένῳ σου, σὺν τῇ λόγχῃ τὸν σταυρὸν χαριζόμενος.

Εἰς τοὺς αἴνους. πᾶσα πνοή. στιχηρὰ ἀναστάσιμα. ἦχος πλάγιος. δ΄. στίχος. Τοῦ ποιῆσαι ἐκδίκησιν.

ΚΥριε εἰ καὶ κριτηρίῳ παρέστης ὑπὸ Πιλάτου κρινόμενος. ἀλλ᾽ οὐκ ἀπελείφθης τοῦ θρόνου τῷ πατρὶ συγκαθεζόμενος, καὶ ἀναστὰς ἐκ νεκρῶν, τὸν κόσμον ἠλευθέρωσας ἐκ τῆς δουλείας τοῦ ἀλλοτρίου, ὡς οἰκτίρμων, καὶ φιλάνθρωπος. Τοῦ δῆσαι.

ΚΥριε εἰ καὶ ὡς νεκρὸν ἐν μνημείῳ Ἰουδαῖοι σε κατέθεντο, ἀλλ᾽ ὡς βασιλέα ὑπνοῦντα στρατιῶται ἐφύλαττον. καὶ ὡς ζωῆς θησαυρὸν σφραγῖδι ἐσφραγίσαντο. ἀλλὰ ἀνέστης καὶ παρέσχες ἀφθαρσίαν ταῖς ψυχαῖς ἡμῶν.

Τοῦ ποιῆσαι ἐν αὐτοῖς.

ΚΥριε ὅπλον κατὰ τοῦ διαβόλου τὸν

ποις συγχαίρουσιν ἄγγελοι ἐν τῇ ἐκ νεκρῶν ἐγέρσει σου πολυέλεε.

Ὁ οἶκος αὐτὸς μόνος ὑπάρχεις ἀθάνατος.

Τὰ τοῦ ᾅδου σκυλεύσας βασίλεια, καὶ νεκροὺς ἀναστήσας ἀθάνατε, γυναιξὶ μυροφόροις ὑπήντησας, ἀντὶ λύπης χαρὰν παρεχόμενος, καὶ ἀποστόλοις σου ἐμήνυσας τὰ τῆς νίκης σωτὴρ μου σύμβολα, καὶ τὴν κτίσιν φωτὶ κατελάμπρυνας, διὰ τοῦτο καὶ κόσμος συγχαίρει σοι, τῇ ἐκ νεκρῶν ἐγέρσει σου πολυέλεε.

ᾠδὴ ζ΄. ὁ εἱρμός.

Θεοῦ συγκατάβασιν, τὸ πῦρ ᾐδέσθη ἐν Βαβυλῶνι ποτέ, διὰ τοῦτο οἱ παῖδες ἐν τῇ καμίνῳ ἀγαλλομένῳ ποδὶ ὡς ἐν λειμῶνι χορεύοντες ἔψαλλον. εὐλογητὸς εἶ ὁ θεὸς ὁ τῶν πατέρων ἡμῶν.

Ἡ ἔνδοξος κένωσις, ὁ θεῖος πλοῦτος τῆς σῆς πτωχείας Χριστέ, καταπλήττει ἀγγέλους σταυρῷ ὁρῶντας σε καθηλούμενον. διὰ τὸ σῶσαι τοὺς πίστει κραυγάζοντας. εὐλογητὸς εἶ ὁ θεὸς ὁ τῶν πατέρων ἡμῶν. Τῇ θείᾳ καθόδῳ σου, φωτὸς ἐπλήσθη τὰ καταχθόνια, καὶ τὸ σκότος ἠλάθη, τὸ πρὶν διῶκον, ὅθεν ἀνέστησαν, οἱ ἀπ᾽ αἰῶνος δεσμῶται κραυγάζοντες. εὐλογητὸς εἶ ὁ θεὸς ὁ τῶν πατέρων ἡμῶν. Ἁπάντων μὲν κύριος, ἑνὸς δὲ μόνου, μονογενοῦς υἱοῦ, ὀρθοδόξως πατέρα θεολογοῦντες σε καταγγέλλομεν, καὶ ἓν εἰδότες, σοῦ καὶ υἱοῦ ἐκπορευόμενον, πνεῦμα εὐθὲς, συμφυὲς καὶ συναΐδιον.

ἄλλος. ὁ εἱρμός. Οἱ ἐκ τῆς Ἰουδαίας.

Σωτηρίαν εἰργάσω, μέσον τῆς οἰκουμένης προφητικῶς βοῶμεν ὑψωθεὶς γὰρ ἐν ξύλῳ, πάντας ἀνεκαλέσω τοὺς ἐν πίστει κραυγάζοντας. εὐλογητὸς εἶ ὁ θεὸς ὁ τῶν πατέρων ἡμῶν. θ΄. Ἰσουργὸς τῷ τεκόντι, ἰσοδύναμος λόγος καὶ συναΐδιος ἐν μήτρᾳ τῆς παρθένου, πατρὸς τῇ εὐδοκίᾳ πλαστουργεῖται καὶ πνεύματος. ὁ τῶν πατέρων ἡμῶν θεὸς εὐλογητὸς εἶ.

ᾠδὴ η΄. ὁ εἱρμός.

Ἑπταπλασίως κάμινον, τῶν χαλδαίων ὁ τύραννος τοῖς θεοσεβέσιν ἐμμανῶς ἐξέκαυσε. δυνάμει δὲ κρείττονι, περισωθέντας τούτους ἰδὼν. τὸν δημιουργὸν, καὶ λυτρωτὴν ἀνεβόα. οἱ παῖδες εὐλογεῖτε. ἱερεῖς ἀνυμνεῖτε. λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Τῆς Ἰησοῦ θεότητος, ἡ ὑπέρθεος, δύναμις ἐν τοῖς καθ᾽ ἡμᾶς θεοπρεπῶς ἐξέλαμψεν· σαρκὶ γὰρ γευσάμενος, ὑπὲρ παντὸς θανάτου σταυροῦ, ἔλυσε τοῦ ᾅδου, τὴν ἰσχὺν. ὃν ἀπαύστως οἱ παῖδες εὐλογεῖτε. Ὁ σταυρωθεὶς ἐγήγερται, ὁ μεγάλαυχος πέπτωκεν, ὁ καταπεσὼν, καὶ συντριβεὶς ἀνόρθωται, φθορὰ ἐξωστράκισται, καὶ ἀφθαρσία ἐξήνθησεν, ὑπὸ τῆς ζωῆς γὰρ, τὸ θνητὸν κατεπόθη. οἱ παῖδες εὐλογεῖτε ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας. Τῆς εἰσοφαγῆ θεότητος, ἑνιαίαν ἐκλάμπουσαν αἴγλην, ἐκ μιᾶς τρισυποστάτου φύσεως, γεννήτορα ἄναρχον, ὁμοφυῆ τε λόγον πατρὸς,

ᾠδὴ ε΄. ὁ εἱρμὸς.

Ἵνα τί με ἀπώσω, ἀπὸ τοῦ προσώπου σου, τὸ φῶς τὸ ἄδυτον, καὶ ἐκάλυψέ με, τὸ ἀλλότριον σκότος τὸν δείλαιον. ἀλλ' ἐπίστρεψόν με, καὶ πρὸς τὸ φῶς τῶν ἐντολῶν σου, τὰς ὁδούς μου κατεύθυνον δέομαι.

Γεγυμνῶσθαι ἰμάτων, χλαῖναν πρὸς τὸν πάθους σου σῶτερ παιζόμενος, τὴν τοῦ πρωτοπλάστου, περιστέλλων ἀσχήμονα γύμνωσιν, καὶ γυμνὸς παγῆναι, ἐν τῷ σταυρῷ ἀπαμφιάζων, τὸν χιτῶνα Χριστὲ τῆς νεκρώσεως. Ἐκ χοὸς τοῦ θανάτου, σὺ τὴν πεπτωκυῖαν ἀνῳκοδόμησας, ἀνέστας οὐσίαν, καὶ ἀγήρω Χριστὲ καταστοιχειώσας, ἀναδείξας πάλιν βασιλικὴν, ὡς πρὸς εἰκόνα ἀφθαρσίας φωτὶ ἀπαστράπτουσαν. Θ΄. Μητρικὴν παῤῥησίαν, τὴν πρὸς τὸν υἱόν σου κεκτημένη πάναγνε, συγγενοῦς προνοίας τῆς ἡμῶν μὴ παρίδῃς δεόμεθα. ὅτι σὲ καὶ μόνην, χριστιανοὶ πρὸς τὸν δεσπότην, ἱλασμὸν δεομένοι προβαλλόμεθα.

ἄλλος. ὁ εἱρμὸς. Φώτισον ἡμᾶς τοῖς.

Ὁδήγησον ἡμᾶς, τῇ δυνάμει τοῦ σταυροῦ σου Χριστὲ, δι' αὐτοῦ γάρ σοι προσπίπτομεν, τὴν σὴν εἰρήνην παράσχου ἡμῖν φιλάνθρωπε. Θ΄. Δυσώπησον ἁγνὴ, τὸν υἱόν σου καὶ θεὸν ἡμῶν, ἀπειρόγαμε Μαρία σεμνὴ, τοῦ καταπέμψαι ἡμῖν τοῖς πιστοῖς τὸ μέγα ἔλεος.

ᾠδὴ ς΄. ὁ εἱρμὸς.

Ἱλάσθητί μοι σωτὴρ, πολλαὶ γὰρ αἱ ἀνομίαι μου, καὶ ἐκ βυθοῦ τῶν κακῶν ἀνάγαγέ δέομαι, πρὸς σὲ γὰρ ἐβόησα, καὶ ἐπάκουσόν μου, ὁ θεὸς τῆς σωτηρίας μου.

Διὰ ξύλου κρατυνθεὶς, καθεῖλε με ὁ ἀρχαίκακος. αὐτὸς δὲ ἀναρτηθεὶς, Χριστὲ κραταιότερον σταυρῷ καταβέβληκας, δογματίσας τὸν, τὸν πεσόντα ἀνέστησας. Θ΄ φωτίσας τὴν Σιὼν, ἐξανατείλας τὸ μνῆμα τοῖς, καὶ νῦν αὐτὴ παλαιὰς τελέσας ὡς εὐαγγελισμὸς, τῷ θείῳ σου αἵματι, καὶ νῦν βασιλεύεις ἐν αὐτῇ εἰς τοὺς αἰῶνας Χριστέ. Θ΄. Ῥυσθείημεν τῶν δεινῶν πταισμάτων ταῖς ἱκεσίαις σου, θεογεννῆτορ ἁγνὴ, καὶ τύχοιμεν πάναγνε τῆς θείας ἐλλάμψεως, τοῦ ἐκ σοῦ ἀφράστως σαρκωθέντος υἱοῦ τοῦ θεοῦ.

ἄλλος. ὁ εἱρμός. Τὴν δέησιν.

Παλάμας ἐν τῷ σταυρῷ ἐξεπέτασας, ἰάσεων τὴν ἀκρατῶς ταθεῖσαν, ἐν τῇ Ἐδὲμ χεῖρα τοῦ πρωτοπλάστου, καὶ τῆς ἰδίας χολῆς ἀπηγεύσω Χριστὲ, καὶ ἔσωσας ὡς δυνατὸς, τοὺς δοξάζοντάς σου τὰ παθήματα. Θ΄. Μὴ παύσῃ ὑπὲρ ἡμῶν πρεσβεύουσα, παναγία θεοτόκε παρθένε, ὅτι πιστῶν τὸ στήριγμα σὺ ὑπάρχεις, καὶ τῇ ἐλπίδι τῇ σῇ κραταιούμεθα, καὶ πόθῳ σε καὶ τὸν ἐκ σοῦ σαρκωθέντα ἀπαύστως δοξάζομεν.

Τὸ κοντάκιον. ἦχος πλάγιος δ΄. Ὡς ἀπαρχάς.

Ἐξαναστὰς τοῦ μνήματος, τοὺς τεθνεῶτας ἤγειρας, καὶ τοῦ θανάτου τὸ κράτος συνέτριψας, καὶ τὸν Ἀδὰμ ἀνέστησας, καὶ ἡ Εὔα χορεύει ἐν τῇ σῇ ἀναστάσει, καὶ κόσμου τὰ πέρατα πανηγυρίζουσι, καὶ ἀνθρώποις

μοῦσιν ἀνελλιπῶς, τὸν κτίστην γὰρ τούτων, ὡς περ βρέφος ἐν ταῖς ἀγκάλαις σου ἐβάστασας.

ᾠδὴ γ. ὁ εἱρμός.

Ὁ στερεώσας κατ' ἀρχὰς, τοὺς οὐρανοὺς ἐν συνέσει, καὶ τὴν γῆν ἐπὶ ὑδάτων ἑδράσας, ἐν τῇ πέτρα με Χριστὲ, τῆς ἐκκλησίας στήριξον. ὅτι οὐκ ἔστι πλὴν σοῦ, ἅγιος μόνε φιλάνθρωπε.

Κατακριθέντα τὸν Ἀδὰμ, τῇ γεύσει τῆς ἁμαρτίας, τῆς σαρκός σου τὸ σωτήριον πάθος, ἐδικαίωσε Χριστέ. αὐτὸς γὰρ οὐχ ὑπόδικος, τῆς τοῦ θανάτου πείρας, πέφυκας ὁ ἀναμάρτητος. Τῆς ἀναστάσεως τὸ φῶς ἐξέλαμψε, τοῖς ἐν σκότει τοῦ θανάτου, καὶ σκιᾷ καθημένοις. ὁ θεός μου Ἰησοῦς, καὶ τῇ αὐτοῦ θεότητι, τὸν ἰσχυρὸν δεσμεύσας, τούτου τὰ σκεύη διήρπασε. θ'. Τῶν χερουβὶμ καὶ σεραφὶμ ἐδείχθης ὑψηλοτέρα θεοτόκε. σὺ γὰρ μόνη ἐδέξω τὸν ἀχώρητον θεὸν, ἐν σῇ γαστρὶ ἀμόλυντε. διὸ πιστοί σε πάντες ὕμνοις ἀεὶ μακαρίζομεν.

ἄλλος. ὁ εἱρμός. Οὐρανίας ἁψῖδος.

Ἀπειθήσαντα πρώην, τῇ ἐντολῇ κύριε, τοῦ πεποιηκότος με ὄντως σου ἀπεξένωσας, ὃν μορφωσάμενος ὑπακοὴν τε παιδεύσας, σεαυτῷ ἀνέπλασας διὰ σταυρώσεως. θ'. Ἐνοικήσας παρθένῳ σωματικῶς κύριε, ὤφθης τοῖς ἀνθρώποις ὡς ἔπρεπε θεαθῆναί σε, ἣν καὶ ἀνέδειξας ὡς ἀληθῶς θεοτόκον, καὶ πιστῶν βοήθειαν, μόνε φιλάνθρωπε.

ᾠδὴ δ'. ὁ εἱρμός.

Σύ μου ἰσχὺς κύριε, σύ μου καὶ δύναμις. σὺ θεός μου, σύ μου ἀγαλλίαμα. ὁ πατρικοὺς κόλπους μὴ λιπών, καὶ τὴν ἡμετέραν πτωχείαν ἐπισκεψάμενος. διὸ σὺν τῷ προφήτῃ, Ἀββακοὺμ σοι κραυγάζω. τῇ δυνάμει σου δόξα φιλάνθρωπε. Σὺ δυσμενῆ, ὄντα με λίαν ἠγάπησας. σὺ κενώσει ξένῃ καταβέβηκας ἐπὶ τῆς γῆς, εὐσπλαγχνε σωτὴρ τῆς ἐσχάτης μου, τὴν ὕβριν μὴ ἀπαξιωσάμενος. καὶ μείνας ἐν τῷ ὕψει τῆς ἀφράστου σοῦ δόξης, τὸν πρὶν ἠτιμωμένον ἐδόξασας. Τίς καθορῶν, δέσποτα νῦν οὐκ ἐξίσταται, διὰ πάθους θάνατον λυόμενον. διὰ σταυροῦ φεύγουσαν φθορὰν, καὶ διὰ θανάτου, τὸν ᾅδην πλοῦτον κενούμενον, τῆς θείας δυναστείας, σοῦ τοῦ ἐσταυρωμένου, τὸ ἐξαίσιον ἔργον φιλάνθρωπε. θ'. Σὺ τῶν πιστῶν, καύχημα πέλεις ἀνύμφευτε, σὺ προστάτις, σὺ καὶ καταφύγιον, χριστιανῶν τεῖχος, καὶ λιμήν. πρὸς γὰρ τὸν υἱόν σου, ἐντεύξεις φέρεις πανάμωμε, καὶ σώζεις ἐκ κινδύνων τοὺς ἐν πίστει καὶ πόθῳ θεοτόκον ἁγνὴν σε δοξάζοντας.

ἄλλος. ὁ εἱρμός. Εἰσακήκοα κύριε.

Τῷ σταυρῷ σε προσήλωσαν, οἱ τῶν παρανόμων παῖδες φιλάνθρωπε. δι' οὗ ἔσωσας ὡς εὔσπλαγχνος, τοὺς δοξάζοντάς σου τὰ παθήματα. Τὸν θεὸν, ὃν ἐκύησας ἄχραντε Μαρία τοῦτον δυσώπησον, τοῖς οἰκέταις σου δωρήσασθαι, τῶν πλημμελημάτων τὴν συγχώρησιν.

ἐκβαθέων. Ἐπὶ τὴν μητέρα αὐτοῦ ἰδὼν δμώων πᾶς, αὖθις ἀναλύσει τοῦ λαβεῖν βασάνοις, ἢ γέρα τῶν βεβιωμένων.

Εἰς τὸ ἀποκαλακτισμένον.

Ἁγίῳ πνεύματι, θεολογία μονὰς τρισαγία. ὁ πατὴρ γὰρ ἄναρχος, ἐξ οὗ ἔφυ ὁ υἱὸς ἀχρόνως, καὶ τὸ πνεῦμα σύμμορφον, σύνθρονον, ἐκ πατρὸς συνεκλάμψαν.

Δόξα τὸ αὐτό. Ἀντίφωνον δ΄.

Ἰδοὺ δὴ τί καλὸν; ἢ τί τερπνόν; ἀλλ' ἢ τὸ κατοικεῖν ἀδελφοὺς ἅμα. ἐν τούτῳ γὰρ κύριος ἐπηγγείλατο ζωὴν αἰωνίαν. Τὸ αὐτό. Τοῦ ἐνδύματος αὐτοῦ, ὁ τὰ κρίνα τοῦ ἀγροῦ κοσμῶν, κελεύει μὴ δεῖν φροντίζειν.

Ὡς μύρον ἐπὶ κεφαλῆς τὸ καταβαῖνον ἐπὶ πώγωνα τὸν πώγωνα τοῦ Ἀαρών, τὸ καταβαῖνον ἐπὶ τὴν ᾤαν.

Ἁγίῳ πνεύματι, ἐνορᾶ δ᾽ εἰ αἰτία πάντα ἔχεται εἰρήνην βραβεύσας θεός. τοῦτο γάρ ἐστι, πατρί τε καὶ υἱῷ, ὁμοούσιον κυρίως.

Δόξα τὸ αὐτό. Προκείμενον. ἦχος πλαγίου δ΄.

Βασιλεύσει κύριος εἰς τὸν αἰῶνα, ὁ θεός σου Σιὼν εἰς γενεὰν καὶ γενεάν. Στίχος. Αἴνει ἡ ψυχή μου τὸν κύριον. Πᾶσα πνοή. Τὸ ἑωθινὸν εὐαγγέλιον. ἀνάστασιν Χριστοῦ. ὁ ν΄. τὰ πεντηκοστάρια. ἦχος πλαγίου δ΄. δόξα.

Τῇ ἀναστάσει σου Χριστὲ ὁ θεὸς ἡμῶν τὸν κόσμον ἐφώτισας, καὶ τὸν θάνατον ἐνέκρωσας, ὡς δυνατὸς καὶ παντοδύναμος. καὶ νῦν. Ἡ ζωὴ τῶν ζώντων καὶ τῶν θανέντων ἀνάστασις, ὡς ἐκ τάφου τῆς ἁμαρτίας, ἀνάστησόν δέομαι, ὁ θεὸς καὶ ἐλέησόν με.

Κανὼν ὁ ἀναστάσιμος. ἦχος πλαγ. δ΄.

ᾠδὴ α΄. ὁ εἱρμός.

Ἁρματηλάτην Φαραὼ ἐβύθισε, τερατουργοῦσά ποτε. Μωσαϊκὴ ῥάβδος, σταυροτύπως πλήξασα, καὶ διελοῦσα θάλασσαν. Ἰσραὴλ δὲ φυγάδα, πεζὸν ὁδίτην διέσωσεν ᾆσμα τῷ θεῷ ἀναπέμποντα.

Τὴν παντοδύναμον Χριστοῦ θεότητα, πῶς μὴ θαυμάσωμεν; ἐκ μὲν παθῶν πᾶσι, τοῖς πιστοῖς ἀπάθειαν, καὶ ἀφθαρσίαν βλύζουσαν, ἐκ πλευρᾶς δὲ ἁγίας πηγὴν ἀθάνατον στάζουσαν, καὶ ζωὴν ἐκ τάφου ἀΐδιον.

Ὡς εὐπρεπὴς ταῖς γυναιξὶν ὁ ἄγγελος νῦν ἐπεφαίνετο, καὶ τηλαυγῆ φέρων, τῆς ἐμφύτου σύμβολα, ἀΰλου καθαρότητος, τῇ μορφῇ δὲ μηνύων, τὸ φέγγος τῆς ἀναστάσεως. κράζων ἐξηγέρθη ὁ κύριος. Δεδοξασμένα περὶ σοῦ λελάληνται, ἐν γενεαῖς γενεῶν, ἡ τὸν θεὸν λόγον ἐν γαστρὶ χωρήσασα. ἁγνὴ δὲ διαμείνασα, θεοτόκε Μαρία. διό σε πάντες γεραίρομεν, τὴν μετὰ θεὸν προστασίαν ἡμῶν.

Ἕτερος Κανὼν σταυροαναστάσιμος. ἦχος πλαγίου δ΄. ᾠδὴ α΄. ὁ εἱρμός. Τμηθείσῃ διδοῦσας.

Ἐπτήρθησαν πύλαι ὀδυνηραί, καὶ ἔφριξαν ᾅδου, καθορῶντές σε πυλωροί. ἐν τοῖς κατωτάτοις τὸν ἐν ὕψει, τῆς τῶν ἁπάντων ἐπέκεινα φύσεως. Τάξεις σε ἀγγέλων, καὶ τῶν βροτῶν. ἀνυμνοῦσι τε μῆτερ, ἀφημοῦσιν

σε θεοτόκον, πρέσβευσαι ὑπὲρ ἡμῶν. καὶ σῶσον σωτὴρ ἡμῶν λαὸν ἀπεγνωσμένον.

Καὶ μετὰ τὴν συνήθη στιχολογίαν ἡ ὑπακοή. ἦχος πλαγίος δ΄.

Αἱ μυροφόροι τοῦ ζωοδότου ἐπιστᾶσαι τῷ μνήματι. τὸν δεσπότην ἐζήτουν, ἐν νεκροῖς τὸν ἀθάνατον, καὶ χαρᾶς εὐαγγέλια ἐκ τοῦ ἀγγέλου δεξάμεναι, τοῖς ἀποστόλοις ἐμήνυον, ὅτι ἀνέστη Χριστὸς ὁ θεός. παρέχων τῷ κόσμῳ τὸ μέγα ἔλεος.

Καθίσματα ἀναστάσιμα. ἦχος πλαγίος δ΄. στίχος. Ἀνάστηθι κύριε ὁ θεός μου ὑψωθήτω.

Ἀνέστης ἐκ νεκρῶν ἡ ζωὴ τῶν ἁπάντων, καὶ ἄγγελος φωτὸς, ταῖς γυναιξὶν ἐβόα. παύσασθε τῶν δακρύων, τοῖς ἀποστόλοις εὐαγγελίσασθε. κράξατε ἀνυμνοῦσαι. ὅτι ἀνέστη Χριστὸς ὁ κύριος, ὁ εὐδοκήσας σῶσαι, ὡς θεὸς τὸ γένος τῶν ἀνθρώπων.

Αὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ κύριος.

Ἄνθρωποι τὸ μνῆμα σου σωτὴρ ἐσφραγίσαντο. ἄγγελος τὸν λίθον ἐκ τῆς θύρας ἀπεκύλισε. γυναῖκες ἐθεάσαντό σε ἐγηγερμένον ἐκ νεκρῶν. καὶ αὗται εὐηγγελίσαντο τοῖς μαθηταῖς σου ἐν Σιών. ὅτι ἀνέστης ἡ ζωὴ τῶν ἁπάντων. καὶ διελύθη τὰ δεσμὰ τοῦ θανάτου. κύριε δόξα σοι. Δόξα καὶ νῦν θ΄.

Ἐπὶ σοὶ χαίρει κεχαριτωμένη πᾶσα ἡ κτίσις, ἀγγέλων τὸ σύστημα, καὶ ἀνθρώπων τὸ γένος, ἡγιασμένε ναὲ, καὶ παράδεισε λογικέ. παρθενικὸν καύχημα. ἐξ ἧς θεὸς ἐσαρκώθη. καὶ παιδίον γέγονεν, ὁ πρὸ αἰώνων ὑπάρχων θεὸς ἡμῶν. τὴν γὰρ σὴν μήτραν θρόνον ἐποίησε, καὶ τὴν σὴν γαστέρα πλατυτέραν οὐρανῶν ἀπειργάσατο. ἐπὶ σοὶ χαίρει κεχαριτωμένη πᾶσα ἡ κτίσις δόξα σοι.

Οἱ ἀναβαθμοὶ, ἀντίφωνον. α΄. ἦχος πλαγίος δ΄.

Ἐκ νεότητός μου ὁ ἐχθρὸς με πειράζει, ταῖς ἡδοναῖς φλέγει με. ἐγὼ δὲ πεποιθὼς ἐν σοὶ κύριε τροποῦμαι τοῦτον. Πλεονάκις ἐπολέμησάν με.

Οἱ μισοῦντες Σιὼν, γενηθήτωσαν δὴ πρὶν, ἐκσπασθῆναι ὡς χόρτος οὓς κόψει γὰρ Χριστὸς, αὐχένας αὐτῶν τομῇ βασάνων.

Αἰσχυνθήτωσαν καὶ ἀποστραφήτωσαν εἰς τὰ ὀπίσω πάντες.

Ἁγίῳ πνεύματι τὸ ζῆν τὰ πάντα, φῶς ἐκ φωτὸς θεὸς μέγας. σὺν πατρὶ ὑμνοῦμεν αὐτὸ καὶ τῷ λόγῳ.

Δόξα τὸ αὐτό. Ἀντίφωνον β΄.

Ἡ καρδία μου τῷ φόβῳ σου σκεπέσθω, ταπεινοφρονοῦσα, μὴ ὑψωθεῖσα ἀποπέσοι ἐκ σοῦ πανοικτίρμον.

Κύριε οὐχ ὑψώθη.

Ἐπὶ τὸν κύριον ὁ ἐσχηκὼς ἐλπίδα, οὐ δείσει τότε, ὅτε πυρὶ τὰ πάντα, κρινεῖ καὶ κολάσει.

Ἐλπισάτω Ἰσραήλ.

Ἁγίῳ πνεύματι πᾶς τις θεῖος βλέπει, καὶ προλέγει, τερατουργεῖ ὑψηλὰ, ἐν τρισὶν, ἕνα θεὸν μέλπων. εἰ γὰρ καὶ τριλάμπει μοναρχεῖ τὸ θεῖον.

Δόξα τὸ αὐτό. Ἀντίφωνον γ΄.

Ἐκέκραξά σοι κύριε, πρόσχες κλῖνον μοι τὸ οὖς σου βοῶντι, καὶ κάθαρον πρὶν ἄρῃς με ἀπὸ τῶν ἐντεῦθεν.

ἐκβα-

καὶ σὲ προσκυνοῦμεν παντοδύναμε σωτήρ· μὴ ἀποῤῥίψῃς ἡμᾶς ἀπὸ τοῦ προσώπου σου, ἀλλ᾽ ἐπάκουσον, καὶ σῶσον ἡμᾶς, διὰ τῆς ἀναστάσεώς σου φιλάνθρωπε.

Δόξα καὶ νῦν θ΄.

Ο βασιλεὺς τῶν οὐρανῶν διὰ φιλανθρωπίαν, ἐπὶ τῆς γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συνανεστράφη. ἐκ παρθένου γὰρ ἁγνῆς, σάρκα προσλαβόμενος, καὶ ἐκ ταύτης προελθὼν μετὰ τῆς προσλήψεως. εἷς ἐστὶν υἱὸς, διπλοῦς τὴν φύσιν, ἀλλ᾽ οὐ τὴν ὑπόστασιν. διὸ τέλειον αὐτὸν θεὸν, καὶ τέλειον ἄνθρωπον, ἀληθῶς κηρύττοντες, ὁμολογοῦμεν Χριστὸν τὸν θεὸν ἡμῶν. ὃν ἱκέτευε μήτηρ ἀνύμφευτε ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἰς τὸν στίχον στιχηρὸν τοῦ στίχου. ἦχος πλαγίου δ΄.

Ἀνῆλθες ἐπὶ σταυρῷ Ἰησοῦ. ὁ καταβὰς ἐξ οὐρανοῦ. ἦλθες ἐπὶ θάνατον ἡ ζωὴ ἡ ἀθάνατος. πρὸς τοὺς ἐν σκότει τὸ φῶς τὸ ἀληθινόν. πρὸς τοὺς πεσόντας ἡ πάντων ἀνάστασις.

Τὰ κατὰ ἀλφάβητον. στίχος. Ὁ κύριος ἐβασίλευσεν.

Χριστὸν δοξολογήσωμεν τὸν ἀναστάντα ἐκ νεκρῶν, ψυχὴν καὶ σῶμα γὰρ ἀναλαβὼν, τῷ πάθει ἀπ᾽ ἀλλήλων διέτεμε. τῆς ἀχράντου μὲν ψυχῆς ἐν ᾅδῃ κατελθούσης, ὃν καὶ ἐσκύλευσε. τάφῳ δὲ διαφθορὰν οὐκ οἶδε τὸ ἅγιον σῶμα, τοῦ λυτρωτοῦ τῶν ψυχῶν ἡμῶν. Καὶ γὰρ ἐστερέωσε.

Ψαλμοῖς καὶ ὕμνοις δοξολογοῦμεν Χριστὲ, τὴν ἐκ νεκρῶν σου ἀνάστασιν. δι᾽ ἧς ἡμᾶς ἠλευθέρωσας τῆς τυραννίδος τοῦ ᾅδου, καὶ ὡς θεὸς ἐδωρήσω ζωὴν αἰώνιον καὶ τὸ μέγα ἔλεος. Τῷ οἴκῳ σου.

Ὦ δέσποτα τῶν ἁπάντων ἀκατάληπτε, ποιητὰ οὐρανοῦ καὶ γῆς, διὰ σταυροῦ παθὼν, ἐμοὶ ἀπάθειαν ἐπήγασας. ταφὴν δὲ καταδεξάμενος, καὶ ἀναστὰς ἐν δόξῃ, συναναστήσας τὸν Ἀδὰμ χειρὶ παντοδυνάμῳ. δόξα τῇ σῇ τριημέρῳ ἐγέρσει, δι᾽ ἧς δεδώρησαι ἡμῖν τὴν αἰώνιον ζωὴν, καὶ ἱλασμὸν ἁμαρτιῶν ὡς μόνος εὔσπλαγχνος.

Δόξα καὶ νῦν θ΄.

Ἀνύμφευτε παρθένε, ἡ τὸν θεὸν ἀφράστως συλλαβοῦσα σαρκὶ, μήτηρ θεοῦ τοῦ ὑψίστου, σῶν οἰκετῶν παρακλήσεις δέχου πανάμωμε, ἡ πᾶσι χορηγοῦσα καθαρισμὸν τῶν πταισμάτων, νῦν τὰς ἡμῶν ἱκεσίας προσδεχομένη, δυσώπει σωθῆναι πάντας ἡμᾶς.

Εἰς τὸ ἀπόδειπνον ὁ κανὼν τῆς θεοτόκου.

Εἰς τὸν ὄρθρον, εἰς τὸ θεὸς κύριος. τροπάριον. ἦχος πλαγίου δ΄.

Ἐξ ὕψους κατῆλθες ὁ εὔσπλαγχνος. ταφὴν κατεδέξω τριήμερον. ἵνα ἡμᾶς ἐλευθερώσῃς τῶν παθῶν, ἡ ζωὴ, καὶ ἡ ἀνάστασις ἡμῶν δόξα σοι. θ΄. Ὁ δι᾽ ἡμᾶς γεννηθεὶς ἐκ παρθένου, καὶ σταύρωσιν ὑπομείνας ἀγαθὲ, ὁ θανάτῳ τὸν θάνατον σκυλεύσας, καὶ ἔγερσιν δείξας, ὡς θεὸς, μὴ παρίδῃς οὓς ἔπλασας τῇ χειρί σου. δεῖξον τὴν φιλανθρωπίαν σου ἐλεῆμον, δέξαι τὴν τεκοῦσάν

σε θεο-

ἐκ τῆς τοῦ ᾅδου ἀλύτων δεσμῶν, καὶ ἐδωρήσατο τῷ κόσμῳ ὡς θεός, ζωὴν αἰώνιον, καὶ τὸ μέγα ἔλεος.

Ἐν τυμπάνῳ.

Ἐξαστράπτων ἄγγελος ἐν τῷ λίθῳ ἐκάθητο τοῦ ζωοδόχου μνήματος, καὶ γυναιξὶ μυροφόροις διηγγελίζετο, λέγων· ἀνέστη ὁ κύριος καθὼς προεῖπεν ὑμῖν. ἀπαγγείλατε τοῖς μαθηταῖς αὐτοῦ, ὅτι προάγει ὑμᾶς εἰς τὴν γαλιλαίαν. τῷ δὲ κόσμῳ παρέχει ζωὴν αἰώνιον, καὶ τὸ μέγα ἔλεος.

Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις.

Τί ἀπεδοκιμάσατε τὸν λίθον τὸν ἀκρογωνιαῖον ὦ παράνομοι Ἰουδαῖοι; ἰδοὺ οὗτός ἐστιν ὃν ἔθετο ὁ θεὸς ἐν Σιών, ὁ ἐκ πέτρας πηγάσας ἐν ἐρήμῳ τὸ ὕδωρ, καὶ ἡμῖν ἀναβλύζων ἐκ τῆς πλευρᾶς αὐτοῦ ἀθανασίαν. οὗτός ἐστιν ὁ λίθος, ὁ ἐξ ὄρους παρθενικοῦ ἀποτμηθεὶς ἄνευ θελήματος ἀνδρός. ὁ υἱὸς τοῦ ἀνθρώπου, ὁ ἐρχόμενος ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ, πρὸς τὸν παλαιὸν τῶν ἡμερῶν, καθὼς εἶπε Δανιήλ, καὶ αἰώνιος αὐτοῦ ἡ βασιλεία.

Δόξα τῷ ἁγίῳ. καὶ νῦν ὑπερευλογημένη. εἰδ' οὐκ ἔχεις δόξαν τοῦ ἁγίου. λέγε δόξα καὶ νῦν τὸ αὐτὸ δ'. Ὑπερευλογημένη. δοξολογία μεγάλη, τὰ λοιπὰ καὶ ἀπόλυσις.



Τῷ Σαββάτῳ ἑσπέρας εἰς τὸ κύριε ἐκέκραξα στιχηρὰ ἀναστάσιμα. ἦχος πλαγίου δ'.

Ἑσπερινὸν ὕμνον, καὶ λογικὴν λατρείαν σοὶ Χριστὲ προσφέρομεν, ὅτι ηὐδόκησας, τοῦ ἐλεῆσαι ἡμᾶς διὰ τῆς ἀναστάσεως. Κύριε κύριε μὴ ἀπορρίψῃς ἡμᾶς ἀπὸ τοῦ προσώπου σου, ἀλλ' εὐδόκησον τοῦ ἐλεῆσαι ἡμᾶς διὰ τῆς ἀναστάσεως. Χαῖρε Σιὼν ἁγία, μήτηρ τῶν ἐκκλησιῶν, θεοῦ κατοικητήριον. σὺ γὰρ ἐδέξω πρώτη ἄφεσιν ἁμαρτιῶν διὰ τῆς ἀναστάσεως.

Ἕτερα στιχηρὰ ἀνατολικά. ἦχος πλαγίου δ'.

Ὁ ἐκ θεοῦ πατρὸς λόγος πρὸ τῶν αἰώνων γεννηθείς, ἐπ' ἐσχάτων δὲ τῶν χρόνων ὁ αὐτὸς ἐκ τῆς ἀπειρογάμου σαρκωθείς, βουλήσει σταύρωσιν θανάτου ὑπέμεινε, καὶ τὸν πάλαι νεκρωθέντα ἄνθρωπον ἔσωσε, διὰ τῆς ἑαυτοῦ ἀναστάσεως. Τὴν ἐκ νεκρῶν σου ἀνάστασιν δοξολογοῦμεν Χριστέ, δι' ἧς ἠλευθέρωσας Ἀδαμιαῖον γένος ἐκ τῆς τοῦ ᾅδου τυραννίδος, καὶ ἐδωρήσω τῷ κόσμῳ ὡς θεὸς ζωὴν αἰώνιον, καὶ τὸ μέγα ἔλεος. Δόξα σοι Χριστὲ σωτήρ, υἱὲ θεοῦ μονογενές, ὁ προσπαγεὶς ἐν τῷ σταυρῷ, καὶ ἀναστὰς ἐκ τάφου τριήμερος. Σὲ δοξάζομεν κύριε, τὸν ἑκουσίως δι' ἡμᾶς σταυρὸν ὑπομείναντα,

Οἱ τῇ θεότητι πάθημα προσαρμόζοντες, ὀπισθομίζεσθε πάντες ἀλλοτριόφρονες, κύριον δόξης γὰρ σαρκὶ ἐσταυρωμένον. ἀσταύρωτον δὲ φύσει τῇ θείᾳ, ὡς ἐν δύο, ἕνα φύσεσι μεγαλύνομεν. Οἱ τῶν σωμάτων τὴν ἔγερσιν ἀθετήσαντες, πρὸς τὸ Χριστοῦ πορευθέντες μνῆμα διδάχθητε, ὅτι νενέκρωται, καὶ ἤγερται πάλιν, ἡ σὰρξ τοῦ ζωοδότου. εἰς πίστωσιν ἐσχάτης ἀναστάσεως, ἣν ἐλπίζομεν. Οὐ θεοτήτων τριάδα, ἀλλ᾽ ὑποστάσεων, οὐ δὲ μονάδα προσώπων, ἀλλὰ θεότητος σέβοντες, τέμνομεν τοὺς ταύτην διαιροῦντας. συγχέομεν δὲ πάλιν, τοὺς σύγχυσιν τολμῶντας κατὰ ταύτης. ἣν μεγαλύνομεν.

ἄλλος. Μήτηρ θεοῦ, καὶ παρθένος.

Φῶς ἐκ φωτὸς, πατρικῆς ἀπαύγασμα δόξης ἀχρόνως ἐκλάμψας, ὡς ἐν σκότει τῷ βίῳ τῷ ἀνθρωπίνῳ Χριστὸς ἔλαμψε, καὶ τὸ δίωκον ἀπήλασε σκότος. ὃν ἀκαταπαύστως οἱ πιστοὶ μεγαλύνομεν. Πλὴν σοῦ θεὸν οὐ γινώσκω ἕτερον, ἡ ἐκκλησία βοᾷ σοι, ἐξ ἐθνῶν με ἀπίστων, οἰκείαν νύμφην ἐκλεξάμενον. δίδου οὖν λόγε πιστοῖς σωτηρίαν, σὲ τῆς κυησάσης πρεσβείαις ὡς εὔσπλαγχνος.

Εἰς τοὺς αἴνους στιχηρὰ ἀναστάσιμα. ἦχος βαρύς.

στίχος α΄. Τοῦ ποιῆσαι ἐν αὐτοῖς κρίμα ἔγγραπτον.

Ἀνέστη Χριστὸς ἐκ νεκρῶν λύσας θανάτου τὰ δεσμὰ, εὐαγγελίζου γῆ χαρὰν μεγάλην. αἰνεῖτε οὐρανοὶ θεοῦ τὴν δόξαν. Τοῦ δῆσαι.

Ἀνάστασιν Χριστοῦ θεασάμενοι, προσκυνήσωμεν ἅγιον κύριον Ἰησοῦν Χριστὸν τὸν μόνον ἀναμάρτητον.

Τοῦ ποιῆσαι ἐν αὐτοῖς.

Χριστοῦ τὴν ἀνάστασιν προσκυνοῦντες οὐ παυόμεθα. αὐτὸς γὰρ ἡμᾶς ἔσωσεν ἐκ τῶν ἀνομιῶν ἡμῶν, ἅγιος κύριος Ἰησοῦς. ὁ δείξας τὴν ἀνάστασιν.

Αἰνεῖτε. Τί ἀνταποδώσομεν τῷ κυρίῳ, περὶ πάντων ὧν ἀνταπέδωκεν ἡμῖν. δι᾽ ἡμᾶς θεὸς ἐν ἀνθρώποις, διὰ τὴν καταφθαρεῖσαν φύσιν, ὁ λόγος σὰρξ ἐγένετο, καὶ ἐσκήνωσεν ἐν ἡμῖν πρὸς τοὺς ἀχαρίστους ὁ εὐεργέτης. πρὸς τοὺς αἰχμαλώτους ὁ ἐλευθερωτής. πρὸς τοὺς ἐν σκότει καθημένους ὁ ἥλιος τῆς δικαιοσύνης, ἐπὶ τὸν σταυρὸν ὁ ἀπαθής. ἐπὶ τὸν ᾅδην τὸ φῶς. ἐπὶ τὸν θάνατον ἡ ζωὴ, ἡ ἀνάστασις διὰ τοὺς πεσόντας. πρὸς ὃν βοήσωμεν. ὁ θεὸς ἡμῶν δόξα σοι.

Ἕτερα στιχηρὰ ἀνατολικά. ἦχος βαρύς. στίχος. Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις.

Πύλας ᾅδου συνέτριψας κύριε, καὶ θανάτου τὸ κράτος κατήργησας, τῇ κραταιᾷ δυνάμει σου, καὶ συνήγειρας νεκροὺς τοὺς ἀπ᾽ αἰῶνος καθεύδοντας, τῇ θείᾳ καὶ ἐνδόξῳ ἀναστάσει σου, ὡς βασιλεὺς τοῦ παντὸς καὶ θεὸς, καὶ παντοδύναμος.

Ἐν ἤχῳ σάλπιγγος.

Δεῦτε ἀγαλλιασώμεθα τῷ κυρίῳ, καὶ εὐφρανθῶμεν ἐν τῇ ἀναστάσει αὐτοῦ. ὅτι συνήγειρε νεκροὺς ἐκ

τες. ὁ ὑπερυψούμενος, τῶν πατέρων θεὸς καὶ ὑπερένδοξος.

Ξύλῳ νεκροῦται Ἀδὰμ ἑκουσίως, παρακοὴν ἐργασάμενος, ὑπακοῇ δὲ Χριστοῦ ἀναπέπλασται, δι᾽ ἐμὲ σταυροῦται γὰρ, ὁ υἱὸς τοῦ θεοῦ, ὁ ὑπερένδοξος. Σὲ ἀναστάντα Χριστὲ ἐκ τοῦ τάφου, ἡ κτίσις πᾶσα ἀνύμνησε. σὺ γὰρ ζωὴν τοῖς ἐν ᾅδῃ ἐξεβλύσας. τοῖς νεκροῖς ἀνάστασιν. τοῖς ἐν σκότει τὸ φῶς, ὁ ὑπερένδοξος. θ΄. Χαῖρε θυγάτηρ Ἀδὰμ τοῦ φθαρέντος. χαῖρε ἡ μόνη θεόνυμφος. χαῖρε δι᾽ ἧς ἡ φθορὰ ἐξωστράκισται, ἡ θεὸν κυήσασα. ὃν δυσώπει ἁγνὴ σωθῆναι πάντας ἡμᾶς.

ἄλλος. ὁ εἱρμός. Οἱ ἐν καμίνῳ τοῦ πυρός.

Ο ἐν τῷ ξύλῳ τοῦ σταυροῦ ἁμαρτίας κέντρον ἀμβλυνάς, καὶ τῆς Ἀδὰμ παραβάσεως τὸ χειρόγραφον λύσας, λόγχῃ πλευρᾶς σου. εὐλογητὸς εἶ κύριε ὁ θεὸς τῶν πατέρων ἡμῶν. θ. Ι ὃν πρὸ ἡλίου φωτισμὸν, ἀνατέλλεις κόσμῳ θεοκυῆτορ. Χριστὸν τοῦ σκότους ῥυσάμενον. καὶ φωτίζοντα πάντας θεογνωσίᾳ. εὐλογητὸς εἶ κράζοντας, ὁ θεὸς τῶν πατέρων ἡμῶν.

ᾠδὴ η΄. ὁ εἱρμός.

Ἀφλεκτος πυρὶ, ἐν σινᾷ προσομιλοῦσα βάτος, θεὸν ἐγνώρισε, τῷ βραδυγλώσσῳ, καὶ δυσήχῳ Μωσῇ, καὶ παῖδας ζῆλος θεοῦ, τρεῖς ἀναλώτους ἐν πυρὶ ὑμνῳδοὺς ἔδειξεν. πάντα τὰ ἔργα κυρίου τὸν κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ἄχραντος ἀμνὸς λογικὸς ὑπὲρ τοῦ κόσμου σφαγιασθεὶς, κατέπαυσε, τὰ κατὰ νόμον προσφερόμενα. καθάρας τοῦτον χωρὶς παραπτωμάτων, ὡς θεὸς, εἰσαεὶ κράζοντα. πάντα τὰ ἔργα κυρίου τὸν κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς. Ἄφθαρτος οὐκ οὖσα, πρὸ πάθους ἡ ληφθεῖσα ὑπὸ τοῦ κτίσου σὰρξ ἡμῶν, μετὰ τὸ πάθος καὶ τὴν ἔγερσιν, ἀπρόσιτος τῇ φθορᾷ κατεσκευάσθη, καὶ θνητοὺς καινουργεῖ κράζοντας. πάντα τὰ ἔργα κυρίου, τὸν κύριον. θ΄. Σοῦ τὸ καθαρὸν καὶ πανάμωμον παρθένε, τὸ ῥυπαρὸν καὶ ἔμμυσον τῆς οἰκουμένης ἀπεκάθηρε καὶ γέγονας τῆς ἡμῶν πρὸς τὸν θεὸν καταλλαγῆς αἰτία πάναγνε. πάντα τὰ ἔργα, διό σε, παρθένε εὐλογοῦμεν καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

ἄλλος. ὁ εἱρμός. Τὸν μόνον ἄναρχον.

Τὸν ὑπομείναντα ἑκουσίως τὰ πάθη, καὶ ἐν σταυρῷ προσηλωθέντα βουλήσει, καὶ λύσαντα τὰς τοῦ ᾅδου δυνάμεις. ὑμνεῖτε ἱερεῖς, λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας. θ΄. Τὸν μόνον εὐσπλαγχνον, προαιώνιον λόγον, τὸν ἐπ᾽ ἐσχάτων ἐκ παρθένου τεχθέντα, καὶ λύσαντα τὴν ἀρχαίαν κατάραν. ὑμνεῖτε ἱερεῖς, λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας. ᾠδὴ θ΄. ὁ εἱρμός.

Μὴ τῆς φθορᾶς διὰ πεῖραν κυοφορήσασα, καὶ πεπτωκότα λόγῳ σάρκα δανείσασα, μῆτερ ἀπείρανδρε παρθένε θεοτόκε. δοχεῖον τοῦ ἀσέκτου, χωρίον τοῦ ἀπείρου πλάσουργοῦ σου, σὲ μεγαλύνομεν.

δοῦσι πρὸς σὲ ὀρθρίζω, καὶ ἀνυμνῶ σου τὴν θεότητα. Τῇ θεϊκῇ σου δυνάμει Χριστὲ, δι' ἀσθενείας σαρκὸς τὸν ἰσχυρὸν κατέβαλες, καὶ νικητήν με θανάτου, σῶτερ δι' ἀναστάσεως ἔδειξας. θ'. Θεὸν ἐγέννησας μήτηρ ἁγνὴ, σεσαρκωμένον ἐκ σοῦ θεοπρεπῶς πανύμνητε. ἐπεὶ οὐκ ἔγνω ἄρρενος εὐνὴν, ἀλλ' ἐξ ἁγίου κύεις πνεύματος.

ἄλλος. Κύριε ὁ θεός μου ἐκ νυκτ.

Ὅταν ἐν τοῖς ἀνόμοις, λογισθεὶς ὑψώθης ἐν κρανίῳ. φωστῆρες ἐκρύπτοντο, καὶ διεκλονεῖτο ἡ γῆ, καὶ ναοῦ φαιδρότης ἐῤῥάγη. ἑβραίων δηλοῦσα τὴν ἔκπτωσιν. θ'. Μήτηρ τοῦ βασιλέως, καὶ θεοῦ πανύμνητε θεοτόκε, τοῖς πίστει καὶ πόθῳ σε. ὕμνοις εὐφημοῦσιν ἀεὶ. ἱλασμὸν ταῖς σαῖς ἱκεσίαις τῶν παραπτωμάτων κατάπεμψον. ᾠδὴ ς'. ὁ εἱρμός.

Ναυτιῶντα σάλῳ τῶν βιωτικῶν μελημάτων, συμπλόοις, ποντούμενον ἁμαρτίαις, καὶ ψυχοφθόρῳ θηρὶ προσριπτόμενον, ὡς ὁ Ἰωνᾶς Χριστὲ βοῶ σοι ἐκ θανατηφόρου με βυθοῦ ἀνάγαγε.

Ἐμνημόνευόν σου αἱ κατακλεισθεῖσαι τῷ ᾅδῃ ψυχαί. καὶ ἐκλείπουσαι τῶν δικαίων, καὶ παρὰ σοῦ σωτηρίαν προσηύχοντο. ἣν διὰ σταυροῦ Χριστὲ παρέσχες, τοῖς καταχθονίοις ἐπιβὰς, ὡς εὐσπλαγχνος. Πρὸς τὸν ἔμψυχόν σου, καὶ ἀχειροποίητον δόμον λυθέντα παθήμασιν, ἐπιβλέψαι πάλιν, χορὸς ἀποστόλων ἀπήλπισεν, ἀλλ' ὑπὲρ ἐλπίδα προσκυνήσας ἐγηγερμένον πανταχοῦ ἐκή-ρυξε. θ'. Τοῦ ἀφράστου τόκου, σοῦ τῆς παναμώμου τὸν τρόπον, παρθένε θεόνυμφε, τοῦ δι' ἡμᾶς. τίς ἑρμηνεῦσαι ἀνθρώπων δυνήσεται; ὅτι ὁ θεὸς ἀπεριγράπτως λόγος ἑνωθεὶς σοι σὰρξ ἐκ σοῦ ἐγένετο.

ἄλλος. Ὁ Ἰωνᾶς ἐκ κοιλίας.

Ἐν τῷ σταυρῷ ὑψωθεὶς σωτὴρ ἑκουσίως, τὸ τοῦ ἐχθροῦ ᾐχμαλώτευσας κράτος. ἐν τούτῳ προσηλώσας τῆς ἁμαρτίας ἀγαθὲ τὸ χειρόγραφον. θ'. Ὃν ἔτεκες θεοτόκε ἀνερμηνεύτως θεόν. δυσωποῦσα μὴ παύσῃ, ῥυσθῆναι ἐκ κινδύνων τοὺς ἀνυμνοῦντάς σε ἁγνὴ ἀειπάρθενε. Κοντάκιον. ἦχος βαρύς.

Οὐκ ἔτι τὸ κράτος τοῦ θανάτου ἰσχύσει κατέχειν τοὺς βροτούς. Χριστὸς γὰρ κατῆλθε, συντρίβων καὶ λύων τὰς δυνάμεις αὐτοῦ. δεσμεῖται ὁ ᾅδης. προφῆται συμφώνως ἀγάλλονται, ἐπέστη, λέγοντες. σωτὴρ τοῖς ἐν πίστει. ἐξέρχεσθε οἱ πιστοὶ εἰς τὴν ἀνάστασιν. ὁ οἶκος.

Ἔφριξε κάτωθεν τὰ καταχθόνια σήμερον, ᾅδης καὶ ὁ θάνατος τὸν ἕνα τῆς τριάδος. ἡ γῆ ἐκλονεῖτο. πυλωροὶ δὲ ᾅδου, ἰδόντες σε ἐπτήξαν. ἡ κτίσις δὲ πᾶσα σὺν τοῖς προφήταις, χαίρουσα ψάλλει σοι ἐπινίκιον ᾠδὴν, τῷ λυτρωτῇ ἡμῶν θεῷ, τῷ καταλύσαντι νῦν θανάτου τὴν δύναμιν. ἀλαλάξωμεν καὶ βοήσωμεν, τῷ Ἀδὰμ. ξύλον τοῦτον εἰσήγαγεν, ἐξέρχεσθε οἱ πιστοὶ εἰς τὴν ἀνάστασιν.

ᾠδὴ ζ'. ὁ εἱρμός.

Κάμινον παῖδες πυρίφλεκτον πάλαι δροσοβολοῦσαν ὑπέδειξαν. ἕνα θεὸν ὑμνοῦντες καὶ λέγοντες.

ᾠδὴ γ΄. ὁ εἱρμός.

Ὁ καταρχὰς τοῖς οὐρανοῖς παντοδυνάμῳ σου λόγῳ, στερεώσας κύριε πάτερ. καὶ τῷ παντουργῷ καὶ θείῳ πνεύματι, πᾶσαν τὴν δύναμιν αὐτῶν, ἐν ἀσαλεύτῳ με πέτρᾳ τῆς ὁμολογίας σου στερέωσον.

Σὺ ἀνελθὼν ἐπὶ ξύλου, ὑπὲρ ἡμῶν ὀδυνᾶσαι, ἑκουσίως εὔσπλαγχνε σωτὴρ, καὶ φέρεις πληγὴν, εἰρήνης πρόξενον, καὶ σωτηρίας τοῖς πιστοῖς, δι' ἧς τῷ σῷ ἐλεήμον, πάντες κατηλλάγημεν γεννήτορι. Σύ με καθήρας τῆς πληγῆς, τὸν τῇ ψυχῇ τετρωμένον δρακοντίῳ δήγματι Χριστὲ, καὶ ἔδειξας φῶς ἐν σκότει πάλαι μοι κατῳκισμένῳ καὶ φθορᾷ, διὰ σταυροῦ γὰρ εἰς ᾅδην καταβεβηκώς με συνανέστησας. θ΄. Τῆς ἀπειράνδρου σου μητρὸς ταῖς ἱκεσίαις, τῷ κόσμῳ τὴν εἰρήνην βράβευσον σωτὴρ. καὶ τῷ βασιλεῖ τὴν νίκην δώρησαι, κατὰ βαρβάρων δυσμενῶν, καὶ τῆς ἀφράστου σου δόξης, τοὺς δοξολογοῦντάς σε ἀξίωσον.

ἄλλος. ὁ εἱρμός. Ὁ οὐρανοὺς τῷ λόγῳ στερεώσας.

Ὁ ἐν σταυρῷ τὰ πάθη ὑπομείνας, καὶ τῷ λῃστῇ τὸν παράδεισον ἀνοίξας, ὡς εὐεργέτης καὶ θεὸς. στερέωσόν μου τὸν νοῦν εἰς τὸ θέλημά σου, μόνε φιλάνθρωπε. θ΄. Ἡ τὸν θεὸν ἀσπόρως συλλαβοῦσα, καὶ τῆς ἀρᾶς τὴν Εὔαν ῥυσαμένη, παρθενομῆτορ Μαριὰμ, δυσώπησον τὸν ἐκ σοῦ σαρκωθέντα, σῶσαι τὴν ποίμνην σου.

ᾠδὴ δ΄. ὁ εἱρμός.

Ὁ πατρικοῖς κόλποις μὴ λιπὼν, καὶ καταβὰς ἐπὶ τῆς γῆς Χριστὲ ὁ θεός. τὸ μυστήριον ἀκήκοα τῆς οἰκονομίας σου, καὶ ἐδόξασά σε μόνε φιλάνθρωπε.

Τὸν ἑαυτοῦ νῶτον δεδωκὼς, ὁ ἐκ παρθένου σαρκωθεὶς εἰς μάστιγας. δούλου πταίσαντος αἰκίζεται δεσπότης ἀναίτιος, διαλύων μου τὰ ἐγκλήματα. Παρεστηκὼς βήματι κριτῶν παρανομούντων, ὡς κριτὸς εὐθύνεται, καὶ ῥαπίζεται πηλίνῃ χειρὶ ὁ πλάσας τὸν ἄνθρωπον, ὡς θεὸς καὶ κρίνων δικαίως τὴν γῆν. θ΄. Ὡς ἀληθῶς μήτηρ τοῦ θεοῦ, τὸν ποιητήν σου καὶ υἱὸν ἱκέτευε, πρὸς σωτήριον ἰθῦναι με λιμένα πανάμωμε, τοῦ αὐτοῦ ἐνδόξου θελήματος.

ἄλλος. Κατανοῶν ὁ προφήτης.

Ἐπὶ σταυροῦ ἀνηρτήθης, καὶ τοῦ προπάτορος Ἀδὰμ ἔλυσας ἁμαρτίαν. ὅτι πάντας τοῦ σῶσαι τοὺς χρηστούς σου ἐλήλυθας. θ΄. Σὺ γεννηθεὶς ἐκ παρθένου θνήσκεις, ζωοῖς δὲ τὸν Ἀδὰμ, γνώμῃ τὸν πλανηθέντα, καὶ γὰρ κατέπτυξε θάνατος τὴν ἰσχύν σου. ὅτι πάντας τοῦ σῶσαι τοὺς φθαρέντας ἐλήλυθας.

ᾠδὴ ε΄. ὁ εἱρμός.

Νὺξ ἀφεγγὴς τοῖς ἀπίστοις Χριστέ· τοῖς δὲ πιστοῖς φωτισμὸς ἐν τῇ τρυφῇ τῶν λογίων σου. διὰ τοῦτο πρὸς σὲ ὀρθρίζω, καὶ ἀνυμνῶ σου τὴν θεότητα.

Ὑπὲρ σῶν δούλων πιπράσκῃ Χριστὲ, καὶ ῥαπισμὸν καρτερεῖς, ἐλευθερίας πρόξενον. τοῖς μελῳ-

δοῦσι

στείας, μετὰ δακρύων, οὗτος χαρᾶς δρέψεται, δράγματα ἀειζωοτροφίας.

Ἐπιστρέψον κύριε τὴν αἰχμαλωσίαν ἡμῶν, ὡς χειμάρρους.

Ἁγίῳ πνεύματι, πηγὴ τῶν θείων θησαυρισμάτων. ἐξ οὗ σοφία, σύνεσις, φόβος αὐτῷ αἴνεσις, δόξα, τιμή, καὶ κράτος.

Δόξα τὸ αὐτό. Ἀντίφωνον β'. ἦχος βαρύς.

Ἐὰν μὴ κύριος οἰκοδομήσῃ οἶκον τῆς ψυχῆς, μάτην κοπιῶμεν. πλὴν γὰρ αὐτοῦ, οὐ πρᾶξις, οὐ λόγος τελεῖται.

Εἰς μάτην ἐκοπίασαν οἱ οἰκοδομοῦντες. Τοῦ καρποῦ τῆς γαστρός, οἱ ἅγιοι πνευματοκινήτως ἀναβλαστοῦσι πατρῷα δόγματα, υἱοθεσίας.

Ἰδοὺ ἡ κληρονομία κυρίου υἱοί.

Ἁγίῳ πνεύματι τὰ σύμπαντα τὸ εἶναι ἔχει, πρὸ πάντων γὰρ θεὸς τῶν ὅλων κυριότης, φῶς ἀπρόσιτον ζωὴ τῶν πάντων.

Δόξα τὸ αὐτό. Ἀντίφωνον γ'. ἦχος βαρύς.

Οἱ φοβούμενοι τὸν κύριον, ὁδοὺς ζωῆς εὑρόντες, νῦν καὶ ἀεὶ μακαρίζονται, δόξῃ ἀκηράτῳ. Μακάριοι πάντες.

Κύκλῳ τῆς τραπέζης σου, ὡς στελέχη βλέπων τὰ ἔγγονά σου, χαῖρε εὐφραίνου, προσάγων ταῦτα, τῷ Χριστῷ ποιμενάρχῃ. Οἱ υἱοί σου ὡς νεόφυτα ἐλαιῶν. Ἁγίῳ πνεύματι, βυθὸς χαρισμάτων, πλοῦτος δόξης, κριμάτων βάθος μέγα, ὁμόδοξον πατρί, καὶ υἱῷ λατρεύεται γάρ.

Δόξα τὸ αὐτό. Προκείμενον. ἦχος βαρύς. Ἀνάστηθι κύριε ὁ θεός μου. στίχος. Ἐξομολογήσομαί σοι κύριε.

Πᾶσα πνοή: Τὸ ἑωθινὸν εὐαγγέλιον. Ἀνάστασιν Χριστοῦ. ὁ ν'. τὸ πεντηκοστάριον. δόξα.

Ὁ τριήμερος ταφῇ σου σκυλεύσας τὸν ᾅδην, καὶ τῇ ἐγέρσει σου σώσας τὸν ἄνθρωπον ἐλέησόν με. καὶ νῦν. Τὴν ταφήν σου δοξάζω, καὶ τὴν ἀνάστασίν σου μεγαλύνω. ζωοδότα κύριε ἐλέησόν με.

Κανὼν ἀναστάσιμος. ἦχος βαρύς. ᾠδὴ α'. ὁ εἱρμός.

Νεύσει σου πρὸς γεώδη ἀντιτυπίαν μετήχθη, ἡ πρὶν ὑγρὰ διάχυτος ὑδάτων φύσις κύριε. ὅθεν ἀβρόχως πεζεύσας, ᾄδει Ἰσραὴλ σοι ᾠδὴν ἐπινίκιον.

Κέκριται τοῦ θανάτου, ἡ τυραννὶς διὰ ξύλου, ἀδίκῳ θανάτῳ σου κατακριθέντος κύριε. ὅθεν ὁ ἄρχων τοῦ σκότους. σοῦ μὴ κατισχύσας, δικαίως ἐκβέβληται. Ἅδης σοι προσπελάσας, καὶ τοῖς ὀδοῦσι μὴ σθένων, συντρῖψαι τὸ σῶμα σου. τὰς σιαγόνας τέθλασται. ὅθεν σωτὴρ τὰς ὀδύνας λύσας τοῦ θανάτου, ἀνέστης τριήμερος. Θ.

Λέλυνται αἱ ὀδύναι, αἱ τῆς προμήτορος Εὔας, ὀδύνας λαθοῦσα γὰρ ἀπειρογάμως τέτοκας, ὅθεν σαφῶς θεοτόκον πάναγνε, εἰδότες σε πάντες δοξάζομεν. Ἕτερος κανὼν σταυροαναστάσιμος. ἦχος βαρύς. Ποντοπόρον καλύψας.

Δύο πηγὰς ἡμῖν ἐν σταυρῷ ἀνέβλυσεν, ὁ σωτὴρ ζωηφόρους ἐκ τῆς αὐτοῦ νυγείσης πλευρᾶς, ᾄσωμεν αὐτῷ. ὅτι δεδόξασται. Θ. Μόνη παρθένος, καὶ μετὰ τόκον ἐδείχθης. τὸν γὰρ κτίστην τοῦ κόσμου σεσαρκωμένον τέτοκας, χαῖρέ σοι. διὸ πάντες κραυγάζομεν.

ἠλευθέρωσε, διὰ τῆς αὐτῦ βιημέρου ἐγέρσεως. ζωὴν ἡμῖν δωρέμενος, καὶ τὸ μέγα ἔλεος.

Καὶ τὸ ἐστερέωσε τὴν οἰκουμένην.

Υπὸ τὸν ἅδην κατελθὼν Χριστὲ, θάνατον ἐσκύλευσας, καὶ βιήμερος ἀναστὰς, ἡμᾶς συναναστήσας, δοξάζοντας τὴν σὴν παντοδύναμον ἔγερσιν κύριε δόξα σοι.

Τῷ οἴκῳ σου πρέπει ἁγίασμα κύριε.

Φοβερὸς ὤφθης κύριε, ἐν τάφῳ κείμενος, ὡς ὁ ὑπνῶν, ἀναστὰς δὲ τριήμερος ὡς δυνατός. Τὸν Αδὰμ συνανέστησας κραυγάζοντα. δόξα τῇ ἀναστάσει σου μόνε φιλάνθρωπε.

Δόξα καὶ νῦν θ. ἦχος βαρύς.

Υπὸ τὴν σὴν δέσποινα σκέπην, πάντες οἱ γηγενεῖς προστρεφόμενοι, βοῶμεν σοι θεοτόκε, ἡ ἐλπὶς ἡμῶν. ῥῦσαι ἡμᾶς ἐξ ἀμέτρων πταισμάτων, καὶ σῶσον τὰς ψυχὰς ἡμῶν.

Εἰς τὸ ἀπόδειπνον κανὼν τῆς θεοτόκου.

Εἰς τὸν ὄρθρον. εἰς τὸ θεὸς κύριος. Τὸ ἀναστάσιμον τροπάριον. ἦχος βαρύς. δίς.

Κατέλυσας τῷ σταυρῷ σου τὸν θάνατον. ἠνέῳξας τῷ λῃστῇ τὸν παράδεισον, τῶν μυροφόρων τὸν θρῆνον μετέβαλες, καὶ τοῖς σοῖς ἀποστόλοις κηρύττειν ἐπέταξας. ὅτι ἀνέστης, ὡς θεός. παρέχων τῷ κόσμῳ τὸ μέγα ἔλεος. Δ. Διὰ τῆς ἡμῶν ἀναστάσεως θησαύρισμα, τοὺς ἐπὶ σοὶ πεποιθότας πανύμνητε, ἐκλάκκου καὶ βυθοῦ πταισμάτων ἀνάγαγε. σὺ γὰρ τοὺς ὑπευθύνοις τῇ ἁμαρτίᾳ ἔσωσας. τεκοῦσα τὴν σωτηρίαν, ἡ πρὸ τόκου παρθένος, καὶ ἐν τόκῳ παρθένος, καὶ μετὰ τόκον παρθένος.

Καὶ μετὰ τὴν συνήθη στιχολογίαν ἡ ὑπακοὴ ἡ ἀναστασίμος. ἦχος βαρύς.

Ο ἡμετέραν μορφὴν ἀναλαβὼν, καὶ ὑπομείνας σταυρὸν σωματικῶς. σῶσόν με τῇ ἀναστάσει σου Χριστὲ ὁ θεὸς, ὡς φιλάνθρωπος. Καθίσματα ἀναστάσιμα. στίχος ά. Ανάστηθι κύριε ὁ θεός μου. ὑψωθήτω ἡ χείρ σου.

Η ζωὴ ἐν τῷ τάφῳ ἀνέκειτο, καὶ σφραγὶς ἐν τῷ λίθῳ ἐπέκειτο, ὡς βασιλέα ὑπνοῦντα, οἱ στρατιῶται ἐφύλαττον Χριστόν. καὶ ἄγγελοι ἐδόξαζον, ὡς θεὸν ἀθάνατον. γυναῖκες δὲ ἐκραύγαζον, ἀνέστη ὁ κύριος. παρέχων τῷ κόσμῳ τὸ μέγα ἔλεος.

στίχος β. Αὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ κύριος.

Τῇ βιημέρῳ ταφῇ σου σκυλεύσας τὸν θάνατον, καὶ φθαρέντα τὸν ἄνθρωπον, τῇ ζωηφόρῳ ἐγέρσει σου, ἀναστήσας Χριστὲ ὁ θεὸς, ὡς φιλάνθρωπος. δόξα σοι.

Δόξα καὶ νῦν θεοτοκίον.

Τὸν σταυρωθέντα ὑπὲρ ἡμῶν, καὶ ἀναστάντα Χριστὸν τὸν θεὸν, καὶ καθελόντα τοῦ θανάτου τὸ κράτος. ἀπαύστως ἱκέτευε θεοτόκε παρθένε. ἵνα σώσῃ τὰς ψυχὰς ἡμῶν.

Οἱ ἀναβαθμοί. ἦχος βαρύς. Αντίφωνον ά.

Τὴν αἰχμαλωσίαν Σιὼν, ἐκ πλάνης ἐπιστρέψας, κἀμὲ σωτὴρ ζώωσον, ἐξαίρων δουλοπαθείας.

Εν τῷ ἐπιστρέψαι κύριον.

Εν τῷ νότῳ ὁ σπείρων θλίψεις νηστείας,



Τῷ Σαββάτῳ ἑσπέρας εἰς τὸ κύριε ἐκέκραξα στιχηρὰ ἀναστάσιμα. ἦχος βαρύς.

Δεῦτε ἀγαλλιασώμεθα, τῷ κυρίῳ, τῷ συντρίψαντι θανάτου τὸ κράτος, καὶ φωτίσαντι ἀνθρώπων τὸ γένος. μετὰ τῶν ἀσωμάτων κραυγάζοντες. δημιουργὲ καὶ σωτὴρ ἡμῶν δόξα σοι. Σταυρὸν ὑπέμεινας σωτὴρ, καὶ ταφὴν δι' ἡμᾶς. θανάτῳ δὲ ὡς θεὸς θάνατον ἐνέκρωσας. διὸ προσκυνοῦμεν τὴν τριήμερόν σου ἀνάστασιν. κύριε δόξα σοι. Απόστολοι ἰδόντες τὴν ἔγερσιν τοῦ δημιουργοῦ, ἐθαύμαζον, βοῶντες τὴν αἴνεσιν τὴν ἀγγελικήν. αὕτη ἡ δόξα τῆς ἐκκλησίας. οὗτος ὁ πλοῦτος τῆς βασιλείας. ὁ παθὼν δι' ἡμᾶς. κύριε δόξα σοι.

Ἕτερα ἀνατολικά. ἦχος βαρύς.

Κἂν συνελήφθης Χριστὲ ὑπὸ ἀνόμων ἀνδρῶν, ἀλλὰ σύ μου εἶ θεὸς, καὶ οὐκ αἰσχύνομαι, ἐμαστίχθης τὸν νῶτον, οὐκ ἀρνοῦμαι, σταυρῷ προσηλώθης, καὶ οὐ κρύπτω, εἰς τὴν ἔγερσίν σου καυχῶμαι. ὁ γὰρ θάνατός σου ζωή μου παντοδύναμε, καὶ φιλάνθρωπε. κύριε δόξα σοι. Δαβιτικὴν προφητείαν ἐκπληρῶν Χριστὸς, μεγαλειότητα ἐν Σιὼν τὴν οἰκείαν μαθηταῖς ἐξεκάλυψεν. αἰνετὸν δείκνυς ἑαυτὸν, καὶ δεδοξασμένον ἀεὶ σὺν πατρί τε, καὶ πνεύματι ἁγίῳ. πρότερον μὲν ἄσαρκον ὡς λόγον, ὕστερον δὲ δι' ἡμᾶς σεσαρκωμένον, καὶ νεκρωθέντα ὡς ἄνθρωπον, καὶ ἀναστάντα κατ' ἐξουσίαν ὡς φιλάνθρωπον. Κατῆλθες ἐν τῷ ᾅδῃ Χριστὲ, ὡς ἠβουλήθης, ἐσκύλευσας τὸν θάνατον, ὡς θεὸς καὶ δεσπότης, καὶ ἀνέστης τριήμερος συναναστήσας τὸν Ἀδὰμ, ἐκ τῶν τοῦ ᾅδου δεσμῶν καὶ τῆς φθορᾶς, κραυγάζοντα καὶ λέγοντα. δόξα τῇ ἀναστάσει σου, μόνε φιλάνθρωπε. Εν τῷ τάφῳ κατετέθης, ὡς ὁ ὑπνῶν κύριος, καὶ ἀνέστης τριήμερος, ὡς δυνατὸς ἐν ἰσχύϊ. συναναστήσας τὸν Ἀδὰμ ἐκ τῆς φθορᾶς τοῦ θανάτου, ὡς παντοδύναμος.

Δόξα καὶ νῦν θ'.

Μήτηρ μὲν ἐγνώσθης ὑπὲρ φύσιν θεοτόκε, ἔμεινας δὲ παρθένος ὑπὲρ λόγον καὶ ἔννοιαν, καὶ τὸ θαῦμα τοῦ τόκου σου ἑρμηνεῦσαι γλῶσσα οὐ δύναται. παραδόξου γὰρ οὔσης τῆς συλλήψεως ἁγνὴ, ἀκατάληπτος ἐστὶν ὁ τρόπος τῆς κυήσεως. ὅπου γὰρ βούλεται θεὸς, νικᾶται φύσεως τάξις. διό σε πάντες μητέρα τοῦ θεοῦ γινώσκοντες, δεόμεθά σου ἐκτενῶς, πρέσβευε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἰς τὸν στίχον στιχηρὸν τοῦ στίχου. ἦχος βαρύς.

Ανέστης ἐκ τοῦ τάφου σωτὴρ τοῦ κόσμου, καὶ συνήγειρας τοὺς ἀνθρώπους, σὺν τῇ σαρκί σου. κύριε δόξα σοι.

Τὰ κατὰ ἀλφάβητον. ἦχος βαρύς. στίχος. Ὁ κύριος ἐβασίλευσεν.

Τὸν ἀναστάντα ἐκ νεκρῶν, καὶ φωτίσαντα, δεῦτε προσκυνήσωμεν. ἐκ τῆς τοῦ ᾅδου γὰρ τυραννίδος ἡμᾶς ἠλευ-

Στίχος γʹ. Τοῦ ποιῆσαι ἐν αὐτοῖς κρίμα.

Σὺν πατρὶ, καὶ πνεύματι, Χριστὸν ἀνυμνήσωμεν τὸν ἀναστάντα ἐκ νεκρῶν, καὶ πρὸς αὐτὸν ἐκβοῶμεν, σὺ ζωὴ ὑπάρχεις ἡμῶν καὶ ἀνάστασις ἐλέησον ἡμᾶς.

Στίχος δʹ. Αἰνεῖτε τὸν θεὸν ἐν τοῖς ἁγίοις.

Τριήμερος ἀνέστης Χριστὲ, ἐκ τάφου καθὼς γέγραπται, συνεγείρας τὸν προπάτορα ἡμῶν. διό σε καὶ δοξάζει τὸ γένος τῶν ἀνθρώπων, καὶ ἀνυμνεῖ σου τὴν ἀνάστασιν.

Ἀνατολικά. στίχος εʹ. Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ.

Κύριε, μέγα καὶ φοβερὸν ὑπάρχει, τῆς σῆς ἀναστάσεως τὸ μυστήριον, οὕτω γὰρ προῆλθες ἐκ τοῦ τάφου, ὡς νυμφίος ἐκ παστάδος, θανάτῳ θάνατον λύσας, ἵνα τὸν Ἀδὰμ ἐλευθερώσῃς. ὅθεν ἐν οὐρανοῖς ἄγγελοι χορεύουσι, καὶ ἐπὶ γῆς ἄνθρωποι δοξάζουσι, τὴν εἰς ἡμᾶς συμπάθειάν σου φιλάνθρωπε·

Στίχος ϛʹ. Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος.

Ὦ παράνομοι Ἰουδαῖοι ποῦ εἰσὶν αἱ σφραγίδες, καὶ τὰ ἀργύρια, ἃ ἐδώκατε τοῖς στρατιώταις, οὐκ ἐκλάπη ὁ θησαυρὸς, ἀλλ' ἀνέστη ὡς δυνατός· αὐτοὶ δὲ καταισχυνθῆτε ἀρνησάμενοι Χριστὸν τὸν κύριον τῆς δόξης, τὸν παθόντα, καὶ ταφέντα, καὶ ἀναστάντα ἐκ νεκρῶν, αὐτὸν προσκυνήσωμεν.

Στίχος ζʹ. Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ.

Σφραγισθέντος τοῦ μνήματος, πῶς ἐσυλήθητε Ἰουδαῖοι, φύλακας καταστήσαντες, καὶ σημειωθέντες, τῶν θυρῶν κεκλεισμένων, προῆλθεν ὁ βασιλεὺς, ἢ ὡς νεκρὸν παραστήσατε, ἢ ὡς θεὸν προσκυνήσατε. σὺν ἡμῖν μελῳδοῦντες. δόξα κύριε τῷ σταυρῷ σου καὶ τῇ ἀναστάσει σου.

Στίχος ηʹ. Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ, αἰνεῖτε αὐτόν.

Τὸ ζωοδόχον σου μνῆμα, αἱ μυροφόροι γυναῖκες, ὀδυρόμεναι κατέλαβον κύριε, καὶ μύρα βαστάζουσαι, τὸ σῶμα σου τὸ ἄχραντον μυρίσαι ἐπεζήτουν. εὗρον δὲ φωτοφόρον ἄγγελον, ἐν τῷ λίθῳ καθήμενον, καὶ πρὸς αὐτὰς φθεγγόμενον, καὶ λέγοντα. τί δακρύετε τὸν ἐκ πλευρᾶς πηγάσαντα τῷ κόσμῳ τὴν ζωήν; τί ἐπιζητεῖτε ὥσπερ θνητὸν ἐν μνήματι τὸν ἀθάνατον; δραμοῦσαι δὲ μᾶλλον ἀπαγγείλατε τοῖς αὐτοῦ μαθηταῖς, τῆς αὐτοῦ ἐνδόξου ἀναστάσεως τὴν παγκόσμιον χαρμονὴν, ἐν ᾗ καὶ ἡμᾶς σωτὴρ φωτίσας δώρησαι, ἱλασμὸν καὶ τὸ μέγα ἔλεος.

Δόξα τῷ ἁγίῳ, καὶ νῦν θʹ. Ὑπερευλογημένη, εἰδ' οὐκ ἔχεις δόξαν τοῦ ἁγίου, λέγε δόξα καὶ νῦν. τὸ αὐτὸ θʹ: Ὑπερευλογημένη.

Τέλος τοῦ πλαγίου βʹ ἤχου.

Τῷ

τοὺς αἰῶνας. Δ. Ε κφωτὸς φωτοδότιω λόγον συνέλαβες. καὶ τεκοῦσα ἀφράστως τοῦτον ἐδόξασαι, πνεῦμα γὰρ ἐν σοὶ κόρη θεῖον ἐσκιώσεν. ὅθεν σὲ ὑμνοῦμεν εἰς πάντας τοὺς αἰῶνας. ἄλλος. Εκστηθι οὐρανέ.

Ε Φριξε πᾶσα ἀκοὴ, ὅπως ὁ ὕψιστος ἑκὼν ἦλθεν ἐπὶ γῆς, τοῦ ἅδου τὴν ἰσχὺν χειρώσασθαι, διὰ σαυροῦ, καὶ ταφῆς, καὶ πάντας διεγεῖραι κραυγάζειν. οἱ παῖδες εὐλογεῖτε, ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας. Ω τῆς ἀφάτου σου Χριστὲ φιλανθρωπότητος, καὶ ἀρρήτων ἀγαθῶν, ἐμὲ γὰρ καὶ θορῶν ὀλλύμενον ἐν τῇ τοῦ ἅδου φρουρᾷ τὰ πάθη ὑπομείνας ἐρρύσω. διό σε εὐλογοῦμεν τὸν τῶν ὅλων δεσπότην, καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

ᾠδὴ θ'. ὁ εἱρμός.

Θ Εὸν ἀνθρώποις ἰδεῖν ἀδύνατον οὐ τολμᾷ ἀγγέλων ἀτενίσαι τὰ τάγματα, διὰ σοῦ δὲ πάναγνε ὠράθη βροτοῖς, λόγος σεσαρκωμένος, ὃν μεγαλύνοντες, σὺν ταῖς οὐρανίαις στρατιαῖς σὲ μακαρίζομεν.

Ἅ Δου ἀμέτοχος, οὐ διέμεινας, λόγε θεοῦ σαρκὶ προσομιλήσας τοῖς πάθεσιν, ἀλλὰ λύεις τῶν παθῶν τὸν ἄνθρωπον, πάθεσι χρηματίσας, πάθος σωτὴρ ἡμῶν. μόνος γὰρ ὑπάρχεις ἀπαθὴς καὶ παντοδύναμος. Φθορὰν θανάτου καταδεξάμενος, διὰ φθορᾶς ἐτήρησας τὸ σῶμα σου ἄγευστον. ἡ δὲ σὴ ζωοποιὸς καὶ θεία ψυχὴ, δέσποτα ἐν τῷ ᾅδῃ οὐ καταλέλειπται, ἀλλ' ὥσπερ ἐξ ὕπνου ἀναστὰς ἡμᾶς συνήγειρας. Θ εὸν πατέρα, υἱὸν συνάναρχον, πάντες βροτοὶ ἐν χείλεσιν ἁγνοῖς μὲν δοξάζομεν. τὴν δὲ ἄρρητον καὶ ὑπερένδοξον πνεύματος παναγίου δύναμιν σέβομεν. μόνη γὰρ ὑπάρχεις παρθένης τριὰς ἀχώριστος.

ἄλλος. Μὴ ἐποδύρου μου μῆτερ.

Ε Ι καὶ ἐν τάφῳ κατῆλθες, ὡς θνητὸς ζωοδότα, ἀλλὰ τοῦ ᾅδου τὴν ἰσχὺν διέλυσας Χριστὲ, συνεγείρας νεκροὺς, οὓς καὶ συγκατέπιε. καὶ ἀνάστασιν πᾶσι παρέχεις ὡς θεὸς, τοῖς ἐν πίστει καὶ πόθῳ σε μεγαλύνουσι. Φ έρεις τὸν φέροντα πάντα, καὶ κατέχεις ὡς βρέφος ἐν ταῖς χερσὶ τὸν ἐκ χειρὸς ῥυόμενον ἡμᾶς, πολεμίου ἐχθροῦ ἄχραντε δέσποινα. ὁρᾷς ἐπὶ ξύλου ὑψούμενον σαυρῷ, τὸν ἐκ βόθρου κακίας ἡμᾶς ὑψώσαντα.

Εἰς τοὺς αἴνους. στιχηρὰ ἀναστάσιμα. ἦχος πλάγιος δ΄. στίχος α΄. Τοῦ ποιῆσαι ἐν αὐτοῖς κρίμα ἔγγραπτον.

Ο Σταυρός σου κύριε, ζωὴ καὶ ἀνάστασις ὑπάρχει τῷ λαῷ σου. καὶ ἐπ' αὐτῷ πεποιθότες. σὲ τὸν ἀναστάντα θεὸν ἡμῶν ὑμνοῦμεν ἐλέησον ἡμᾶς.

στίχος β΄. Τοῦ δῆσαι τοὺς βασιλεῖς.

Η Ταφή σου δέσποτα παράδεισον ἤνοιξε τῷ γένει τῶν ἀνθρώπων. καὶ ἐκ φθορᾶς λυτρωθέντες, σὲ τὸν ἀναστάντα θεὸν ἡμῶν ὑμνοῦμεν. ἐλέησον ἡμᾶς.

ἐχθρῶν συνέτριψας ἰσχὺν, ἔλεγξεν ἡ ἁγνή. ὦ υἱέ μου καὶ θεὲ, τάφου ἀνάστηθι.

Τὸ κοντάκιον. ἦχος πλαγίου β'. Τὴν [illegible].

Τῇ ζωαρχικῇ παλάμῃ τοὺς τεθνεῶτας, ἐκ τῶν ζοφερῶν κευθμώνων ὁ ζωοδότης ἀναστήσας ἅπαντας Χριστὸς ὁ θεὸς, τὴν ἀνάστασιν ἐβράβευσε τῷ βροτείῳ φυράματι. ὑπάρχει γὰρ πάντων σωτὴρ, ἀνάστασις καὶ ζωὴ, καὶ θεὸς τοῦ παντός.

Ὁ οἶκος. Τὸν σταυρὸν καὶ τὴν ταφήν σου ζωοδότα ἀνυμνοῦμεν οἱ πιστοί. καὶ προσκυνοῦμεν, ὅτι τὸν ᾅδην ἔδησας ἀθάνατε, ὡς θεὸς παντοδύναμος, καὶ νεκροὺς συνανέστησας, καὶ πύλας τοῦ θανάτου συνέτριψας, καὶ κράτος τοῦ ᾅδου καθεῖλες, ὡς θεὸς, οἱ γηγενεῖς δοξολογοῦμεν σε πόθῳ, τὸν ἀναστάντα καὶ καθελόντα ἐχθροῦ τὸ κράτος τοῦ πανώλους, καὶ πάντας ἀναστήσαντα, τοὺς ἐπὶ σοὶ πιστεύσαντας, καὶ κόσμον λυτρωσάμενον ἐκ τῶν βελῶν τοῦ ὄφεως, καὶ ἐκ τῆς πλάνης τοῦ ἐχθροῦ, ὡς θεὸς τοῦ παντός.

ᾠδὴ ζ'. ὁ εἱρμός.

Δε[illegible]λον μὲν τὴν κάμινον. ἠ[illegible] ἄγγελος τοῖς ὁσίοις παισί. τοῖς χαλδαίοις δὲ καταφλέγ[illegible]σμα θεοῦ, τὸν τύραννον [illegible]ν. εὐλογητὸς εἶ ὁ θεὸς ὁ [illegible] ἡμῶν.

Ὁ Δυσόμενος τῷ πάθει σου ὁ ἥλιος, ζόφον περιεβάλλετο, καὶ ἐν ἡμέρᾳ ἐπὶ πᾶσαν δέσποτα τὴν γῆν, τὸ φῶς συνεσκότασε βοᾶν. εὐλογητὸς εἶ ὁ θεὸς ὁ τῶν πατέρων ἡμῶν.

Ἠμφιάσαντο Χριστὲ τῇ καταβάσει σου, φέγγος τὰ καταχθόνια, ὁ προπάτωρ δὲ θυμηδίας ἔμπλεως φανεὶς, χορεύων ἐσκίρτησε βοῶν. εὐλογητὸς εἶ ὁ θεὸς ὁ τῶν πατέρων ἡμῶν.

Διὰ σοῦ μήτηρ παρθένε φῶς ἀνέτειλε, πάσῃ τῇ οἰκουμένῃ φαιδρὸν, τὸν γὰρ κτίστην σὺ, τῶν ἁπάντων τέτοκας θεὸν, ὃν αἴτησαι πάναγνε ἡμῖν, καταπεμφθῆναι τοῖς πιστοῖς τὸ μέγα ἔλεος.

ἄλλος. ὁ εἱρμός. Ἄφραστον θαῦμα.

Σε τὸν σωτῆρα, ἐν τῷ κρανίῳ ἐσταύρωσαν, παρανόμων παῖδες ἀσεβεῖς, τὸν πύλας χαλκὰς καὶ μοχλοὺς συνθλάσαντα, εἰς σωτηρίαν ἡμῶν, τῶν μελῳδούντων. λυτρωτὰ ὁ θεὸς εὐλογητὸς εἶ. Εὔας τῆς πάλαι ἐλευθερίαν κυήσασα, τῆς κατάρας λύσιν τὸν Ἀδὰμ παρθένε ἁγνή. διὸ μετ' ἀγγέλων σὲ σὺν τῷ υἱῷ σου ὑμνοῦμεν, καὶ βοῶμεν. λυτρωτὰ ὁ θεὸς εὐλογητὸς εἶ.

ᾠδὴ η. ὁ εἱρμός.

Ἐκ φλογὸς τοῖς ὁσίοις δρόσον ἐπήγασας, καὶ δικαίου θυσίαν, ὕδατι ἔφλεξας. ἅπαντα γὰρ δρᾷς, Χριστὲ μόνῳ τῷ βούλεσθαι. σὲ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ἰουδαίων τὸν πάλαι προφητοκτόνον λαὸν, θεοκτόνον ὁ φθόνος νῦν ἀπειργάσατο, σὲ ἐπὶ σταυροῦ ἀναρτήσαντα λόγε θεοῦ. ὃν ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας. Οὐρανίας ἁψῖδος οὐ καταλελοιπὼς, καὶ εἰς ᾅδην φοιτήσας ὅλον συνήγειρας, κείμενον Χριστὲ ἐν σαπρίᾳ τὸν ἄνθρωπον. σὲ ὑπερυψοῦντα εἰς πάντας

Θεοκυῆτορ ἀειπάρθενε, ἡ σωτῆρα Χριστὸν βροτοῖς ἀποτεκοῦσα, κινδύνων καὶ κολάσεων, λύτρωσαι ἡμᾶς, τοὺς προσφεύγοντας πίστει τῇ θείᾳ σκέπῃ σου.

ᾠδὴ ε΄. ὁ εἱρμός.

Τῷ θείῳ φέγγει σου ἀγαθὲ, τὰς τῶν ὀρθριζόντων σοι ψυχὰς πόθῳ καταύγασον δέομαι, σὲ εἰδέναι λόγε θεοῦ, τὸν ὄντως θεὸν ἐκ ζόφου τῶν πταισμάτων ἀνακαλούμενον.

Ὑποχωρεῖ μοι τὰ χερουβὶμ, νῦν καὶ ἡ φλογίνη ῥομφαία, δέσποτα νῶτα μοι δίδωσι, σὲ ἰδόντα λόγε θεοῦ, τὸν ὄντως θεὸν, λῃστῇ ὁδοποιήσαντα τὸν παράδεισον. Οὐκ ἐπιδέδοικα τὴν εἰς γῆν, δέσποτα Χριστὲ ἀποστροφὴν, σὺ γὰρ ἐκ γῆς με ἀνήγαγες, ἐπιλελυσμένον δι' ἀπλαγχνίαν πολλὴν, πρὸς ὕψος ἀφθαρσίας τῇ ἀναστάσει σου. θ΄. Τοὺς θεοτόκον σὲ ἐκ ψυχῆς, δέσποινα τοῦ κόσμου ἀγαθὴ, ὁμολογοῦντας διάσωσον. σὲ γὰρ προστασίαν ἀκαταμάχητον κεκτήμεθα, τὴν ὄντως θεογεννήτριαν.

ἄλλος. ὁ εἱρμός. Θεοφανίας σου Χριστέ.

Βρώσει τοῦ ξύλου ἐν Ἐδὲμ, ἀπατηθεὶς εἰς φθορὰν κατώλισθεν, ὁ γενάρχης παρακούσας κύριε, ἐντολῆς τῆς σῆς ὑπεράγαθε, ἀλλὰ τοῦτον διὰ σταυροῦ πάλιν ἀνήγαγες, εἰς τὸ πρῶτον κάλλος, ὑπήκοος τῷ πατρὶ σῶτερ γενόμενος. Ὁ κατοικῶν ἐν οὐρανοῖς, καὶ ποιητὴς τῶν ἁπάντων κύριος, ἐν τῇ σῇ πανάμωμε κατῴκησεν ἀπορρήτως μήτρᾳ, δοξάσας σὲ ὑπερτέραν τῶν οὐρανῶν, ἀξιωτέραν τε ταγμάτων ἀΰλων. διὸ νῦν οἱ ἐπὶ γῆς σὲ μακαρίζομεν.

ᾠδὴ ς΄. ὁ εἱρμός.

Τοῦ βίου τὴν θάλασσαν ὑψουμένην καθορῶν τῶν πειρασμῶν τῷ κλύδωνι, τῷ εὐδίῳ λιμένι σου προσδραμὼν, βοῶ σοι ἀνάγαγε ἐκ φθορᾶς, τὴν ζωήν μου πολυέλεε.

Σταυρούμενος δέσποτα τοῖς μὲν ἥλοις τὴν ἀρὰν, τὴν καθ' ἡμῶν ἐξήλειψας. τῇ δὲ λόγχῃ νυττόμενος τὴν πλευρὰν. Ἀδὰμ τὸ χειρόγραφον, διαῤῥήξας, τὸν κόσμον ἠλευθέρωσας. Ἀδὰμ κατανενύγμενος, δι' ἀπάτης πτερνισθεὶς, πρὸς τὸ τοῦ ᾅδου βάραθρον, ἀλλ' ὁ φύσει θεός τε καὶ συμπαθὴς, κατῆλθες πρὸς ἔρευναν, καὶ ἐπ' ὤμων βαστάσας συνανέστησας. θ΄. Ἡ πανάγνος δέσποινα, ἡ τεκοῦσα τοῖς βροτοῖς τὸν κυβερνήτην κύριον, τῶν παθῶν μου τὸ ἄστατον καὶ δεινὸν, κατεύνασας τάραχον, καὶ γαλήνην παράσχου τῇ καρδίᾳ μου.

ἄλλος. ὁ εἱρμός. Συνεχέθη, ἀλλ' οὐ κατεσχέθη.

Συνεχέθης, ἀλλ' οὐ κατεσχέθης, σῶτερ ἐν τῷ μνήματι. εἰ γὰρ καὶ ἑκουσίως ἀπεγεύσω τοῦ θανάτου λόγε, ἀλλ' ἀνέστης ὡς θεὸς ἀθάνατος, συνεγείρας δεσμίους τοὺς ἐν ᾅδῃ, καὶ χαρὰν γυναιξὶν ἀντὶ λύπης, τῆς πρὶν ἀνταλλαξάμενος. θ΄. Ἀπὸ μόνου σου, καὶ ἐκ λείπον ὤφθη εἶδος σαρκὸς παρὰ βροτοῖς ἐν τῷ καιρῷ τοῦ πάθους, τῆς θεότητος, καὶ γὰρ οὐσίᾳ, ὡραῖος κάλλει τῷ Δαβὶδ ἐδείκνυσο, ἀλλὰ ῥάβδῳ σου τῆς βασιλείας ἐχθρῶν.

ἀνάστασιν. θ΄. Τὸν ἑαυτῆς δεξαμένη δημιουργὸν, ὡς αὐτὸς ἠθέλησεν, ἐξ ἀπόρου σου γαστρὸς, ὑπὲρ νοῦν σαρκούμενον ἁγνὴ, τῶν κτισμάτων ἀληθῶς ἐδείχθης δέσποινα.

Ἕτερος κανὼν σταυροαναστάσιμος. ἦχος ὁ αὐτός. ᾠδὴ α΄. ὁ εἱρμός. Κύματι θαλάσσης.

Βήματι Πιλάτου παρίσταται θέλων, αὐτονόμῳ κρίματι, ὥσπερ ἀκριτὸς ὁ κριτὴς καὶ ἐκ χειρὸς ἀδικίας εἰς τὸ πρόσωπον ῥαπίζεται, ὁ θεὸς, ὃν φρίττουσιν ἡ γῆ καὶ τὰ οὐράνια. Ἵστατο δακρύων πηγὰς ἀφιεῖσα ἡ ὑπεράμωμος, ἐν τῷ σταυρῷ σου σωτὴρ, τὰς ἐκ πλευρᾶς σου ῥανίδας τῶν αἱμάτων καθορῶσα Χριστέ. καὶ τὴν σὴν ἀνείκαστον συμπάθειαν δοξάζουσα.

ᾠδὴ γ΄. ὁ εἱρμός.

Οὐκ ἔστιν ἅγιος ὡς σὺ, κύριε ὁ θεός μου, ὁ ὑψώσας τὸ κέρας τῶν πιστῶν σου ἀγαθὲ, καὶ στερεώσας ἡμᾶς ἐν τῇ πέτρᾳ, τῆς ὁμολογίας σου.

Θεὸν σταυρούμενον σαρκὶ, καθορῶσα ἡ κτίσις, διελύετο φόβῳ, ἀλλὰ τῇ συνεκτικῇ, παλάμῃ τοῦ δι᾿ ἡμᾶς σταυρωθέντος, κραταιῶς συνείχετο. Θανάτῳ θάνατος λυθεὶς, κεῖται δείλαιος ἄπνους, τῆς ζωῆς γὰρ μὴ φέρων, τὴν ἔνθεον προσβολὴν, νεκροῦται ὁ ἰσχυρὸς, καὶ δωρεῖται πᾶσιν ἡ ἀνάστασις. θ΄. Τοῦ θείου τόκου σου ἁγνὴ, πᾶσαν φύσεως τάξιν, ὑπερβαίνει τὸ θαῦμα· θεὸν γὰρ ὑπερφυῶς, συνέλαβες ἐν γαστρὶ, καὶ τεκοῦσα μένεις ἀειπάρθενος.

ἄλλος. ὁ εἱρμός. Σὲ τὸν [illegible]

Δόξα τῇ ἐγέρσει σου σωτὴρ ἡμῶν, ὅτι ἡμᾶς ἐξ ᾅδου φθορᾶς, καὶ θανάτου ἐρρύσω, ὡς παντοδύναμος. καὶ μελῳδοῦντες λέγομεν. οὐκ ἔστιν ἅγιος πλὴν σοῦ κύριε φιλάνθρωπε. θ΄. Σὺ τὸν ἐκ σοῦ τεχθέντα, ὡς ἔβλεψας τιτρωσκόμενον λόγχῃ, ἐτρώθης τὴν καρδίαν ὑπεραγία πανάμωμε, καὶ θαμβουμένη ἔλεγες. τί σοι ἀπέδωκε τέκνον, δῆμος ὁ παράνομος.

ᾠδὴ δ΄. ὁ εἱρμός.

Χριστός μου δύναμις, θεὸς καὶ κύριος, ἡ σεπτὴ ἐκκλησία, θεοπρεπῶς μέλπει ἀνακράζουσα, ἐκ διανοίας καθαρᾶς ἐν κυρίῳ ἑορτάζουσα.

Τὸ ξύλον ἤνθησε, Χριστὲ τῆς ὄντως ζωῆς, ὁ σταυρὸς γὰρ ἐπάγη, καὶ ἀρδευθεὶς αἵματι καὶ ὕδατι, ἐξ ἀκηράτου σου πλευρᾶς, τὴν ζωὴν ἡμῖν ἐβλάστησεν. Οὐκ ἔτι ὄφις μοι, ψευδῶς τὴν θέωσιν ὑποβάλλει, Χριστὸς γὰρ ὁ θεουργὸς, τῆς ἀνθρώπων φύσεως, νῦν ἀκωλύτως τὴν τρίβον, τῆς ζωῆς μοι ἀνεπέτασεν. θ΄. Ὡς ὄντως ἄφθεγκτα, καὶ ἀκατάληπτα, τὰ τῆς σῆς θεοτόκε θεοπρεποῦς πέφυκε κυήσεως, τοῖς ἐπὶ γῆς καὶ οὐρανοῦ, ἀειπάρθενε μυστήρια.

ἄλλος. ὁ εἱρμός. Τὴν ἐν σταυρῷ σου θείαν κένωσιν.

Τὸν τίμιόν σου σταυρὸν σέβομεν, καὶ τοὺς ἥλους Χριστὲ, καὶ τὴν ἁγίαν λόγχην, σὺν τῷ καλάμῳ, στέφανον, τὸν ἐξ ἀκανθῶν, δι᾿ ὧν ἐκ τῆς τοῦ ᾅδου φθορᾶς ἐρρύσθημεν.

μοι, ἡ σὺν ἐμοὶ κραυγάσατε, ὁ ἐν νεκροῖς καὶ τοῖς νεκροῖς ἀναστήσας, κύριε δόξα σοι. Δόξα. [illegible]

Θεοτόκε παρθένε ἱκέτευε τὸν υἱόν σου, τὸν ἑκουσίως προσπαγέντα ἐν σταυρῷ, καὶ ἀναστάντα ἐκ νεκρῶν Χριστὸν τὸν θεὸν ἡμῶν σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Οἱ ἀναβαθμοί. Ἀντίφωνον ά. ἦχος πλάγιος β'.

Ἐν τῷ οὐρανῷ τοὺς ὀφθαλμούς μου αἴρω πρὸς σὲ λόγε οἰκτίρμον μοι ἵνα ζῶ σοι.

Στίχος. πρὸς σὲ ἦρα τοὺς ὀφθαλμούς μου τὸν κατοικοῦντα.

Ἐλέησον ἡμᾶς τοὺς ἐξουθενημένους, καταρτίζων εὔχρηστα σκεύη σου λόγε.

Στίχος. Ἐλέησον ἡμᾶς κύριε.

Ἁγίῳ πνεύματι, πανσωστικὴ αἰτία, ἔπνει τοῦτο κατ' ἀξίαν πνεύσει, τάχει ἐξαίρει τῶν τῆς γῆς πτεροῖ, αὔξει, τάττει ἄνω.

Δόξα τὸ αὐτό. Ἀντίφωνον β'.

Εἰ μὴ ὅτι κύριος ἦν ἐν ἡμῖν, οὐδεὶς ἡμῶν ἀντισχεῖν ἠδύνατο. ἐχθροῦ πάλαισμα οἱ νικῶντες γὰρ ἔνθεν ὑψοῦνται. Στίχος. Εἰπάτω δὴ οἶκος Ἰσραήλ.

Τοῖς ὀδοῦσιν αὐτῶν μή μου ληφθήτω ἡ ψυχή, ὡς στρουθίον λόγε, οἴμοι πῶς μέλλω τῶν ἐχθρῶν ῥυσθῆναι, φιλαμαρτήμων ὑπάρχων. Στίχος. Εὐλογητὸς κύριος, ὃς οὐκ ἔδωκεν ἡμᾶς εἰς θήραν.

Ἁγίῳ πνεύματι ἐν θέωσις τοῖς πᾶσιν. εὐδοκία, σύνεσις, εἰρήνη, καὶ εὐλογία, ἰσουργὸν γὰρ τῷ πατρί ἐστι, καὶ λόγῳ. Δόξα τὸ αὐτό. Ἀντίφωνον γ'.

Οἱ πεποιθότες ἐπὶ κύριον, ἐχθροῖς φοβεροί, καὶ πᾶσι θαυμαστικοί, ἄνω γὰρ ὁρῶσιν. [illegible] εἰς π[illegible] ν ἀνομίαις χεῖρας αὐτῶν ὁ τῶν δικαίων κλῆρος. ἐπίκουρόν σε ἔχων, σῶτερ οὐκ ἐκτείνει. [illegible]

Ὅπως ἂν [illegible]

Ἁγίῳ πνεύματι τὸ κράτος ἐπὶ πάντων, ὅπερ αἱ ἄνω στρατηγίαι προσκυνοῦσι, σὺν πάσῃ πνοῇ τῶν κάτω. Δόξα τὸ αὐτό. Προκείμενον. ἦχος πλαγ. β'.

Κύριε ἐξέγειρον τὴν δυναστείαν σου, καὶ ἐλθὲ εἰς τὸ σῶσαι ἡμᾶς. Στίχος.

Ὁ ποιμαίνων τὸν Ἰσραὴλ πρόσχες ὁ ὁδηγῶν ὡσεὶ πρόβατον τὸν Ἰωσήφ.

Πᾶσα πνοή. Τὸ ἑωθινὸν εὐαγγέλιον. Ἀνάστασιν Χριστοῦ [illegible] καὶ τὰ πεντηκοστάρια. πλαγ. β'. δόξα.

Ἀναστὰς ὁ Ἰησοῦς ἀπὸ τοῦ τάφου καθὼς προεῖπεν. ἔδωκεν ἡμῖν τὴν αἰώνιον ζωὴν καὶ τὸ μέγα ἔλεος. Καὶ νῦν.

Ἀθάνατε βασιλεῦ, ὁ τοῦ θανάτου τὴν τυραννίδα, τῇ ἀναστάσει σου καθελών, Χριστὲ ὁ θεὸς ἐλέησον ἡμᾶς.

Ἐλέησόν με ὁ θεός. Ἐλεῆ. καὶ οἰκτιρμοῖς. Ὁ κανὼν ὁ ἀναστάσιμος. ἦχος πλάγιος β'. ᾠδὴ ά. ὁ εἱρμός.

Ὡς ἐν ἠπείρῳ πεζεύσας ὁ Ἰσραὴλ ἐν ἀβύσσῳ ἴχνεσι, τὸν διώκτην Φαραὼ καθορῶν ποντούμενον θεῷ, ἐπινίκιον ᾠδὴν ἐβόα ἄσωμεν.

Ἐκτεταμένος παλάμας ἐπὶ σταυροῦ, πατρικῆς ἐπλήρωσας εὐδοκίας ἀγαθέ, Ἰησοῦ τὰ σύμπαντα, διὸ ἐπινίκιον ᾠδὴν σοι πάντες ᾄδομεν. Φόβῳ σοι ὡς θεράποντες ὑπετελεῖτο ἡ προσαχθεῖσα πρόσεσι σοι, τῷ δεσπότῃ τῆς ζωῆς, δι' αὐτῆς βραβεύοντι ἡμῖν. ἀτελεύτητον ζωὴν καὶ τὴν

ἀιά-

φόροι γυναῖκες μετὰ δακρύων ζητοῦσαι, θρηνοῦσαι ἔλεγον, οἴμοι σωτὴρ τῶν ἁπάντων· πῶς κατεδέξω τάφῳ οἰκῆσαι; οἰκήσας δὲ θέλων πῶς ἐκλάπης, πῶς μετετέθης, ποῖος δὲ τόπος τὸ σὸν ζωηφόρον κατέκρυψε σῶμα, ἀλλὰ δέσποτα, ὡς ὑπέσχου ἡμῖν ἐμφάνηθι, καὶ παῦσον ἀφ' ἡμῶν τὸν ὀδυρμὸν τῶν δακρύων. θρηνούσαις δὲ αὐταῖς, ἄγγελος πρὸς αὐτὰς ἐπεβόησε· τῶν θρήνων παυσάμεναι, τοῖς ἀποστόλοις εἴπατε· ὅτι ἀνέστη ὁ κύριος, τῷ κόσμῳ δωρούμενος καὶ τὸ μέγα ἔλεος.

Τῷ οἴκῳ σου πρέπει ἁγίασμα.

Σταυρωθεὶς ὡς ἠβουλήθης Χριστὲ, καὶ τὸν θάνατον τῇ ταφῇ σου σκυλεύσας, τριήμερος ἀνέστης, ὡς θεὸς μετὰ δόξης. τῷ κόσμῳ δωρούμενος ἀτελεύτητον ζωὴν καὶ τὸ μέγα ἔλεος.

Δόξα καὶ νῦν θ'.

Ο ποιητὴς καὶ λυτρωτής μου πάναγνε Χριστὸς ὁ κύριος, ἐκ τῆς σῆς νηδύος προελθὼν, ἐμὲ ἐνδυσάμενος, τῆς πρώτης κατάρας τὸν Ἀδὰμ ἠλευθέρωσε. διό σοι πάναγνε ὡς τοῦ θεοῦ μητρί τε καὶ παρθένῳ ἀληθῶς βοῶμεν ἀσιγήτως. τὸ χαῖρε τοῦ ἀγγέλου, χαῖρε δέσποινα, προστασία καὶ σκέπη, καὶ σωτηρία τῶν ψυχῶν ἡμῶν.

Εἰς [illegible] δεῖπνον κανὼν τῆς θεοτόκου. [illegible] εἰς τὴν ἀκολουθίαν τῆς [illegible] φολ. [illegible]

Τ[illegible] εἰς τὸ θεὸς κύριος. τρο[illegible] ἦχος πλάγιος. β'.

Αγγελικαὶ δυνάμεις ἐπὶ τὸ μνῆμα σου, καὶ οἱ φυλάσσοντες ἀπενεκρώθησαν. καὶ ἵστατο Μαρία ἐν τῷ τάφῳ, ζητοῦσα τὸ ἄχραντόν σου σῶμα. ἐσκύλευσας τὸν ᾅδην μὴ πειρασθεὶς ὑπ' αὐτοῦ. ὑπήντησας τῇ παρθένῳ δωρούμενος τὴν ζωὴν, ὁ ἀναστὰς ἐκ τῶν νεκρῶν. κύριε δόξα σοι. θ'. Ο τὴν ἀλλοτριωμένην καλέσας σου μητέρα. ἦλθες ἐπὶ τὸ πάθος ἐξουσίᾳ βουλῇ. λάμψας ἐν τῷ σταυρῷ ἀναζητῆσαι θέλων τὸν Ἀδάμ. λέγων τοῖς ἀγγέλοις συγχάρητέ μοι, ὅτι εὑρέθη ἡ ἀπολλυμένη δραχμὴ, ὁ πάντα σοφῶς οἰκονομήσας θεὸς ἡμῶν δόξα σοι.

Καὶ μετὰ τὴν συνήθη στιχολογίαν ἡ ὑπακοὴ ἡ ἀναστάσιμος [illegible] πλαγ. β'.

ΤΩ ἑκουσίῳ καὶ ζωοποιῷ σου θανάτῳ Χριστὲ, πύλας τοῦ ᾅδου συντρίψας ὡς θεὸς, ἤνοιξας ἡμῖν τὸν πάλαι παράδεισον, καὶ ἀναστὰς ἐκ τῶν νεκρῶν, ἐρρύσω ἐκ φθορᾶς τὴν ζωὴν ἡμῶν.

στίχος α'. Ἀνάστηθι κύριε ὁ θεός μου. [illegible] ἐπιλάθῃ τῶν πενήτων σου.

Τοῦ τάφου ἀνεῳγμένου, τοῦ ᾅδου ὀδυρομένου, ἡ Μαρία ἐβόα πρὸς τοὺς κεκρυμμένους ἀποστόλους, ἐξέλθετε οἱ τοῦ ἀμπελῶνος ἐργάται, κηρύξατε τὸν τῆς ἀναστάσεως λόγον, ἀνέστη ὁ κύριος, παρέχων τῷ κόσμῳ τὸ μέγα ἔλεος.

στίχος β'. Αὕτη ἡ ἡμέρα.

Κύριε παρίστατο τῷ τάφῳ σου Μαρία ἡ Μαγδαληνὴ, καὶ ἔκλαιε βοῶσα, κηπουρόν σε νομίζουσα ἔλεγε. ποῦ ἔκρυψας τὴν αἰώνιον ζωήν; ποῦ ἔθηκας τὸν ἐπὶ θρόνου χερουβίμ; οἱ γὰρ τοῦτον φυλάσσοντες ἀπὸ τοῦ φόβου ἀπενεκρώθησαν. ἢ τὸν κύριόν μου δότε

μοι



Τῷ Σαββάτῳ ἑσπέρας εἰς τὸ κύριε ἐκέκραξα ἱστῶμεν στίχους ἡ. στιχηρὰ ἀναστάσιμα. ἦχος πλάγιος β'.

Νίκην ἔχων Χριστὲ, τὴν κατὰ τοῦ ᾅδου, ἐν τῷ σταυρῷ ἀνῆλθες, ἵνα τοὺς ἐν πίστει θανάτου καθημένους, συναναστήσας ἑαυτῷ ὁ ἐν νεκροῖς ἐλεύθερος, ὁ πηγάζων ζωὴν ἐξ οἰκείου φωτὸς, παντοδύναμε σωτὴρ ἐλέησον ἡμᾶς. Σήμερον ὁ Χριστὸς θάνατον πατήσας καθὼς εἶπεν ἀνέστη, καὶ τὴν ἀγαλλίασιν τῷ κόσμῳ ἐδωρήσατο, ἵνα πάντες κραυγάζοντες τὸν ὕμνον οὕτως εἴπωμεν, ἡ πηγὴ τῆς ζωῆς, τὸ ἀπρόσιτον φῶς, παντοδύναμε σωτὴρ ἐλέησον ἡμᾶς. Σὲ κύριε τὸν ὄντα ἐν πάσῃ τῇ κτίσει ἁμαρτωλοὶ ποῦ φύγωμεν; ἐν τῷ οὐρανῷ αὐτὸς κατοικεῖς, ἐν τῷ ᾅδῃ ἐπάτησας θάνατον, εἰς τὰ βάθη τὰ τῆς θαλάσσης, ἐκεῖ ἡ χείρ σου δέσποτα. πρὸς σὲ καταφεύγομεν, σοὶ προσπίπτομεν, σὲ ἱκετεύομεν, ὁ ἀναστὰς ἐκ τῶν νεκρῶν ἐλέησον ἡμᾶς.

Ἕτερα ἀνατολικά.

Ἐν τῷ σταυρῷ σου Χριστὲ καυχώμεθα, καὶ τὴν ἀνάστασίν σου ὑμνοῦμεν καὶ δοξάζομεν, σὺ γὰρ εἶ θεὸς ἡμῶν ἐκτὸς σου ἄλλον οὐκ οἴδαμεν. Διὰ παντὸς εὐλογοῦντες τὸν κύριον ὑμνοῦμεν τὴν ἀνάστασιν αὐτοῦ, σταυρὸν γὰρ ὑπομείνας, θανάτῳ θάνατον ὤλεσε. Δόξα τῇ δυνάμει σου κύριε, ὅτι κατήργησας τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου, ἀνεκαίνισας ἡμᾶς διὰ τοῦ σταυροῦ σου, δωρούμενος ἡμῖν ζωὴν, καὶ ἀφθαρσίαν. Ἡ ταφή σου κύριε, τὰ δεσμὰ τοῦ ᾅδου συντρίψασα διέρρηξεν, ἡ ἐκ νεκρῶν ἀνάστασις, τὸν κόσμον ἐφώτισε. κύριε δόξα σοι.

Δόξα καὶ νῦν θ'.

Τίς μὴ μακαρίσει σε παναγία παρθένε; τίς μὴ ἀνυμνήσει σου τὸν ἀλόχευτον τόκον. ὁ γὰρ ἀχρόνως ἐκ πατρὸς ἐκλάμψας υἱὸς μονογενὴς, ὁ αὐτὸς ἐκ σοῦ τῆς ἁγνῆς προῆλθεν ἀφράστως σαρκωθεὶς φύσει θεὸς ὑπάρχων καὶ φύσει γενόμενος ἄνθρωπος δι' ἡμᾶς, οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ' ἐν δυάδι φύσεων ἀσυγχύτως γνωριζόμενος, αὐτὸν ἱκέτευε σεμνὴ παμμακάριστε ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἰς τὸν στίχον. στιχηρά. ἦχος πλάγιος β'.

Τὴν ἀνάστασίν σου Χριστὲ σωτὴρ, ἄγγελοι ὑμνοῦσιν ἐν οὐρανοῖς, καὶ ἡμᾶς τοὺς ἐπὶ γῆς καταξίωσον ἐν καθαρᾷ καρδίᾳ σὲ δοξάζειν. τὰ κατὰ ἀβ. Ὁ κύριος ἐβασίλευσεν.

Πύλας ᾅδου συντρίψας χαλκᾶς, καὶ μοχλοὺς τοῦ ᾅδου συνθλάσας, ὡς θεὸς παντοδύναμος, γένος ἀνθρώπων πεπτωκὸς ἀνέστησας, διὰ τοῦτο καὶ ἡμεῖς συμφώνως βοῶμεν, ὁ ἀναστὰς ἐκ νεκρῶν κύριε δόξα σοι.

Καὶ γὰρ ἐστερέωσε τὴν.

Ῥᾳδίως ἡμᾶς τῆς πάλαι Χριστὸς, ἐπανορθῶσαι θέλων, σταυρῷ προσπήγνυται, καὶ τάφῳ τέθειται, ὃν μυρο-

καὶ τῶν θυρῶν κεκλεισμένων, πρὸς τοὺς μαθητάς σου, δεικνύων αὐτοῖς τὰ τοῦ σώματος πάθη ἅπερ κατεδέξω σωτὴρ μακροθυμήσας. ὡς ἐκ σπέρματος Δαβίδ, μώλωπας ὑπήνεγκας, ὡς υἱὸς δὲ τοῦ θεοῦ κόσμον ἠλευθέρωσας. μέγα σου τὸ ἔλεος ἀκατάληπτε σωτὴρ ἐλέησον καὶ σῶσον ἡμᾶς.

Ἕτερα στιχηρὰ ἀνατολικά. ἦχος ὁ αὐτός. Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις.

Κύριε βασιλεῦ τῶν αἰώνων, καὶ ποιητὴς τῶν ἁπάντων, ὁ δι᾽ ἡμᾶς σταύρωσιν, καὶ ταφὴν σαρκὶ καταδεξάμενος, ἵνα ἡμᾶς τοῦ ᾅδου ἐλευθερώσῃς πάντας. σὺ εἶ ὁ θεὸς ἡμῶν, ἐκτός σου ἄλλον οὐκ οἴδαμεν.

Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος.

Κύριε τὰ ὑπερλάμποντα σου θαύματα τίς διηγήσεται; ἢ τίς ἀναγγελεῖ τὰ φρικτά σου μυστήρια, ἐνανθρωπήσας γὰρ δι᾽ ἡμᾶς, ὡς αὐτὸς ἠθέλησας, τὸ κράτος ἐφανέρωσας τῆς δυνάμεώς σου. ἐν γὰρ τῷ σταυρῷ σου τῷ λῃστῇ παράδεισον ἤνοιξας, καὶ ἐν τῇ ταφῇ σου τοὺς μοχλοὺς τοῦ ᾅδου συνέθλιψας, καὶ ἐν τῇ ἀναστάσει σου τὰ σύμπαντα ἐπλούτησας. εὔσπλαγχνε δόξα σοι.

Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ.

Μυροφόροι γυναῖκες, τὸν τάφον σου καταλαβοῦσαι, λίαν πρωῒ ἐπεζήτουν σὲ μυρίσαι, τὸν ἀθάνατον λόγον καὶ θεὸν, καὶ τοῦ ἀγγέλου τοῖς ῥήμασιν ἐνηχηθεῖσαι ὑπέστρεφον ἐν χαρᾷ, τοῖς ἀποστόλοις μηνύουσαι ἐμφανῶς, ὅτι ἀνέστης ἡ ζωὴ τῶν ἁπάντων, καὶ παρέχεις τῷ κόσμῳ ἱλασμὸν, καὶ τὸ μέγα ἔλεος.

Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ (?). Αἰνεῖτε.

Τοῦ θεοδέγμονος τάφου, πρὸς τοὺς Ἰουδαίους, οἱ φύλακες ἔλεγον. ὢ τῆς ὑμῶν ματαιόφρονος συμβουλῆς, φυλάττειν τὸν ἀφύλακτον δοκιμάσαντες, μάτην ἐκοπιάσατε κρύψαι τὴν ἀνάστασιν τοῦ σταυρωθέντος βουλόμενοι, ταύτην σαφῶς ἐφανερώσατε, ὢ τοῦ ἡμῶν νυκτόφρονος συνεδρίου. τί πάλιν κρύψαι συμβουλεύεσθε; ὃ οὐ κρύπτεται. μᾶλλον δὲ παρ᾽ ἡμῶν ἀκούσατε καὶ πιστεῦσαι θελήσατε τῶν γινομένων τὴν ἀλήθειαν. ἄγγελος ἀστραπηφόρος οὐρανόθεν κατελθὼν, τὸν λίθον ἀπεκύλισεν, οὗ τῷ φόβῳ νεκρώσει συνεσχέθημεν, καὶ φωνήσας ταῖς ματαιόφροσι μυροφόροις ἔλεγε γυναιξίν. οὐχ ὁρᾶτε τῶν φυλάκων τὴν νέκρωσιν, καὶ τῶν σφραγίδων τὴν διάλυσιν. τοῦ ᾅδου δὲ τὴν κένωσιν, τί τὸν τὸ νῖκος τοῦ ᾅδου καταργήσαντα, καὶ τοῦ θανάτου τὸ κέντρον συνθλίψαντα, ὡς θνητὸν ἐπιζητεῖτε; εὐαγγελίσασθαι δὲ ταχὺ πορευθεῖσαι τοῖς ἀποστόλοις τὴν ἀνάστασιν, ἀφόβως κραυγάζουσαι. ὄντως ἀνέστη ὁ κύριος, ὁ ἔχων τὸ μέγα ἔλεος.

Τέλος τοῦ πλαγίου. ά. ἤχου.

φόροις ὀφθέντα, καὶ χαρὰν αὐταῖς φθεγξάμενον. ἱερεῖς ὑμνεῖτε, λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

στίχος. Αἱ γενεαὶ πᾶσαι σὲ μακαρίζομεν τὴν μόνην θεοτόκον. ᾠδὴ θ΄. ὁ εἱρμός.

Ἡσαΐα χόρευε· ἡ παρθένος ἔσχεν ἐν γαστρί, καὶ ἔτεκεν υἱὸν τὸν Ἐμμανουήλ, θεόν τε καὶ ἄνθρωπον· ἀνατολὴ ὄνομα αὐτῷ. ὃν μεγαλύνοντες τὴν παρθένον μακαρίζομεν.

Τὸν πεσόντα ἄνθρωπον, ἀνεδέξω δέσποτα Χριστέ. ἐκ μήτρας παρθενικῆς, ὅλος συναφθείς. μόνης ἁμαρτίας δὲ μὴ μετασχών, ὅλον ἐκ φθορᾶς ἠλευθέρωσας, τοῖς ἀχράντοις σου παθήμασι. Θεορρύτῳ αἵματι, κενωθέντι δέσποτα Χριστὲ, ἐκ τῆς ἀχράντου πλευρᾶς, καὶ ζωοποιοῦ. θυσία μὲν πέπαυται εἰδωλική. πᾶσα δὲ ἡ γῆ, σοῦ τῆς αἰνέσεως τὴν θυσίαν ἀναφέρομεν. Θ΄. Οὐ θεὸν ἀσώματον, οὐ δὲ πάλιν ἄνθρωπον ψιλόν, προσήγαγεν ἡ ἁγνή, κόρη καὶ σεμνή, ἀλλ' ἄνθρωπον τέλειον καὶ ἀψευδῆ, τέλειον θεόν, ὃν μεγαλύνομεν σὺν πατρί τε, καὶ τῷ πνεύματι.

ἄλλος. Σὲ τὴν ὑπὲρ νοῦν.

Σὲ τὸν ἐν σταυρῷ τὰ πάθη δεξάμενον, καὶ θανάτῳ συντρίψαντα θανάτου τὴν δύναμιν, οἱ πιστοὶ ὀρθοδόξως μεγαλύνομεν. Θ΄. Χαῖρε θεοτόκε μήτηρ Χριστοῦ τοῦ θεοῦ, ὃν ἐκύησας αἴτησαι, πταισμάτων τὴν ἄφεσιν, δωρηθῆναι τοῖς πίστει ὑμνοῦσί σε.

Εἰς τοὺς αἴνους. πᾶσα πνοή. στιχηρὰ ἀναστάσιμα. ἦχος πλάγιος δ΄. Τοῦ ποιῆσαι ἐν ἔθνεσιν.

Κύριε, ἐσφραγισμένου τοῦ τάφου ὑπὸ τῶν παρανόμων, προῆλθες ἐκ τοῦ μνήματος, καθὼς ἐτέχθης ἐκ τῆς θεοτόκου, οὐκ ἔγνωσαν πῶς ἐσαρκώθης οἱ ἀσώματοί σου ἄγγελοι. οὐκ ᾔσθοντο πότε ἀνέστης οἱ φυλάσσοντές σε στρατιῶται. ἀμφότερα γὰρ ἐσφραγίσθη τοῖς ἐρευνῶσι. πεφανέρωται δὲ τὰ θαύματα τοῖς προσκυνοῦσιν ἐν πίστει τὸ μυστήριον, ὃ ἀνυμνοῦσιν. ἀπόδος ἡμῖν ἀγαλλίασιν, καὶ τὸ μέγα ἔλεος.

Τοῦ δῆσαι τοὺς βασιλεῖς.

Κύριε, τοὺς μοχλοὺς τοὺς αἰωνίους συντρίψας, καὶ τὰ δεσμὰ διαρρήξας τοῦ μνήματος ἀνέστης, καταλιπὼν σου τὰ ἐντάφια εἰς μαρτύριον τῆς ἀληθοῦς τριημέρου ταφῆς σου, καὶ προῆγες ἐν τῇ Γαλιλαίᾳ, ὁ ἐν σπηλαίῳ τηρούμενος, μέγα σου τὸ ἔλεος ἀκατάληπτε σωτὴρ ἐλέησον, καὶ σῶσον ἡμᾶς.

Τοῦ ποιῆσαι ἐν αὐτοῖς.

Κύριε αἱ γυναῖκες ἔδραμον ἐπὶ τὸ μνῆμα τοῦ ἰδεῖν σε τὸν Χριστόν, τὸν δι' ἡμᾶς παθόντα, καὶ προσελθοῦσαι. εὗρον ἄγγελον ἐπὶ τὸν λίθον καθήμενον, τοῦ φόβου κυλισθέντα, καὶ πρὸς αὐτὰς ἐβόησε λέγων. ἀνέστη ὁ κύριος, εἴπατε τοῖς μαθηταῖς. ὅτι ἀνέστη ἐκ νεκρῶν, ὁ σώζων τὰς ψυχὰς ἡμῶν.

Αἰνεῖτε τὸν θεὸν ἐν

Κύριε ὥσπερ ἐξῆλθες ἐσφραγισμένου τοῦ τάφου, οὕτως εἰσῆλθες

καὶ

κοντάκιον ἦχος πλ. δ΄. Αὐτόμελον. Τῇ ὑπερμάχῳ.

ΠΡὸς τὸν ᾅδην σωτήρ μου συγκαταβέβηκας, καὶ τὰς πύλας συντρίψας, ὡς παντοδύναμος, τοὺς θανόντας ὡς κτίστης συνεξανέστησας, καὶ θανάτου τὸ κέντρον Χριστὲ συνέτριψας. καὶ Ἀδὰμ τῆς κατάρας ἐρρύσθη φιλάνθρωπε. διὸ πάντες κράζομεν σοι. σῶσον ἡμᾶς κύριε. ὁ οἶκος. Ἀκούσασαι γυναῖκες, τοῦ ἀγγέλου τὰ ῥήματα ἀπεβάλοντο τὸν θρῆνον, περιχαρεῖς γενόμεναι καὶ σύντρομοι, καὶ τὴν ἔνστασιν ἔβλεπον, καὶ ἰδοὺ Χριστὸς προσήγγισεν αὐταῖς λέγων, τὸ χαίρετε. θαρσεῖτε, ἐγὼ τὸν κόσμον νενίκηκα, καὶ τοὺς δεσμίους ἐρρυσάμην. σπουδάσατε οὖν πρὸς τοὺς μαθητάς, ἀπαγγέλλουσαι αὐτοῖς, ὅτι προάγω ὑμᾶς ἐν τῇ πόλει γαλιλαίᾳ τοῦ κηρύξαι. διὸ πάντες σοι κράζομεν. σῶσον ἡμᾶς κύριε.

ᾠδὴ ζ΄. ὁ εἱρμός.

ΟΥπερυψούμενος, τῶν πατέρων κύριος τὴν φλόγα κατέσβεσε, τοὺς παῖδας ἐδρόσισε, συμφώνως μελῳδοῦντας. ὁ θεὸς εὐλογητὸς εἶ.

ΣΑρκα περιθέμενος, ὡς ἀγκίστρῳ δέλεαρ, τῇ θείᾳ δυνάμει σου, τὸν ὄφιν ἐνέκρωσας, ἀνάγων τοὺς βοῶντας ὁ θεὸς εὐλογητὸς εἶ. Ο τῆς γῆς τὴν ἄπλετον οὐσιώσας σύστασιν, ἐν τάφῳ καλύπτεται, σαρκὶ ὁ ἀχώρητος, ᾧ πάντες μελῳδοῦμεν. ὁ θεὸς εὐλογητὸς εἶ. Θ. Μίαν μὲν ὑπόστασιν ἐν δυσὶ ταῖς φύσεσι, παναμώμε τέτοκας, τὸν σεσαρκωμένον θεόν, ᾧ πάντες μελῳδοῦμεν. ὁ θεὸς εὐλογητὸς εἶ.

ἄλλος. ὁ εἱρμός. Ο ἐν καμίνῳ πυρός.

Ο διὰ ξύλου τοῦ σταυροῦ, τὴν τῶν εἰδώλων λύσας πλάνην. εὐλογητὸς εἶ ὁ θεὸς ὁ τῶν πατέρων ἡμῶν. Ο ἀναστὰς ἐκ νεκρῶν, καὶ τοὺς ἐν ᾅδῃ συνεγείρας. εὐλογητὸς εἶ ὁ θεὸς ὁ τῶν πατέρων ἡμῶν.

ᾠδὴ η΄. ὁ εἱρμός.

ΣΟὶ τῷ παντουργῷ ἐν τῇ καμίνῳ παῖδες, παγκόσμιον πλέξαντες, χορείαν ἔμελπον. πάντα τὰ ἔργα, τὸν κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

ΣΥ τὸ θελητόν, τοῦ σωτηρίου πάθους, ἀπηύξω ποτήριον, ὥσπερ ἀβούλητον, δύο θελήσεις, δυσὶ γὰρ καταλλήλως, φέρεις ταῖς οὐσίαις, Χριστὲ εἰς τοὺς αἰῶνας. Σοῦ τοῦ παντουργοῦ, τῇ καταβάσει ᾅδης, Χριστὲ καταγέλαστος, γεγονὼς ἤμεσε, πάντας τοὺς πάλαι, τῇ πλάνῃ νεκρωθέντας, σὲ ὑπερυψοῦντας εἰς πάντας τοὺς αἰῶνας. Θ. Σὲ τὴν ὑπὲρ νοῦν, θεοπρεπικῷ τῷ λόγῳ, τεκοῦσαν τὸν κύριον, καὶ παρθενεύουσαν. πάντα τὰ ἔργα, παρθένε εὐλογοῦμεν, καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

ἄλλος. ὁ εἱρμός. Τὸν ἐκ πατρός.

ΤΟν ἐν σταυρῷ ἑκουσίως τὰς παλάμας ἐκπετάσαντα, καὶ τὰ δεσμὰ τοῦ ᾅδου διαρρήξαντα, Χριστὸν τὸν θεόν. ἱερεῖς ὑμνεῖτε, λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας. Τὸν ὡς νυμφίον ἐκ τάφου ἀνατείλαντα Χριστὸν τὸν θεόν, καὶ μυροφόροις

Τῆς μερρᾶς τὰ πικρότατα νάματα, ὡς ἐν εἰκόνι προτυπῶν, τὸν ἄχραντόν σου σταυρὸν ἀγαθὲ, τὴν ἁμαρτίας νεκροῦντα τὴν γεῦσιν, διὰ ξύλου ἐγλύκανας. Σταυρὸν κατὰ τοῦ ξύλου τῆς γνώσεως, κατὰ γλυκείας ἐδωδῆς. χολὴν σωτήρ μου προσίεσαι, καταφθορᾶς δὲ θανάτου, τὸ αἷμα σου τὸ θεῖον ἐξέχεας. Θ. Ἐκτὸς μὲν συναφείας συνέλαβες, ἀδιαφθόρως ἐν γαστρὶ, καὶ πρὶν ὠδινῆσαι ἔτεκες, καὶ μετὰ τόκον παρθένος, θεὸν σαρκὶ τεκοῦσα πεφύλαξαι.

ἄλλος. ὁ εἱρμός. Εἰσακήκοα.

Ὡς ἐπάγη ἐπὶ γῆς, ἐν τῷ κρανίῳ ὁ σταυρὸς, συνετρίβησαν μοχλοὶ, καὶ πυλωροὶ αἰώνιοι, καὶ ἐβόησαν. δόξα τῇ δυνάμει σου κύριε. Ὡς κατῆλθεν ὁ σωτὴρ, πρὸς τοὺς δεσμίους ὡς θνητὸς, συνανέστησαν αὐτῷ, οἱ ἀπ᾽ αἰῶνος θανέντες, καὶ ἐβόησαν δόξα τῇ δυνάμει σου κύριε.

ᾠδὴ ε΄. ὁ εἱρμός.

Ὁ ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον, πρὸς σὲ ὀρθρίζω, καὶ σοὶ κραυγάζω, τὴν ψυχήν μου φώτισον, τὴν ἐσκοτισμένην, Χριστὲ ὡς μόνος εὔσπλαγχνος.

Ὁ τῆς δόξης κύριος, ἐν ἀδοξίας μορφῇ, ἐπὶ τοῦ ξύλου ἠτιμωμένος, ἑκουσίως κρέμαται, τὴν θείαν μοι δόξαν ἀφράστως προμυθούμενος. Σύ με μετημφίασας, πρὸς ἀφθαρσίαν Χριστὲ, φθορᾶς θανάτου ἀδιαφθόρως, τῇ σαρκὶ γευσάμενος, καὶ ἐξανατείλας τοῦ μνήματος τριήμερος. Θ. Σὺ δικαιοσύνην τε καὶ ἀπολύτρωσιν, ἡμῖν τεκοῦσα Χριστὸν ἀσπόρως, ἐλευθέραν ἔδειξας, ἀρᾶς θεοτόκε τὴν φύσιν τοῦ προπάτορος.

ἄλλος. ὁ εἱρμός. Ὀρθρίζοντες βοῶμεν.

Ἐξέτεινας τὰς χεῖρας, σωτὴρ ἡμῶν ἐπὶ ξύλου, πάντας προσκαλούμενος πρὸς σὲ αὐτὸν ὡς φιλάνθρωπος. Ἐσκύλευσας τὸν ᾅδην σωτὴρ ἡμῶν, τῇ ταφῇ σου καὶ τῇ ἀναστάσει σου χαρᾶς τὰ πάντα ἐπλήρωσας.

ᾠδὴ ς΄. ὁ εἱρμός.

Μαινομένῳ κλύδωνι ψυχοφθόρῳ δέσποτα Χριστὲ, τῶν παθῶν τὴν θάλασσαν κατεύνασον, καὶ ἐκ φθορᾶς ἀνάγαγέ με ὡς εὔσπλαγχνος.

Εἰς φθορὰν κατώλισθεν ὁ γεωργὸς δέσποτα Χριστὲ, παρηκόου βρώσεως γευσάμενος, καὶ πρὸς ζωὴν ἀνῆκται διὰ τοῦ πάθους σου. Ἡ ζωὴ κατήντησας, πρὸς τὸν ᾅδην δέσποτα Χριστὲ, καὶ φθορεῖ τῷ φθείραντι χρώμενος, διὰ φθορᾶς ἐπήγασας τὴν ἀνάστασιν. Θ. Ἡ παρθένος ἔτεκε, καὶ τεκοῦσα ἔμεινεν ἁγνὴ ἐν χερσὶ τὸν φέροντα τὰ σύμπαντα, ὡς παρθένος ἀληθῶς μήτηρ βαστάσασα.

ἄλλος ὁ εἱρμός. Ἐκύκλωσέ με.

Ἐξέτεινας παλάμας σου, συνάγων τὰ διεσκορπισμένα ἐθνῶν συστήματα, Χριστὲ ὁ θεὸς ἡμῶν, τῷ ζωηφόρῳ σταυρῷ σου, ὡς φιλάνθρωπος. Ἐσκύλευσας τὸν ᾅδην σωτὴρ ἡμῶν, τῇ ταφῇ σου καὶ τῇ ἀναστάσει σου, θάνατον καὶ πύλας τοῦ ᾅδου συνέτριψας. Ἀδὰμ δὲ ὁ δέσμιος λυθεὶς ἀνεβόησε. διέσωσέ με ἡ δεξιά σου κύριε.

ἀνυμνοῦμεν ζωοδότα κύριε, ἐλέησον ἡμᾶς.

Ἐλέησόν με ὁ θεός. Βλέψ. καὶ οἰκτιρμοῖς. Ὁ κανὼν ἀναστάσιμος. ἦχος πλαγίου ά. ᾠδὴ ά. ὁ εἱρμός.

Ἵππον καὶ ἀναβάτην εἰς θάλασσαν ἐρυθράν, ὁ συντρίβων πολέμους ἐν ὑψηλῷ βραχίονι. Χριστὸς ἐξετίναξεν· Ἰσραὴλ δὲ ἔσωσεν, ἐπινίκιον ὕμνον ᾄδοντα.

Σὲ ἡ ἀκανθηφόρος ἑβραίων συναγωγή, οὐ στοργὴν δ' ἐργάτα πρὸς σὲ φυλάξασα, μητρικὴν Χριστὲ ἐστεφάνωσε, τὸν γεωργὸν λύοντα τῆς ἀκάνθης τὸ ἐπιτίμιον. Ἡ γεραιὰς με πεσόντα, τῷ βόθρῳ ἐπικλιθεὶς ζωοδότα ἀπαθῶς, καὶ τῆς ἐμῆς δυσώσεις φθορᾶς, Χριστὲ ἀνασχόμενος, ἀπειράστως θείας οὐσίας, μύρῳ με δ' ὡδίασας. Θ΄. Λέλυται ἡ κατάρα, ἡ λύπη πέπαυται, ἡ γὰρ δ' ἀλογημένη, καὶ κεχαριτωμένη, πιστοῖς χαρὰν ἐξανέτειλεν. δ' ἀλογίαν πᾶσιν ἀνθιφόροῦσα, Χριστὸν τοῖς πέρασιν.

Ἕτερος κανὼν σταυροαναστάσιμος ἦχος πλαγίου ά. ᾠδὴ ά. ὁ εἱρμός. Τῷ σωτῆρι θεῷ.

Τῷ βουλήσει σταυρῷ προσηλωθέντι σαρκὶ καὶ τῆς ἀρχαίας ἀποφάσεως, τὸν διὰ ξύλου πεσόντα ἐλευθερώσαντι. αὐτῷ μόνῳ ᾄσωμεν. ὅτι δεδόξασται. Τῷ ἐκ τάφου νεκρῶν ἐξαναστάντι Χριστῷ, καὶ τὸν πεσόντα συνεγείραντι, καὶ συνεδρίᾳ πατρικῇ κατακοσμήσαντι, αὐτῷ μόνῳ ᾄσωμεν. ὅτι δεδόξασται.

ᾠδὴ γ΄. ὁ εἱρμός.

Ὁ πήξας ἐπ' οὐδενὸς τὴν γῆν τῷ προστάγματί σου, καὶ μετεωρίσας ἀσχέτως βαρυνομένην, ἐπὶ τὴν ἀσάλευτον Χριστέ, πέτραν τῶν ἐντολῶν σου, τὴν ἐκκλησίαν σου στερέωσον, μόνε ἀγαθὲ καὶ φιλάνθρωπε.

Χολὴν μὲν οἱ ἐκ πέτρας τὸ μέλι θηλάσαντες, τῷ ἐν τῇ ἐρήμῳ τερατουργήσαντι, σοὶ προσενηνόχασι Χριστέ. ὄξει δὲ ἀντὶ τοῦ μάννα. δ' εὐεργεσίαν σοι ἠμείψαντο, παῖδες Ἰσραὴλ οἱ ἀγνώμονες. Οἱ πάλαι φωτοειδεῖ νεφέλῃ σκεπόμενοι, τὴν ζωὴν ἐν τάφῳ Χριστὸν κατέθεντο, ἀλλ' αὐτεξουσίως ἀναστάς, πᾶσι πιστοῖς παρέχεις, τὴν μυστικῶς ἐπισκιάζουσαν, ἄνωθεν τοῦ πνεύματος ἔλλαμψιν. Θ΄. Σὺ μήτηρ θεοῦ ἀσυνδυάστως γεγένησαι, τὸν ἐξ ἀκηράτου πατρὸς ἐκλάμψαντος, ἄνωθεν ὠδίνων μητρικῶν, ὅθεν σε θεοτόκον, σεσαρκωμένον γὰρ ἐκύησας, λόγον ὀρθοδόξως κηρύττομεν.

ἄλλος. ὁ εἱρμός. Δυνάμει τοῦ σταυροῦ.

Ἀνέστης ἐκ τοῦ τάφου Χριστὲ φθορᾶς θανάτου λυτρωσάμενος, τοὺς ἀνυμνοῦντας ζωοδότα, τὴν ἑκούσιόν σου σταύρωσιν. Μυρίσαι σου τὸ σῶμα Χριστέ, αἱ μυροφόροι κατεπείγοντο. καὶ μὴ εὑροῦσαι ὑπέστρεφον, ἀνυμνοῦσαι σου τὴν ἔγερσιν.

ᾠδὴ δ΄. ὁ εἱρμός.

Τὴν θείαν ἐνόησας σου κένωσιν, προβλεπτικῶς ὁ Ἀββακούμ, Χριστὲ ἐν τρόμῳ ἐβόα σοι. εἰς σωτηρίαν λαοῦ σου, τοῦ σῶσαι τοὺς χριστούς σου ἐλήλυθας.

Τῆς

στίχος. Ἀνάστηθι κύριε ὁ θεός μου, ὑψωθήτω ἡ χείρ σου.

Τὸν σταυρὸν τοῦ κυρίου ἐγκωμιάσωμεν, τὴν ταφὴν τὴν ἁγίαν ὕμνοις τιμήσωμεν, καὶ τὴν ἀνάστασιν αὐτοῦ ὑπερδοξάσωμεν, ὅτι συνήγειρε νεκροὺς ἐκ τῶν μνημάτων ὡς θεὸς, σκυλεύσας κράτος θανάτου, καὶ τὴν ἰσχὺν διαβόλου, καὶ τοῖς ἐν σκότει φῶς ἀνέτειλε.

Αὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ κύριος.

Κύριε νεκρὸς προσηγορεύθης, ὁ νεκρώσας τὸν θάνατον, ἐν μνήματι ἐτέθης, ὁ κενώσας τὰ μνήματα, ἄνω στρατιῶται τὸν τάφον ἐφύλαττον, κάτω τοὺς ἀπ' αἰῶνος νεκροὺς ἐξανέστησας. παντοδύναμε καὶ ἀκατάληπτε κύριε, δόξα σοι. Δόξα καὶ νῦν θεοτοκίον.

Χαῖρε ἅγιον ὄρος καὶ θεοβάδιστον, χαῖρε ἔμψυχε βάτε, καὶ ἀκατάφλεκτε. χαῖρε ἡ μόνη πρὸς θεὸν κόσμου γέφυρα, ἡ μετάγουσα θνητοὺς πρὸς τὴν αἰώνιον ζωήν. χαῖρε ἀκήρατε κόρη ἡ ἀπειράνδρως τεκοῦσα τὴν σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Οἱ ἀναβαθμοὶ ἀντίφωνον. α. ἦχος πλαγίου. α.

Ἐν τῷ θλίβεσθαί με, Δαβιτικῶς ᾄδω σοι σωτήρ μου. ῥῦσαί μου τὴν ψυχὴν ἐκ γλώσσης δολίας. πρὸς κύριον. Τοῖς ἐρημικοῖς ζωὴ μακαρία ἐστὶ, θείῳ ἔρωτι πτερουμένοις.

Τὰ βέλη τοῦ δυνατοῦ ἠκονημένα σὺν τοῖς ἄνθραξι.

Ἁγίῳ πνεύματι, περικρατεῖται πάντα τὰ ὁρατά τε, σὺν τοῖς ἀοράτοις, αὐτοκρατὲς γὰρ ὂν τῆς τριάδος ἕν ἐστιν ἀψευδῶς.

Δόξα τὸ αὐτό. Ἀντίφωνον β. ἦχος πλαγίου. α.

Εἰς τὰ ὄρη ψυχὴ ἀρθῶμεν. δεῦρο ἐκεῖσε, ὅθεν βοήθεια ἥκει.

Ἦρα τοὺς ὀφθαλμούς μου.

Δεξιά σου χεὶρ κἀμὲ Χριστὲ ἐπιλαμένη, σκαιωρίας πάσης περιφυλαξάτω.

Κύριος φυλάξει σε, κύριος σκεπάσει σε ἐπὶ χεῖρα.

Ἁγίῳ πνεύματι θεολογοῦντες φῶμεν, σὺ εἶ θεὸς, ζωὴ, ἔρως, φῶς, νοῦς, σὺ χρηστότης, σὺ βασιλεύεις εἰς τοὺς αἰῶνας. Δόξα τὸ αὐτό.

Ἀντίφωνον γ. πλαγίου α.

Ἐπὶ τοῖς εἰρηκόσι μοι εἰς τὰς αὐλὰς πορευσώμεθα κυρίου. χαρᾶς πολλῆς πλησθεὶς εὐχὰς ἀναπέμπω. Εὐφράνθην. Ἐπὶ τὸν οἶκον Δαβὶδ τὰ φοβερὰ τελεσιουργεῖται. πῦρ γὰρ ἐκεῖ φλέγον, ἅπαντα αἰσχρὸν νοῦν.

Ὅτι ἐκεῖ ἐκάθισαν θρόνοι εἰς κρίσιν θρόνοι. Ἁγίῳ πνεύματι, ζωαρχικὴ ἀξία, ἐξ οὗ πᾶν ζῶον ἐμψυχοῦται, ὡς ἐν πατρὶ, ἅμα τε καὶ λόγῳ.

Δόξα τὸ αὐτό. προκείμενον ἦχος πλαγίου α. Ἀνάστηθι κύριε ὁ θεός μου, ὅτι σὺ βασιλεύεις εἰς τοὺς αἰῶνας. στίχος. Ἐλέησόν με ὁ θεὸς ἐλέησόν με ὅτι ἐπὶ σοὶ πέποιθεν ἡ ψυχή μου. Πᾶσα πνοή [illegible] [illegible] [illegible] δόξα.

Ἐν μνήματι ἐτέθης ἑκουσίως ἐλεῆμον, καὶ τὸν πρωτόπλαστον ἐρρύσω τοῦ θανάτου σῶτερ, δόξα σοι. καὶ νῦν. Τὴν ἀνάστασίν σου

 ἀνυμ-

στόν, καὶ τῶν οὐρανῶν μὴ χωρισθέντα, ἐν φωναῖς ᾀσμάτων μεγαλύνομεν, ὅτι σταυρὸν καὶ θάνατον κατεδέξω, διὰ τὸ γένος ἡμῶν, ὡς φιλάνθρωπος κύριος, σκυλεύσας ᾅδου πύλας, τριήμερος ἀνέστης, σώζων τὰς ψυχὰς ἡμῶν.

Στιχηρὰ κατὰ ἀλφάβητον. Ὁ κύριος ἐβασίλευσεν εὐπρέπειαν.

Νυγείσης σου τῆς πλευρᾶς ζωοδότα, κρουνοὺς ἀφέσεως πᾶσιν ἐξέβλυσας ζωῆς καὶ σωτηρίας, σαρκὶ δὲ θάνατον κατεδέξω, ἀθανασίαν ἡμῖν δωρούμενος. οἰκήσας τάφῳ δέ, ἡμᾶς ἠλευθέρωσας, συναναστήσας ἑαυτῷ, ἐνδόξως ὡς θεός. διὰ τοῦτο βοῶμεν, φιλάνθρωπε κύριε δόξα σοι.

Καὶ γὰρ ἐστερέωσε τήν.

Ξένη σου ἡ σταύρωσις, καὶ ἡ ἐν ᾅδου κάθοδος φιλάνθρωπε ὑπάρχει, σκυλεύσας γὰρ αὐτόν, καὶ τοὺς πάλαι δεσμίους συναναστήσας ἑαυτῷ ἐνδόξως ὡς θεός, τὸν παράδεισον ἀνοίξας τούτου ἀπολαύειν ἠξίωσας. διὸ καὶ ἡμῖν τοῖς δοξάζουσι, τὴν σὴν τριήμερον ἔγερσιν, δώρησαι ἱλασμὸν ἁμαρτιῶν, παραδείσου οἰκήτορας, καταξιῶν, ὡς μόνος εὔσπλαγχνος.

Τῷ οἴκῳ σου.

Ὁ δι' ἡμᾶς σαρκὶ πάθος δεξάμενος, καὶ τριήμερος ἐκ νεκρῶν ἀναστάς, τῆς σαρκὸς ἡμῶν τὰ πάθη θεράπευσον, καὶ ἀνάστησον ἐκ πταισμάτων χαλεπῶν φιλάνθρωπε καὶ σῶσον ἡμᾶς.

Δόξα καὶ νῦν θ'.

Ναός, καὶ πύλη ὑπάρχεις, παλάτιον, καὶ θρόνος τοῦ βασιλέως, παρθένε πάνσεμνε, δι' ἧς ὁ λυτρωτής μου Χριστὸς ὁ κύριος, τοῖς ἐν σκότει καθεύδουσιν ἐπέφανεν, ἥλιος ὑπάρχων δικαιοσύνης, φωτίσαι θέλων, οὓς ἔπλασε κατ' εἰκόνα ἰδίαν χειρὶ τῇ αὐτοῦ. διὸ πανύμνητε, ὡς μητρικὴν παρρησίαν πρὸς αὐτὸν κεκτημένη, ἀδιαλείπτως πρέσβευε σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἰς τὸ ἀπόδειπνον κανὼν τῆς θεοτόκου ζήτει. φύλ. ροϛ'.

Τῇ κυριακῇ εἰς τὸν ὄρθρον, εἰς τὸ θεὸς κύριος τροπάριον. ἦχος πλάγιος α'. δίς.

Τὸν συνάναρχον λόγον πατρὶ καὶ πνεύματι, τὸν ἐκ παρθένου τεχθέντα εἰς σωτηρίαν ἡμῶν, ἀνυμνήσωμεν πιστοί, καὶ προσκυνήσωμεν. ὅτι ηὐδόκησε σαρκὶ ἀνελθεῖν ἐν τῷ σταυρῷ, καὶ θάνατον ὑπομεῖναι, καὶ ἐγεῖραι τοὺς τεθνεῶτας, ἐν τῇ ἐνδόξῳ ἀναστάσει αὐτοῦ. θ'. Χαῖρε πύλη κυρίου ἡ ἀδιόδευτος. χαῖρε τεῖχος καὶ σκέπη τῶν προστρεχόντων εἰς σέ, χαῖρε ἀχείμαστε λιμήν, καὶ ἀπειρόγαμε, ἡ τεκοῦσα ἐν σαρκὶ τὸν ποιητήν σου καὶ θεόν. πρεσβεύουσα μὴ ἐλλίπῃς, ὑπὲρ τῶν ἀνυμνούντων καὶ προσκυνούντων τὸν τόκον σου.

Ἡ ὑπακοή. ἦχος πλαγ. α'.

Ἀγγελικῇ ὁράσει τὸν νοῦν ἐκθαμβούμεναι, καὶ θεϊκῇ ἐγέρσει, τὴν ψυχὴν φωτιζόμεναι, αἱ μυροφόροι τοῖς ἀποστόλοις εὐηγγελίζοντο. ἀναγγείλατε ἐν τοῖς ἔθνεσι τὴν ἀνάστασιν τοῦ κυρίου συνεργοῦντος τοῖς θαύμασι, τοῦ παρέχοντος ἡμῖν τὸ μέγα ἔλεος.

στίχος.



Τῷ Σαββάτῳ ἑσπέρας εἰς τὸ κύριε ἐκέκραξα στιχηρὰ ἀναστάσιμα. ἦχος πλαγίου α΄.

Ιὰ τοῦ τιμίου σου σταυροῦ Χριστὲ διάβολον ᾔσχυνας, καὶ διὰ τῆς ἀναστάσεώς σου τὸ κέντρον τῆς ἁμαρτίας ἤμβλυνας, καὶ ἔσωσας ἡμᾶς ἐκ τῶν πυλῶν τοῦ θανάτου. δοξάζομέν σε μονογενές. Τὴν ἀνάστασίν σου διδοὺς τῷ γένει τῶν ἀνθρώπων, ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, ἔφριξαν τοῦτον οἱ ἄρχοντες τοῦ ᾅδου. καὶ ἐπήρθησαν πύλαι ὀδυνηραί. εἰσελήλυθε γὰρ ὁ βασιλεὺς τῆς δόξης Χριστὸς, λέγων τοῖς ἐν δεσμοῖς ἐξέλθετε, καὶ τοῖς ἐν σκότει ἀνακαλύπτεσθε. Μέγα θαῦμα, ὁ τῶν ἀοράτων κτίστης διὰ φιλανθρωπίαν, σαρκὶ παθὼν ἀνέστη ὁ ἀθάνατος. δεῦτε πατριαὶ τῶν ἐθνῶν. τοῦτον προσκυνήσωμεν. τῇ γὰρ αὐτοῦ εὐσπλαγχνίᾳ, ἐκ πλάνης ῥυσθέντες, ἐν τρισὶν ὑποστάσεσιν. ἕνα θεὸν ὑμνεῖν μεμαθήκαμεν.

Ἕτερα στιχηρὰ ἀνατολικά. ἦχος πλαγίου α΄.

Ἑσπερινὴν προσκύνησιν προσφέρομέν σοι τῷ ἀνεσπέρῳ φωτί. τῷ ἐπὶ τέλει τῶν αἰώνων, ὡς ἐν ἐσόπτρῳ διὰ σαρκὸς λάμψαντι τῷ κόσμῳ, καὶ μέχρις ᾅδου κατελθόντι, καὶ τὸ ἐκεῖσε σκότος λύσαντι, καὶ τὸ φῶς τῆς ἀναστάσεως, τοῖς ἔθνεσι δείξαντι. φωτοδότα κύριε δόξα σοι. Τὸν ἀρχηγὸν τῆς σωτηρίας ἡμῶν Χριστὸν δοξολογήσωμεν. αὐτοῦ γὰρ ἐκ νεκρῶν ἀναστάντος, κόσμος ἐκ πλάνης σέσωσται. χαίρει χορὸς ἀγγέλων. φεύγει δαιμόνων πλάνη. Ἀδὰμ πεσὼν ἀνίσταται. διάβολος κατήργηται. Οἱ τῆς κουστωδίας ἐνηχοῦντο ὑπὸ τῶν παρανόμων, καλύψατε Χριστοῦ τὴν ἔγερσιν, καὶ λάβετε ἀργύρια, καὶ εἴπατε. ὅτι ἡμῶν κοιμωμένων ἐκ τοῦ μνημείου ἐσυλήθη ὁ νεκρός. τίς εἶδε; τίς ἤκουσε νεκρὸν κλαπέντα ποτέ; μάλιστα ἐσμυρνισμένον καὶ νεκρὸν, καταλιπόντα ἐν τῷ τάφῳ τὰ ἐντάφια αὐτοῦ. μὴ πλανᾶσθε Ἰουδαῖοι. μάθετε τὰς ῥήσεις τῶν προφητῶν, καὶ γνῶτε, ὅτι αὐτός ἐστιν ἀληθῶς, ὁ λυτρωτὴς τοῦ κόσμου, καὶ παντοδύναμος. Κύριε ὁ τὸν ᾅδην σκυλεύσας, καὶ τὸν θάνατον πατήσας σωτὴρ ἡμῶν. ὁ φωτίσας τὸν κόσμον ἐν τῷ σταυρῷ, τῷ τιμίῳ ἐλέησον ἡμᾶς.

Δόξα. καὶ νῦν. θ΄. Ἐν τῇ ἐρυθρᾷ θαλάσσῃ τῆς ἀπειρογάμου νύμφης, εἰκὼν διεγράφη ποτέ. ἐκεῖ Μωϋσῆς διαιρέτης τοῦ ὕδατος. ἐνθάδε Γαβριὴλ, ὑπηρέτης τοῦ θαύματος. τότε τὸν βυθὸν ἐπέζευσεν ἀβρόχως Ἰσραήλ. νῦν δὲ τὸν Χριστὸν ἐγέννησεν ἀσπόρως ἡ παρθένος. ἡ θάλασσα μετὰ τὴν πάροδον τοῦ Ἰσραὴλ, ἔμεινεν ἄβατος. ἡ ἄμεμπτος μετὰ τὴν κύησιν τοῦ Ἐμμανουὴλ, ἔμεινεν ἄφθορος, ὁ ὢν καὶ προὼν, καὶ φανεὶς ὡς ἄνθρωπος θεὸς ἐλέησον ἡμᾶς.

Εἰς τὸν στίχον, στιχηρά. ἦχος πλαγίου α΄.

Σὲ τὸν σαρκωθέντα σωτῆρα Χρι-

ἀνάστασιν. Τοῦ δῆσαι τοὺς βασιλεῖς.

Ἐν τῷ σταυρῷ σου Χριστὲ, τῆς ἀρχαίας κατάρας ἠλευθέρωσας ἡμᾶς, καὶ ἐν τῷ θανάτῳ σου τὸν φύσιν ἡμῶν τυραννήσαντα διάβολον κατήργησας, ἐν δὲ τῇ ἐγέρσει σου, χαρᾶς τὰ πάντα ἐπλήρωσας. διὸ βοῶμέν σοι ὁ ἀναστὰς ἐκ τῶν νεκρῶν. κύριε δόξα σοι.

Τοῦ ποιῆσαι ἐν αὐτοῖς. Τῷ σῷ σταυρῷ Χριστὲ σωτὴρ, ὁδήγησον ἡμᾶς ἐπὶ τὴν ἀλήθειάν σου, καὶ ῥῦσαι ἡμᾶς τῶν παγίδων τοῦ ἐχθροῦ ὁ ἀναστὰς ἐκ τῶν νεκρῶν. ἀνάστησον ἡμᾶς πεσόντας τῇ ἁμαρτίᾳ, ἐκτείνας τὴν χεῖρά σου φιλάνθρωπε κύριε τῇ πρεσβείᾳ τῶν ἁγίων σου.

Αἰνεῖτε τὸν θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ.

Τῶν πατρικῶν σου κόλπων μὴ χωρισθεὶς μονογενὲς λόγε τοῦ θεοῦ, ἦλθες ἐπὶ γῆς διὰ φιλανθρωπίαν. ἄνθρωπος γενόμενος ἀτρέπτως, καὶ σταυρὸν, καὶ θάνατον ὑπομείνας σαρκὶ, ὁ ἀπαθὴς τῇ θεότητι. ἀναστὰς δὲ ἐκ νεκρῶν ἀθανασίαν παρέχεις τῷ γένει τῶν ἀνθρώπων, ὡς μόνος παντοδύναμος.

Ἕτερα στιχηρὰ ἀναστάσιμα ἀνατολικά. ἦχος δ΄. Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς.

Θάνατον κατεδέξω σαρκὶ, ἡμῖν ἀθανασίαν πραγματευσάμενος σωτὴρ, καὶ ἐν τάφῳ ᾤκισας, ἵνα ἡμᾶς τοῦ ᾅδου ἐλευθερώσῃς, συναναστήσας ἑαυτῷ, παθὼν μὲν ὡς ἄνθρωπος. ἀλλ' ἀναστὰς ὡς θεός. διὰ τοῦτο βοῶμεν. δόξα σοι ζωοδότα κύριε, μόνε φιλάνθρωπε.

Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ.

Πέτραι ἐσχίσθησαν σωτὴρ, ὅτε ἐν τῷ κρανίῳ ὁ σταυρός σου ἐπάγη, ἔφριξαν ᾅδου πυλωροὶ, ὅτε ἐν τῷ μνημείῳ ὡς θνητὸς κατετέθης. καὶ γὰρ τοῦ θανάτου καταργήσας τὴν ἰσχὺν. τοῖς τεθνεῶσι πᾶσιν ἀφθαρσίαν παρέσχες, τῇ ἀναστάσει σου σωτὴρ, ζωοδότα κύριε δόξα σοι.

Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ.

Ἐπεθύμησαν γυναῖκες ἰδεῖν σου τὴν ἀνάστασιν Χριστὲ ὁ θεὸς, ἦλθε προλαβοῦσα Μαρία ἡ Μαγδαληνή. εὗρε τὸν λίθον ἀποκυλισθέντα τοῦ μνήματος, καὶ τὸν ἄγγελον καθεζόμενον καὶ λέγοντα, τί ζητεῖτε τὸν ζῶντα μετὰ τῶν νεκρῶν; ἀνέστη ὡς θεὸς, ἵνα σώσῃ τὰ σύμπαντα.

Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις.

Ποῦ ἐστὶν Ἰησοῦς, ὃν ἐλογίσασθε φυλάττειν, εἴπατε Ἰουδαῖοι, ποῦ ἐστὶν. ἐθήκατε ἐν τῷ μνήματι, τὸν λίθον σφραγίσαντες, δότε τὸν νεκρὸν οἱ τὴν ζωὴν ἀρνησάμενοι, δότε τὸν ταφέντα, ἢ πιστεύσατε τῷ ἀναστάντι. κἂν ὑμεῖς σιγήσητε τοῦ κυρίου τὴν ἔγερσιν. οἱ λίθοι κεκράξονται. μάλιστα ὁ ἀποκυλισθεὶς ἐκ τοῦ μνήματος, μέγα σου τὸ ἔλεος, μέγα τὸ μυστήριον τῆς οἰκονομίας σου σωτὴρ ἡμῶν δόξα σοι.

Τέλος τοῦ δ΄. ἤχου.

Τῷ σαβ-

Α ἀχείμων ὤφθη γυναιξὶ, τῷ ἀπροσίτῳ φωτὶ, τῆς ἀναστάσεως, καταστραπτόμενος ἄγγελος, τί τὸν ζῶντα ἐν τῷ τάφῳ βοῶν, ἐπιζητεῖτε ὡς θνητόν; ὄντως ἠγέρθη Χριστὸς, ᾧ βοῶμεν. πάντα τὰ ἔργα ὑμνεῖτε τὸν κύριον. θ΄. Σὺ μόνη ἐν πάσαις γυναιξὶ, παρθένε ἄχραντε, μήτηρ ἐδείχθης θεοῦ, σὺ τῆς θεότητος γέγονας ἐνδιαίτημα πανάμωμε, μὴ φλεχθεῖσα τῷ πυρὶ, τοῦ ἀπροσίτου φωτός. ὅθεν πάντες, σὲ εὐλογοῦμεν Μαρία θεόνυμφε.

ἄλλος. ὁ εἱρμός. Παῖδας εὐαγ.

Τ Ἣν ἄδικον βλέπουσα σφαγήν σου, ἡ κτίσις κατηφιῶσα ἐπωδύρετο. γῆς ταρασσομένης γὰρ, ζόφον ὡς ἱμάτιον μελεβαφὲς, ὁ ἥλιος περιεβάλετο. ὑμεῖς δὲ ἀπαύστως ὑμνοῦμεν, καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας. Ὁ συγκαταβάς μοι μέχρις ᾅδου, καὶ πᾶσιν ὁδοποιήσας τὴν ἀνάστασιν, αὖθις ἀναβέβηκας, ἄρας με ἐπ᾽ ὤμων σου, καὶ τῷ πατρὶ προσήγαγες. ὅθεν κραυγάζω σοι. τὸν κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

ᾠδὴ θ. στίχος. Σὲ τὴν θεοτόκον τὴν μητέρα τοῦ φωτὸς ἐν ὕμνοις μεγαλύνομεν. ὁ εἱρμός.

Λ Ἴθος ἀχειρότμητος ὄρους, ἐξ ἀλοχεύτου σοῦ παρθένε, ἀκρογωνιαῖος ἐτμήθη, Χριστὸς συνάψας τὰς διεστώσας φύσεις. διὸ ἐπαγαλλόμενοι, σὲ θεοτόκε μεγαλύνομεν.

Ο Λον με ἀνείληφας ὅλος, ἐν συναφείᾳ ἀσυγχύτῳ, ὅλῳ μοι δέδωκας ὁ θεὸς μου τὴν σωτηρίαν διὰ τοῦ πάθους σου, οὗ ἐν σταυρῷ ὑπέμεινας, σωματικῶς δι᾽ εὐσπλαγχνίαν πολλήν. Ὁ ἱ σοὶ μαθηταὶ καθορῶντες, ἀνεῳγμένον σου τὸν τάφον, καὶ τὰς θεοφόρους σινδόνας κεκενωμένας τῇ ἀναστάσει σου. σὺν τῷ ἀγγέλῳ ἔλεγον. ὄντως ἐγήγερται ὁ κύριος. Μονάδα μὲν θείας οὐσίας, ἀλλ᾽ ὑποστάσεων τριάδα, πάντες οἱ πιστοὶ προσκυνοῦντες, ἐν ἀσυγχύτοις ταῖς ὑποστάσεσιν, ἰσοσθενῆ ὁμότιμον, νῦν εὐσεβοῦντες μεγαλύνομεν.

ἄλλος. ὁ εἱρμός. Ἅπας γηγενής.

Δ Ολῳ τῆς Ἐδὲμ, ἑρπύσας ὁ ὄφις με εἷλεν αἰχμάλωτον, πρὸς τὴν τοῦ κρανίου δὲ, κρατίστην πέτραν, τοῦτον ἠδάφισεν, ὁ παντοκράτωρ κύριος, καθάπερ νήπιον, τῆς τρυφῆς δὲ αὖθις μοι τὴν εἴσοδον, διὰ ξύλου σταυροῦ ἀνεπέτασεν. Ἔσθου κραταιὰ, ἐχθροῦ ὀχυρώματα, νῦν εἰς ἐρήμωσιν, τῇ παναλκεστάτῃ δὲ, χειρὶ τὸν πλοῦτον, τούτου διήρπασας, ἐκ κενεώνων ᾅδου με συναγείρας Χριστὲ, καὶ τὸν πάλαι ἄμετρα καυχώμενον, ὡς γελοῖον παιζόμενον ἔδειξας.

Συναπτὴ μικρά, τὸ ἅγιος κύριος. Ἐξαποστειλάριον. οἱ αἶνοι στιχηρὰ ἀναστάσιμα ἦχος δ΄. εἰς τοὺ ποιῆσαι ἐν αὐτοῖς κρίμα ἔγγραπτον.

Ο Σπορὸν ὑπομείνας καὶ θάνατον, καὶ ἀναστὰς ἐκ τῶν νεκρῶν, παντοδύναμε κύριε δοξάζομέν σου τὴν

ἐστενοχώρησεν. ἄλλος. ὁ εἱρμός. Ἠ…ν εἰς τα.

Διήνοιξε φάρυγγα ὁ ᾅδης, καὶ καταπέπωκέ με, καὶ ψυχὴν ἐπλάτυνεν ὁ ἄφρων, ἀλλ᾽ ὁ Χριστὸς καταβὰς ἀνήγαγε, τὴν ζωήν μου, ὡς φιλάνθρωπος. Ἑάλω ὁ θάνατος θανάτῳ, ὁ γὰρ θανὼν ἀνέστη ἀφθαρσίαν μοι δεδωρημένος, ἐμφανισθεὶς γυναιξὶ προσφθέγγεται, τὴν χαρὰν δὲ ὁ ἀθάνατος.

Τὸ κοντάκιον. ἦχος δ΄. Ἐπεφάνης σήμερον.

Ὁ Σωτὴρ καὶ ῥύστης μου ἀπὸ τοῦ τάφου, ὡς θεὸς ἀνέστησεν ἐκ τῶν δεσμῶν τοὺς γηγενεῖς, καὶ πύλας ᾅδου συνέτριψε, καὶ ὡς δεσπότης ἀνέστη τριήμερος. ὁ οἶκος. Τὸν ἀναστάντα ἐκ νεκρῶν, Χριστὸν τὸν ζωοδότην, τριήμερον ἐκ τάφου, καὶ πύλας τοῦ θανάτου, ὡς ζωοδότην, καὶ θεὸν σήμερον συνθλάσαντα τῇ δυνάμει τῇ αὐτοῦ, τὸν ᾅδην τε νεκρώσαντα, καὶ τὸ κέντρον τοῦ θανάτου συντρίψαντα, καὶ τὸν Ἀδὰμ σὺν τῇ Εὔᾳ ἠλευθερώσαντα, ὑμνήσωμεν πάντες οἱ γηγενεῖς. Βοῶντες αἶνον ἐκτενῶς. αὐτὸς γὰρ, ὡς μόνος κραταιὸς θεὸς καὶ δεσπότης. Ἀνέστη τριήμερος.

ᾠδὴ ζ΄. ὁ εἱρμός.

Ἐν τῇ καμίνῳ Ἀβραμιαῖοι παῖδες τῇ περσικῇ, πόθῳ εὐσεβείας μᾶλλον, ἢ τῇ φλογὶ, πυρπολούμενοι ἐκραύγαζον. εὐλογημένος εἶ, ἐν τῷ ναῷ τῆς δόξης σου κύριε. Πρὸς ἀφθαρσίαν ἡ ἀνθρωπότης ἀνακέκληται, θείῳ λυσαμένη αἵματι τοῦ Χριστοῦ, εὐχαρίστως ἀναμέλπουσα. εὐλογημένος εἶ ἐν τῷ ναῷ τῆς δόξης σου κύριε. Ὢ, ὡς ζωηφόρος ὡς παραδείσου ὡραιότερος. ὄντως, καὶ παστάδος πάσης βασιλικῆς, ἀναδέδεικται λαμπρότερος, Χριστὲ ὁ τάφος σου, ἡ πηγὴ τῆς ἡμῶν ἀναστάσεως. ζ΄. Τὸ τοῦ ὑψίστου ἡγιασμένον θεῖον σκήνωμα. χαῖρε διὰ σοῦ γὰρ δέδοται ἡ χαρὰ, θεοτόκε τοῖς κραυγάζουσιν. εὐλογημένη σὺ ἐν γυναιξὶ ὑπάρχεις πανάμωμε δέσποινα.

ἄλλος. ὁ εἱρμός. Οὐκ ἐλάτρευσαν.

Ἐταπείνωσας ἐν ξύλῳ ἀναρτώμενος, ὄμμα μετέωρον, καὶ ἐπηρμένην ὀφρὺν, εἰς γῆν καταβέβληκας, σώζων τὸν ἄνθρωπον, ὑπερύμνητε. ὁ τῶν πατέρων κύριος, καὶ θεὸς εὐλογητὸς εἶ. Τῇ δυνάμει σου τὸ κέρας ἡμῶν ὕψωσον, τῶν λατρευόντων σοι, ὁ ἀναστὰς ἐκ νεκρῶν καὶ ᾅδην κενώσας πρὶν, τὸν πολυάνθρωπον πλοῦτον δέσποτα. ὁ τῶν πατέρων κύριος, καὶ θεὸς εὐλογητὸς εἶ.

ᾠδὴ η΄. ὁ εἱρμός.

Χεῖρας ἐκπετάσας Δανιὴλ, λεόντων χάσματα, ἐν λάκκῳ ἔφραξε. πυρὸς δὲ δύναμιν ἔσβεσαν ἀρετὴν περιζωσάμενοι. οἱ εὐσεβείας ἐρασταὶ, παῖδες κραυγάζοντες. εὐλογεῖτε πάντα τὰ ἔργα κυρίου τὸν κύριον. Χεῖρας ἐκπετάσας ἐν σταυρῷ, τὰ ἔθνη ἅπαντα ἐπισυνήγαγες, καὶ μίαν ἔδειξας δέσποτα ἐκκλησίαν ἀνυμνοῦσάν σε. τοῖς ἐπὶ γῆς, καὶ οὐρανοῦ συμφώνως ψάλλουσιν. εὐλογεῖτε πάντα τά.

ἀφροσυνης ... ἐσιν ... τῇ τάξει συν... εἰκότως κραυγάζουσι. δόξα τῇ δυνάμει σου κύριε.

Ανελύληθας τὰ πάθη μου δε ἐγπάδιον, ὅτι σαυρῶ τῷ πάθει, τῆς ἀχράντου σαρκός σου, ἣν ἐκῶν ἐφόρεσας. διό σοι κραυγάζομεν. δόξα τῇ δυνάμει σου κύριε. Αναμαρτήτε ὁ θάνατος γενόμενος, ζωοποιῦ τε σώματος, τοῦ σοῦ ἐπαξίως, δέσποτα νενέκρωται. ἡμεῖς δὲ βοῶμεν σοι. δόξα τῇ δυνάμει σου κύριε. Θ. Απερογάμως ἐκύησας ὦ παρθένε, καὶ μετὰ τόκον ὤφθης παρθενεύουσα πάλιν, ὅθεν ἀσιγήτοις φωναῖς, τὸ χαῖρε σοι δέσποινα, πίστει ἀδιστάκτῳ κραυγάζομεν. ἄλλος. ὁ εἱρμός. Τὴν ἀνεξιχνίαστον θείαν.

Νενομοθετημένος ὢν Ισραὴλ, σὲ Χριστὲ τὸν νομοθετήσαντα, θεὸν οὐκ ἔγνω, ἀλλ' ὡς ἄνομον σαυρῷ προσηλωμένον περιέπηξεν, ὁ νομοθεσίας ἀνάξιος. Η τεθεωμένη σου σῶτερ ψυχὴ, ᾅδου θησαυροὺς προνομεύσασα, τὰς ἀπ' αἰῶνος συνανέστησε ψυχάς. τὸ ζωηφόρον σῶμα δὲ, πᾶσιν ἀφθαρσίαν ἐπήγασεν. ἄλλος. ὁ εἱρμός.

Συ κύριέ μου φῶς εἰς τὸν κόσμον ἐλήλυθας, φῶς ἅγιον ὁ ἐπιστρέφων, ἐκ ζοφώδους ἀγνοίας, τοὺς πίστει ἀνυμνοῦντάς σε.

Συ κύριε πρὸς γῆν, συμπαθῶς κατελήλυθας, σὺ ὕψωσας τὴν πεσοῦσαν, τῶν ἀνθρώπων οὐσίαν, ἐν ξύλῳ ἀναρτούμενος. Σὺ ἦρας μου Χριστὲ, τῶν πταισμάτων τὸ ἔγκλημα, σὺ ἔλυσας τὰς ὀδύνας, τοῦ θανάτου οἰκτίρμον, τῇ θείᾳ ἀναστάσει σου. Θ. Σὲ ὅπλον ἀρραγὲς, κατ' ἐχθρῶν προβαλλόμεθα, σὲ ἄγκυραν, καὶ ἐλπίδα, τῆς ἡμῶν σωτηρίας, θεόνυμφε κεκτήμεθα. ἄλλος. ὁ εἱρμός. Εξέστη τὰ σύμπαντα.

Εδέξατο ὅλον σε, ᾅδης ὁ ἄφρων σόματι. ξύλῳ γὰρ παγέντα σε ἀθρόως, λόγχῃ νυγέντα ἄπνουν τὸν ζῶντα θεὸν, ψιλὸν ἐλογίσατο βροτὸν, ἔγνω πειραθεὶς δέσποτα, τὴν ἰσχὺν τῆς θεότητος. Λυθέντα φιλάνθρωπε σοῦ τὸν ναὸν τοῦ σώματος, τάφος μερισάμενος καὶ ᾅδης, ἄκοντες ἄμφω δίκας εἰσπράττονται. ὁ μὲν τῶν ἁγίων σου ψυχὰς, σώματα δὲ ἕτερος, συνεκπέμπων ἀθάνατε. ᾠδὴ ϛ΄. ὁ εἱρμός.

Θυσω σοι, μετὰ φωνῆς αἰνέσεως κύριε, ἡ ἐκκλησία βοᾷ σοι, ἐκ δαιμόνων λύθρου κεκαθαρμένη, τῷ διὰ οἶκτον, ἐκ τῆς πλευρᾶς σου ῥεύσαντι αἵματι.

Ανῆλθες ἐν σαυρῷ δυναστείαν ζωσάμενος, καὶ συμπλακεὶς τῷ τυράννῳ, ὡς θεὸς ἐξ ὕψους κατέρραξας, τὸν Αδὰμ δὲ ἀηττήτῳ παλάμῃ ἀνέστησας. Ανέστης ἐξαστράπτων ὡραῖος ἐκ τάφου Χριστὲ, καὶ διεσκέδασας πάντας, τοὺς ἐχθροὺς τῇ θείᾳ σου δυναστείᾳ, καὶ τὰ πάντα ὡς θεὸς εὐφροσύνης ἐπλήρωσας. Θ. Ω θαῦμα τῶν ἁπάντων θαυμάτων καινότερον, ὅτι παρθένος ἐν μήτρᾳ τὸν τὰ σύμπαντα περιέποντα, ἀπειράνδρως συλλαβοῦσα οὐκ

στίχος. Ο θεὸς ἐν τοῖς ὠσὶν ἡμῶν ἠκούσαμεν.

Τὸ πᾶσα πνοή. τὸ ἑωθινὸν εὐαγγέλιον. Ἀνάστασιν Χριστοῦ. ὁ ν'. καὶ τὰ πεντηκοστάρια. ἦχος δ'. δόξα.

Ο τῇ ταφῇ σου νεκρώσας τὸν θάνατον, καὶ τῇ ἐγέρσει σου ἀνυψώσας τὸν ἄνθρωπον, ζωοδότα Χριστὲ ἐλέησον ἡμᾶς. καὶ νῦν. Ἀναστὰς ἐκ τοῦ τάφου Χριστὲ ὁ θεὸς, ζωὴν ἐδωρήσω ἡμῖν καὶ τὸ μέγα ἔλεος.

Ο κανὼν ἀναστάσιμος ποίημα Ἰωάννου τοῦ Δαμασκηνοῦ. ᾠδὴ α'. ἦχος δ'. ὁ εἱρμός.

Θαλάσσης τὸ ἐρυθραῖον πέλαγος, ἀβρόχοις ἴχνεσιν, ὁ παλαιὸς πεζεύσας Ἰσραὴλ. σταυροτύποις Μωσέως χερσί, τοῦ Ἀμαλὴκ τὴν δύναμιν ἐν τῇ ἐρήμῳ ἐτροπώσατο.

Υψώθης, τὴν ἡμετέραν ἔκπτωσιν ἐπανορθούμενος, ἐν τῷ ἀχράντῳ ξύλῳ τοῦ σταυροῦ, τὴν ἐν ξύλῳ ἰώμενος, πανολεθρίαν δέσποτα, ὡς ἀγαθὸς καὶ παντοδύναμος. Ἐν τάφῳ σωματικῶς, ἐν ᾅδῃ δὲ, μετὰ ψυχῆς ὡς θεός. ἐν παραδείσῳ δὲ μετὰ λῃστοῦ, καὶ ἐν θρόνῳ ὑπῆρχες Χριστὲ, μετὰ πατρὸς, καὶ πνεύματος, πάντα πληρῶν ὁ ἀπερίγραπτος. θ'. Ἀπόρως τῷ τοῦ πατρὸς βουλήματι, ἐκ θείου πνεύματος, τὸν τοῦ θεοῦ συνείληφας υἱὸν, καὶ σαρκὶ ἀπεκύησας, τὸν ἐκ πατρὸς ἀμήτορα, καὶ δι' ἡμᾶς ἐκ σοῦ ἀπάτορα.

Ἕτερος κανὼν σταυροαναστάσιμος ἦχος δ'. ᾠδὴ α'. ὁ εἱρμός. Ἀνοίξω τὸ στόμα μου καὶ.

Ἰᾶσαι τὸ σύντριμμα, τῆς ἀνθρωπότητος, κύριε, τῷ θείῳ σου αἵματι, ἀνασκευάσας αὐτὴν, καὶ συντρίψας δυνάστην ἐν ἰσχύϊ, τὸν πάλαι συντρίψαντα, τοῦ τὸ πλαστούργημα. Νεκρῶν ἐξανάστασις, διὰ νεκρώσεως γέγονας, ἰσχὺς γὰρ ἀφήρηται τῆς θανατώσεως, ὁμιλήσασα ζωῇ τῇ αἰωνίῳ, τῷ πάντων δεσπόζοντι σεσαρκωμένῳ θεῷ.

ᾠδὴ γ'. ὁ εἱρμός.

Ευφραίνεται ἐπὶ σοὶ, ἡ ἐκκλησία σου Χριστὲ, κράζουσα. σύ μου ἰσχὺς κύριε, καὶ καταφυγὴ, καὶ στερέωμα.

Τὸ ξύλον τὸ τῆς ζωῆς, ἡ νοητὴ καὶ ἀληθὴς ἄμπελος, ἐπὶ σταυροῦ κρέμαται, πᾶσιν ἀμβροσίαν πηγάζουσα. Ὡς μέγας ὡς φοβερὸς, ὡς τὸ τοῦ ᾅδου καθελὼν φρύαγμα, καὶ ὡς θεὸς ἄφθαρτος, νῦν σωματικῶς ἐξεγήγερται. θ'. Σὺ μόνη τοῖς ἐπὶ γῆς, τῶν ὑπὲρ φύσιν ἀγαθῶν πρόξενος, μήτηρ θεοῦ γέγονας. ὅθεν σοὶ τὸ χαῖρε προσάγομεν. ἄλλος. ὁ εἱρμός. Τοὺς σοὺς ὑμνολόγους θεοτόκε.

Ιοῦ ἀναμέστους μοι ὁ ὄφις, ὀδόντας ἐνέπηξε σωτὴρ, οὓς παντοκράτορ δέσποτα, ἥλοις χειρῶν σου ἔθλασας. ὅτι οὐκ ἔστιν ἅγιος ἁγίων πλὴν σοῦ φιλάνθρωπε. Ὦ εὐθὴς φιλάνθρωπε βουλήσει, ἐν τάφῳ νεκρὸς ζωοποιὸς, καὶ πύλας ἀνεπέτασας ᾅδου ταῖς ἀπ' αἰώνων ψυχαῖς. ὅτι οὐκ ἔστιν ἅγιος ἁγίων πλὴν σοῦ φιλάνθρωπε. ᾠδὴ δ'. ὁ εἱρμός.

Επαρθέντα σε ἰδοῦσα. ἡ ἐκκλησία ἐπὶ σταυροῦ τὸν ἥλιον, τῆς δικαιο-

Καὶ μετὰ τὴν συνήθη στιχολογίαν ἡ ὑπακοή. ἦχος δ'.

Τὰ τῆς σῆς παραδόξου ἐγέρσεως προδραμοῦσαι αἱ μυροφόροι τοῖς ἀποστόλοις ἐκήρυττον Χριστέ, ὅτι ἀνέστης, ὡς θεός, παρέχων τῷ κόσμῳ τὸ μέγα ἔλεος.

Στίχος. Ἀνάστηθι κύριε ὁ θεός μου.

Ἀναβλέψασαι τοῦ τάφου τὴν εἴσοδον, καὶ τὴν φλόγα τοῦ ἀγγέλου μὴ φέρουσαι, αἱ μυροφόροι σὺν τρόμῳ ἐξίσταντο λέγουσαι· ἆρα ἐκλάπη ὁ τῷ λῃστῇ ἀνοίξας παράδεισον, ἆρα ἠγέρθη, ὁ καὶ πρὸ πάθους κηρύξας τὴν ἔγερσιν· ἀληθῶς ἀνέστη Χριστὸς ὁ θεός, τοῖς ἐν ᾅδῃ παρέχων ζωὴν καὶ ἀνάστασιν.

Αὕτη ἡ ἡμέρα ἣν ἐποίησεν ὁ κύριος ἀγαλλιασώμεθα.

Ἑκουσίᾳ βουλῇ σταυρὸν ὑπομείνας σωτήρ, καὶ ἐν μνήματι καινῷ ἄνθρωποι ἔθεντο θνητοί, τὸν διὰ λόγου τὰ πέρατα συστησάμενον, ὅθεν δεσμευθεὶς ὁ ἀλλότριος, θάνατος δεινῶς ἐσκυλεύετο, καὶ οἱ ἐν ᾅδῃ ἅπαντες ἐκραύγαζον τῇ ζωηφόρῳ ἐγέρσει σου. Χριστὸς ἀνέστης, ὁ ζωοδότης μένων εἰς τοὺς αἰῶνας. Δόξα καὶ νῦν θεοτοκίον. Κατεπλάγη Ἰωσήφ, τὸ ὑπὲρ φύσιν θεωρῶν, καὶ ἐλάμβανεν εἰς νοῦν, τὸν ἐπὶ πόκον ὑετόν, ἐν τῇ ἀσπόρῳ συλλήψει σου θεοτόκε. βάτον ἐν πυρὶ ἀκατάφλεκτον, ῥάβδον Ἀαρὼν τὴν βλαστήσασαν, καὶ μαρτυρῶν ὁ μνήστωρ σου καὶ φύλαξ τοῖς ἱερεῦσιν ἐκραύγαζε, παρθένος τίκτει, καὶ μετὰ τόκον πάλιν μένει παρθένος.

Οἱ ἀναβαθμοί. ἦχος δ'.

Ἐκ νεότητός μου πολλὰ πολεμεῖ με πάθη, ἀλλ' αὐτὸς ἀντιλαβοῦ καὶ σῶσον σωτήρ μου. Πλεονάκις ἐπολέμησάν με. Οἱ μισοῦντες Σιὼν αἰσχύνθητε ἀπὸ τοῦ κυρίου, ὡς χόρτος γὰρ πυρὶ ἔσεσθε ἀπεξηραμμένοι. Αἰσχυνθήτωσαν καὶ ἀποστραφήτωσαν εἰς τὰ ὀπίσω πάντες. Ἁγίῳ πνεύματι πᾶσα ψυχὴ ζωοῦται, καὶ καθάρσει ὑψοῦται, λαμπρύνεται τῇ τριαδικῇ μονάδι ἱεροκρυφίως. Δόξα τὸ αὐτό. Ἀντίφωνον β'. ἦχος δ'.

Ἐκέκραξά σοι κύριε θερμῶς ἐκ βάθους ψυχῆς μου. καὶ μοὶ γενέσθω πρὸς ὑπακοὴν τὰ θεῖα σου ὦτα. Ἐκ βαθέων. Ἐπὶ τὸν κύριον ἐλπίδα πᾶς τις κεκτημένος, ὑψηλότερος ἐστὶ πάντων τῶν λυπούντων. Ἤλπισεν ἡ ψυχή μου. Ἁγίῳ πνεύματι ἀναβλύζει τὰ τῆς χάριτος ῥεῖθρα, ἀρδεύοντα ἅπασαν τὴν κτίσιν πρὸς ζωογονίαν. Δόξα τὸ αὐτό. Ἀντίφωνον γ'. ἦχος δ'. Ἡ καρδία μου, πρὸς σὲ λόγε ὑψωθήτω, καὶ οὐδὲν θέλξει με τῶν κόσμου τερπνῶν, πρὸς χαμαιζηλίαν.

Κύριε οὐχ ὑψώθη. Ἐπὶ τὴν μητέρα αὐτοῦ. ὡς ἔχει τὶς στοργήν, ἐπὶ τῷ κυρίῳ θερμότερον φίλτρον χρεωστοῦμεν. Ὡς τὸ ἀπογεγαλακτισμένον. Ἁγίῳ πνεύματι θεογνωσίας Πλοῦτος. θεωρίας καὶ σοφίας, πάντα γὰρ ἐν τούτῳ τὰ πατρῷα δόγματα, ὁ λόγος ἐκκαλύπτει. Προκείμενον. ἦχος δ'. Ἀνάστα κύριε βοήθησον ἡμῖν, καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν.

Στίχος.

οὐρανίαις συνάψῃ δυνάμεσι, καὶ σώσῃ θεοτόκε τὸν κόσμον, Χριστὸς ὁ ἔχων τὸ μέγα καὶ πλούσιον ἔλεος.

Εἰς τὸν στίχον στιχηρά. ἦχος δʹ.

ΚΥριε ἀνελθὼν ἐν τῷ σταυρῷ, τὴν προγονικὴν ἡμῶν κατάραν ἐξήλειψας, καὶ κατελθὼν ἐν τῷ ᾅδῃ τοὺς ἀπ᾽ αἰώνων δεσμίους ἠλευθέρωσας. ἀφθαρσίαν δωρούμενος τῷ τῶν ἀνθρώπων γένει. διὰ τοῦτο ὑμνοῦντες δοξάζομεν, τὴν ζωοποιὸν καὶ σωτήριόν σου ἔγερσιν.

[illegible] ἀλφάβητον. στίχος. Ὁ κύριος ἐβασίλευσεν.

ΚΡεμάμενος ἐπὶ ξύλου μόνε δυνατέ, πᾶσαν κτίσιν ἐσάλευσας, τεθεὶς ἐν τάφῳ δέ, τοὺς κατοικοῦντας ἐντάφοις ἀνέστησας, ἀφθαρσίαν καὶ ζωὴν δωρούμενος τῷ γένει τῶν ἀνθρώπων. διὸ ὑμνοῦντες δοξάζομεν τὴν τριήμερόν σου ἔγερσιν.

στίχος. Καὶ γὰρ ἐστερέωσε τὴν οἰκουμένην, ἥτις οὐ.

ΛΑὸς παράνομος Χριστέ, σὲ παραδοὺς τῷ Πιλάτῳ, σταυρωθῆναι κατεδίκασεν, ἀγνώμων περὶ τὸν εὐεργέτην φανείς, ἀλλ᾽ ἑκὼν ὑπέμεινας ταφήν, αὐτεξουσίως ἀνέστης τριήμερος, ὡς θεὸς δωρούμενος ἡμῖν, ἀτελεύτητον ζωὴν καὶ τὸ μέγα ἔλεος.

Τῷ οἴκῳ σου πρέπει ἁγίασμα κύριε εἰς μακρότ.

ΜΕτὰ δακρύων γυναῖκες καταλαβοῦσαι τὸ μνῆμα, σὲ ἐπεζήτησαν. μὴ εὑροῦσαι δὲ ὀλοφυρόμεναι μετὰ κλαυθμοῦ βοῶσαι, ἔλεγον· οἴμοι σωτὴρ ἡμῶν βασιλεῦ τῶν ἁπάντων, πῶς ἐκλάπης, ποῖος δὲ τόπος κατέχει τὸ ζωηφόρον σῶμά σου. ἄγγελος δὲ πρὸς αὐτὰς ἀπεκρίνατο· μὴ κλαίετε φησίν, ἀλλ᾽ ἀπελθοῦσαι κηρύξατε. ὅτι ἀνέστη ὁ κύριος, παρέχων ἡμῖν ἀγαλλίασιν. ὡς μόνος εὔσπλαγχνος. Δόξα καὶ νῦν [illegible].

Νεῦσον παρακλήσεσι σῶν οἰκετῶν πανάμωμε, παύουσα δεινῶν ἡμῶν ἐπαναστάσεις, πάσης θλίψεως ἡμᾶς ἀπαλλάττουσα. σὲ γὰρ μόνην ἀσφαλῆ καὶ βεβαίαν ἄγκυραν ἔχομεν, καὶ τὴν σὴν προστασίαν κεκτήμεθα, μὴ αἰσχυνθῶμεν δέσποινα, καὶ προσκαλούμενοι. σπεῦσον εἰς ἱκεσίαν τῶν σοὶ πιστῶς βοώντων, χαῖρε δέσποινα ἡ πάντων βοήθεια, χαρὰ καὶ σκέπη τῶν ψυχῶν ἡμῶν.

Εἰς τὸ ἀπόδειπνον. Κανὼν τῆς θεοτόκου.

Τῇ κυριακῇ εἰς τὸν ὄρθρον στιχηρά. ἦχος δʹ.

ΤΟ φαιδρὸν τῆς ἀναστάσεως κήρυγμα, ἐκ τοῦ ἀγγέλου μαθοῦσαι αἱ τοῦ κυρίου μαθήτριαι, καὶ τὴν προγονικὴν ἀπόφασιν ἀπορρίψασαι, τοῖς ἀποστόλοις καυχώμεναι ἔλεγον. ἐσκύλευται ὁ θάνατος, ἠγέρθη Χριστὸς ὁ θεός, δωρούμενος τῷ κόσμῳ τὸ μέγα ἔλεος. Θ. Τὸ ἀπ᾽ αἰῶνος ἀπόκρυφον καὶ ἀγγέλοις ἄγνωστον μυστήριον, διὰ σοῦ θεοτόκε τοῖς ἐπὶ γῆς πεφανέρωται θεὸς ἐν ἀσυγχύτῳ ἑνώσει σαρκούμενος, καὶ σταυρὸν ἑκουσίως ὑπὲρ ἡμῶν καταδεξάμενος, δι᾽ οὗ ἀναστήσας τὸν πρωτόπλαστον. ἔσωσεν ἐκ θανάτου τὰς ψυχὰς ἡμῶν.

τῷ πατρὶ συγκαθήμενος, αὐτὸς γάρ ἐστι Χριστὸς ὁ σωτὴρ ἡμῶν, ὁ ἔχων τὸ μέγα ἔλεος.

Τέλος τοῦ γ'. ἤχου.



Τῷ Σαββάτῳ ἑσπέρας εἰς τὸ κύριε ἐκέκραξα στιχηρὰ ἀναστάσιμα. Τὰ ἀρχαῖα. ἦχος δ'.

Τὸν ζωοποιόν σου σταυρὸν, ἀπαύστως προσκυνοῦμεν Χριστὲ ὁ θεός. τὴν τριήμερόν σου ἀνάστασιν δοξάζομεν, δι' αὐτῆς γὰρ ἀνεκαίνισας τὴν καταφθαρεῖσαν, τῶν ἀνθρώπων φύσιν παντοδύναμε, καὶ τὴν εἰς οὐρανοὺς ἄνοδον ἀνεκαίνισας ἡμῖν, ὡς μόνος ἀγαθὸς καὶ φιλάνθρωπος. Τοῦ ξύλου τῆς παρακοῆς τὸ ἐπιτίμιον ἔλυσας σωτὴρ, τῷ ξύλῳ τοῦ σταυροῦ ἑκουσίως προσηλωθεὶς, καὶ εἰς ᾅδου κατελθὼν δυνατὲ, τοῦ θανάτου τὰ δεσμὰ ὡς θεὸς διέῤῥηξας. διὸ προσκυνοῦμεν τὴν ἐκ νεκρῶν σου ἀνάστασιν. ἐν ἀγαλλιάσει βοῶντες. παντοδύναμε κύριε δόξα σοι. Πύλας ᾅδου συνέθλιψας κύριε, καὶ τῷ σῷ θανάτῳ τοῦ θανάτου τὸ βασίλειον ἔλυσας. γένος δὲ τὸ ἀνθρώπινον ἐκ φθορᾶς ἠλευθέρωσας, ζωὴν καὶ ἀφθαρσίαν τῷ κόσμῳ δωρησάμενος καὶ τὸ μέγα ἔλεος.

Ἕτερα ἀνατολικὰ ἦχος δ'.

Δεῦτε ἀνυμνήσωμεν λαοὶ, τὴν τοῦ σωτῆρος τριήμερον ἔγερσιν. δι' ἧς ἐλυτρώθημεν, τῶν τοῦ ᾅδου ἀλύτων δεσμῶν, καὶ ἀφθαρσίαν καὶ ζωὴν πάντες ἐλάβομεν. κράζοντες ὁ σταυρωθεὶς, καὶ ταφεὶς, καὶ ἀναστὰς, σῶσον ἡμᾶς τῇ ἀναστάσει σου μόνε φιλάνθρωπε. Ἄγγελοι καὶ ἄνθρωποι σωτὴρ, τὴν σὴν ὑμνοῦσι τριήμερον ἔγερσιν, δι' ἧς κατηυγάσθησαν τῆς οἰκουμένης τὰ πέρατα, καὶ τῆς δουλείας τοῦ ἐχθροῦ πάντες ἐλυτρώθημεν, κράζοντες. ζωοποιὲ παντοδύναμε σωτὴρ. σῶσον ἡμᾶς τῇ ἀναστάσει σου μόνε φιλάνθρωπε. Πύλας χαλκὰς συνέθλασας, καὶ μοχλοὺς συνέθλασας Χριστὲ ὁ θεὸς, καὶ γένος ἀνθρώπων πεπτωκὸς ἀνέστησας. διὰ τοῦτο συμφώνως βοῶμεν. ὁ ἀναστὰς ἐκ τῶν νεκρῶν κύριε δόξα σοι. Κύριε ἡ ἐκ πατρός σου γέννησις ἄχρονος ὑπάρχει καὶ ἀΐδιος. ἡ ἐκ παρθένου σάρκωσις, ἄφραστος ἀνθρώποις καὶ ἀνερμήνευτος. καὶ ἡ εἰς ᾅδου κάθοδος φοβερὰ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ. θάνατον γὰρ πατήσας, καὶ τριήμερος ἀνέστης, ἀφθαρσίαν παρέχων ἀνθρώποις, καὶ τὸ μέγα ἔλεος.

Δόξα καὶ νῦν θ'. ἦχος δ'.

Ὁ διὰ σὲ θεοπάτωρ προφήτης Δαβὶδ, μελῳδικῶς περὶ σοῦ προανεφώνησε, τὰ μεγαλεῖα σοι ποιήσαντι. παρέστη ἡ βασίλισσα ἐκ δεξιῶν σου. σὲ γὰρ μητέρα πρόξενον ζωῆς ἀνέδειξεν, ὁ ἀπάτωρ ἐκ σοῦ ἐνανθρωπῆσαι εὐδοκήσας θεὸς, ἵνα τὴν ἑαυτοῦ ἀναπλάσῃ εἰκόνα, φθαρεῖσαν τοῖς πάθεσι, καὶ τὸ πλανηθὲν ὄρει ἄλωτον ἀγρὸν πρόβατον τοῖς ὤμοις ἀναλαβὼν, τῷ σωτῆρι προσαγάγῃ, καὶ τῷ ἰδίῳ θελήματι, ταῖς οὐρα-

αὐτοῦ συνεκάθισας διὰ σπλάγχνα ἐλέους σου κύριε.

Τὸ ἅγιος κύριος ὁ θεὸς ἡμῶν ζήτει εἰς τὸ ὡρολόγιον φ. ρκδ´. Εἰς τοὺς αἴνους στιχηρὰ ἀναστάσιμα ἦχος γ´, στίχος. Τοῦ ποιῆσαι ἐκδίκησιν ἐν τοῖς.

Δεῦτε πάντα τὰ ἔθνη γνῶτε τοῦ φρικτοῦ μυστηρίου τὴν δύναμιν. Χριστὸς γὰρ ὁ σωτὴρ ἡμῶν, ὁ ἐν ἀρχῇ λόγος ἐσταυρώθη δι' ἡμᾶς, καὶ ἑκὼν ἐτάφη, καὶ ἀνέστη ἐκ νεκρῶν τοῦ σῶσαι τὰ σύμπαντα. αὐτὸν προσκυνήσωμεν. Τοῦ δῆσαι τοὺς βασιλεῖς.

Διηγήσαντο πάντα τὰ θαυμάσια οἱ φύλακές σου κύριε, ἀλλὰ τὸ συνέδριον τῆς ματαιότητος πληρώσαν δώρων τὴν δεξιὰν αὐτῶν, κρύπτειν ἐνόμιζον τὴν ἀνάστασίν σου, ἣν ὁ κόσμος δοξάζει. ἐλέησον ἡμᾶς.

Τοῦ ποιῆσαι ἐν αὐτοῖς κρίμα.

Χαρᾶς τὰ πάντα πεπλήρωται τῆς ἀναστάσεως τὴν πεῖραν εἰληφότα, Μαρία γὰρ ἡ Μαγδαληνὴ ἐπὶ τὸ μνῆμα ἦλθε, καὶ εὗρεν ἄγγελον ἐπὶ τὸν λίθον καθήμενον, τοῖς ἱματίοις ἐξαστράπτοντα καὶ λέγοντα, τί ζητεῖτε τὸν ζῶντα μετὰ τῶν νεκρῶν; οὐκ ἔστιν ὧδε, ἀλλ' ἐγήγερται καθὼς εἶπε προάγων ἐν τῇ γαλιλαίᾳ.

Αἰνεῖτε τὸν θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ.

Ἐν τῷ φωτί σου δέσποτα ὀψόμεθα φῶς φιλάνθρωπε, ἀνέστης γὰρ ἐκ τῶν νεκρῶν, σωτηρίαν τῷ γένει τῶν ἀνθρώπων δωρούμενος, ἵνα σὲ πᾶσα ἡ κτίσις δοξολογῇ τὸν μόνον ἀναμάρτητον. ἐλέησον ἡμᾶς.

Στιχηρὰ ἀνατολικά. Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ.

Ὕμνον ἑωθινὸν αἱ μυροφόροι γυναῖκες, τὰ δάκρυα προσέφερον κύριε, ὡς ὀδίας γὰρ ἀρώματα κατέχουσαι, τὸ μνῆμά σου κατέλαβον, τὸ ἄχραντόν σου σῶμα μυρίσαι σπουδάζουσαι. ἄγγελος καθήμενος ἐπὶ τὸν λίθον αὐταῖς διηγγελίσατο. τί ζητεῖτε τὸν ζῶντα μετὰ τῶν νεκρῶν; τὸν θάνατον γὰρ πατήσας ἀνέστη ὡς θεός, παρέχων πᾶσι τὸ μέγα ἔλεος.

Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος.

Ἐξαστράπτων ἄγγελος ἐπὶ τὸ μνῆμά σου, τὸ ζωοποιὸν ταῖς μυροφόροις, ἔλεγεν. ἐκένωσε τοὺς τάφους ὁ λυτρωτής, ἐσκύλευσε τὸν ᾅδην, καὶ ἀνέστη τριήμερος, ὡς μόνος θεὸς καὶ παντοδύναμος.

Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ.

Εἰς τὸ μνῆμά σε ἐπεζήτησεν ἐλθοῦσα τῇ μιᾷ τῶν σαββάτων Μαρία ἡ Μαγδαληνή, μὴ εὑροῦσα δὲ ὠλοφύρετο κλαυθμῷ βοῶσα, οἴμοι σωτήρ μου, ἐκλάπης πάντων βασιλεῦ. ζεῦγος δὲ ζωηφόρων ἀγγέλων, ἔνδοθεν τοῦ μνημείου ἐβόα, τί κλαίεις ὦ γύναι; κλαίω φησίν, ὅτι ἦραν μου τὸν κύριον ἐκ τοῦ τάφου, καὶ οὐκ οἶδα ποῦ ἔθηκαν αὐτόν. αὕτη δὲ στραφεῖσα ὀπίσω, ὡς κατεῖδε σε, διαθέως ἐβόα ὁ κύριός μου καὶ ὁ θεός μου δόξα σοι. Ἐν χορδ.

Ἑβραῖοι συνέκλεισαν ἐν τῷ τάφῳ τὴν ζωήν. λῃστὴς δὲ ἀνέῳξεν ἐν τῇ γλώσσῃ τὴν τρυφήν. κραυγάζων καὶ λέγων. ὁ μετ' ἐμοῦ δι' ἐμὲ σταυρωθείς, συνεκρέματό μοι ἐπὶ τοῦ ξύλου, καὶ ἐφαίνετό μοι ἐπὶ τοῦ θρόνου,

τῷ

ᾠδὴ η΄. ὁ εἱρμός.

Ἀστέκτῳ πυρὶ ἑνωθέντες οἱ θεοσεβείας προεστῶτες νεανίαι· τῇ φλογὶ δὲ μὴ λωβηθέντες, θεῖον ὕμνον ἔμελπον. εὐλογεῖτε πάντα τὰ ἔργα κυρίου τὸν κύριον, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ἐρράγη ναοῦ ἡ φαιδρότης, ὅτε ὁ σταυρός σου ἐπάγη ἐν κρανίῳ, καὶ ἡ κτίσις συνεκλονεῖτο φόβῳ ἀναμέλπουσα. Εὐλογεῖτε πάντα τὰ ἔργα κυρίου τὸν κύριον, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας. Ἀνέστης Χριστὲ ἐκ τοῦ τάφου, καὶ τὸν πεπτωκότα τῇ ἀπάτῃ διὰ ξύλου ἀνορθώσω θείᾳ δυνάμει, κράζοντα καὶ λέγοντα. εὐλογεῖτε πάντα τὰ ἔργα κυρίου τὸν κύριον, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας. θ΄. Ναὸς τοῦ θεοῦ ἀνεδείχθης, ἔμψυχον χωρίον, κιβωτός τε τὸν ποιητὴν τοῖς βροτοῖς γὰρ θεογεννῆτορ, ἄχραντε κατήλλαξας, καὶ ἀξίως πάντα τὰ ἔργα ὑμνοῦμεν σε, καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

ἄλλος. ὁ εἱρμός. Ἐνύλου φλόγα πυρός.

Ὁ λόγος σου παθητὸς, ἀπαθὴς γὰρ τῇ θεότητι, πάσχει σαρκὶ ὁ θεός. ᾧ καὶ ψάλλομεν εὐλογεῖτε πάντα τὰ ἔργα κυρίου τὸν κύριον. Ὑπνώσας μὲν ὡς θνητὸς, ἐξηγέρθης, ὡς ἀθάνατος σῶτερ, καὶ σώζεις τοὺς μέλποντας. εὐλογεῖτε πάντα τὰ ἔργα κυρίου τὸν κύριον.

ᾠδὴ θ΄. στίχος. Μεγαλύνει καὶ ὑμνεῖ ἡ ψυχή μου τὸν κύριον. ὁ εἱρμός.

Καινὸν τὸ θαῦμα, καὶ θεοπρεπὲς, τῆς παρθένου· διὰ γὰρ τὴν κεκλεισμένην πύλην σαφῶς διοδεύει κύριος· γυμνὸς ἐν εἰσόδῳ, καὶ σαρκοφόρος ὤφθη ἐν ἐξόδῳ θεὸς, καὶ μένει ἡ πύλη κεκλεισμένη, ταύτην ἀφράστως, ὡς θεομήτορα μεγαλύνομεν.

Φρικτὸν ἰδέσθαι σὲ τὸν ποιητὴν ἐπὶ ξύλου ἀναρτηθέντα λόγε θεοῦ, σαρκικῶς δὲ πάσχοντα θεὸν ὑπὲρ δούλων, καὶ ἐν μνημείῳ ἄπνουν κατακείμενον, νεκροὺς δὲ τοῦ ᾅδου λελυκότα. ὅθεν Χριστὲ σὲ ὡς παντοδύναμον μεγαλύνομεν. Φθορᾶς θανάτου ἔσωσας Χριστὲ τοὺς προπάτορας, κατατεθεὶς ἐν τάφῳ νεκρὸς, καὶ ζωὴν ἐξηλώθησας, νεκροὺς ἀνέστησας, χειραγωγήσας φύσιν τὴν βροτείαν, πρὸς φῶς καὶ θείαν ἐν δύσας ἀφθαρσίαν. ὅθεν πηγὴν σε φωτὸς ἀειζώου μεγαλύνομεν. Ναὸς καὶ θρόνος ὤφθης τοῦ θεοῦ, ἐν ᾧ ᾤκησεν ὁ ἐν ὑψίστοις πέλων τεχθεὶς ἀπειράνδρως πανάγνε, σαρκὸς μὴ ἀνοίξας ὅλως σου τὰς πύλας, ὅθεν ταῖς ἀλήκτοις σεμνὴ λιταῖς σου τὰ φῦλα τῶν βαρβάρων θᾶττον εἰς τέλος τῷ βασιλεῖ ἡμῶν καθυπόταξον.

ἄλλος. ὁ εἱρμός. Οἱ τοῦ γλυκεῖ.

Πέρας βροτοῖς ἐξ ἀτίμου θανάτου πᾶσιν ἐπήγασας, οὗ διὰ σταυρώσεως σῶτερ γευσάμενος, τῇ οὐσίᾳ τῇ θνητῇ ἀφθαρσίαν μοι ἐδωρήσω Χριστὲ, ὡς φιλάνθρωπος. Ἔσωσάς με ἀναστὰς ἐκ τοῦ τάφου Χριστὲ, καὶ ὕψωσας, καὶ πατρὶ προσήγαγες τῷ συγγεννήτορι, δεξιᾷ τε τῇ

αὐτοῦ

ἐθεούργησας, καὶ σαυτῷ συνεδόξασας. Νέκρωσιν ὑπέστη ὁ νεκρωτής, τὸν νεκρωθέντα ζωωθέντα θεώμενος. τῆς σῆς ἀναστάσεως Χριστὲ τὰ σύμβολα, καὶ τοῦ πάθους σου τοῦ ἀχράντου τὰ ἔπαθλα. Θ. Πάναγνε ἡ μόνη τῷ πλαστουργῷ, καὶ τοῖς ἀνθρώποις ὑπὲρ νοῦν μεσιτεύσασα, τὸν υἱόν σου ἵλεων τοῖς ἐκπταικόσι δούλοις σου, καὶ ὑπέρμαχον χρηματίσαι δυσώπησον. ἄλλος. ὁ εἱρμός. Σπλαγχνισθεὶς Ἰωνᾶς.

Μ Ωλώπων σὺ περιεχθεὶς ᾄδου τραυματίας, πάθει σταυροῦ συνανέστησας. ὅθεν σοι κραυγάζω, ἀνάγαγε ἐκ φθορᾶς τὴν ζωήν μου φιλάνθρωπε. Ἀνοίγονταί σοι Χριστὲ φόβῳ πύλαι ᾄδου, σκῦλα δὲ ἐχθροῦ ἁρπάζονται, ὅθεν σοι γυναῖκες ὑπηντήσαν, ἀντὶ λύπης χαρὰν κομισάμεναι.

Κοντάκιον. ἦχος γ΄. Ἡ παρθένος σήμερον.

Ἐ Ξανέστης σήμερον ἀπὸ τοῦ τάφου οἰκτίρμον, καὶ ἡμᾶς ἐξήγαγες ἐκ τῶν πυλῶν τοῦ θανάτου, σήμερον Ἀδὰμ χορεύει, καὶ χαίρει Εὔα, ἅμα δὲ καὶ οἱ προφῆται σὺν πατριάρχαις, ἀνυμνοῦσιν ἀκαταπαύστως τὸ θεῖον κράτος τῆς ἐξουσίας σου. ὁ οἶκος. Οὐρανός, καὶ ἡ γῆ σήμερον χορευέτωσαν, καὶ Χριστὸν τὸν θεὸν ὁμοφρόνως ὑμνείτωσαν, ὅτι τοὺς δεσμίους ἐκ τῶν τάφων ἀνέστησε. συγχαίρει πᾶσα κτίσις, προσφέρουσα ἐπάξια ᾄσματα, τῷ πάντων κτίστῃ, καὶ λυτρωτῇ ἡμῶν. ὅτι τοὺς βροτοὺς ἐξ ᾄδου σήμερον, ὡς ζωοδότης, συνανελκύσας πρὸς οὐρανοὺς συνανυψοῖ, καὶ καταρράσσει τοῦ ἐχθροῦ τὰς ἐπάρσεις καὶ πύλας τοῦ ᾄδου διαθλάττει, τὸ θεῖον κράτος τῆς ἐξουσίας αὐτοῦ.

ᾠδὴ ζ. ὁ εἱρμός.

Ὡ Σ πάλαι τοὺς εὐσεβεῖς τρεῖς παῖδας. ἐδρόσισας ἐν τῇ φλογὶ τῇ χαλδαϊκῇ, τῷ φωτιστικῷ τῆς θεότητος πυρί, καὶ ἡμᾶς καταύγασον. εὐλογητὸς εἶ κράζοντας, ὁ θεὸς ὁ τῶν πατέρων ἡμῶν. Ἐρράγη τὸ τοῦ ναοῦ φαιδρὸν καταπέτασμα, ἐν τῷ σταυρῷ τοῦ δημιουργοῦ, τὴν ἐγκεκρυμμένην τῷ γράμματι δηλοῦν, τοῖς πιστοῖς ἀλήθειαν. εὐλογητὸς εἶ κράζοντας ὁ θεός, ὁ τῶν πατέρων ἡμῶν. Νυγείσης σου τῆς πλευρᾶς ῥανίδες θεόρρυτοι, ζωοποιοῦ αἵματος οἰκονομικῶς ἀποστάζουσιν εἰς γῆν, τοὺς ἐκ γῆς ἀνέπλασας. εὐλογητὸς εἶ κράζοντας ὁ θεός, ὁ τῶν πατέρων ἡμῶν. Τὸ πνεῦμα τὸ ἀγαθὸν πατρὶ σὺν δοξάσωμεν, καὶ τῷ υἱῷ τῷ μονογενεῖ, μίαν ἐν τρισὶ πιστοὶ σέβοντες ἀρχήν, καὶ μίαν θεότητα. εὐλογ. ἄλλος. ὁ εἱρμός. Σοβαρὸς ὁ τύραννος.

Ο Υ ψιλὸν ὁ ἥλιος ἐν σταυρῷ κρεμάμενον ἄνθρωπον, ἀλλὰ θεὸν σκοτίζεται σεσαρκωμένον ὁρῶν, ᾧ καὶ ψάλλομεν. εὐλογητὸς εἶ κύριε ὁ θεός, ὁ τῶν πατέρων ἡμῶν. Θησαυρὸς πολύτιμος, εὐλογίας πάναγνε πέφηνας, τοῖς καθαρᾷ καρδίᾳ σε ὁμολογοῦσι θεογεννήτριαν, καὶ γὰρ ἐκ σοῦ σεσάρκωται ὁ θεὸς ὁ τῶν πατέρων ἡμῶν.

ἐδείχθης σὺ καθαρμάτων, ὅτι Ἰησοῦς ὁ ἄχραντος, ἐν σοὶ χεῖρας ἐξεπέτασεν. Ἵνα πάντες οἱ πιστοὶ τὸ ζωοδόχον μνῆμα σου προσκυνῶμεν, τέθαπται ἐν σοὶ Χριστὸς, καὶ ἐγήγερται Χριστὸς, ὄντως ὁ θεὸς ἡμῶν.

ᾠδὴ δ΄. ὁ εἱρμός.

Ἔθου πρὸς ἡμᾶς κραταιὰν ἀγάπησιν κύριε, τὸν μονογενῆ γάρ σου υἱὸν ὑπὲρ ἡμῶν εἰς θάνατον δέδωκας. διό σοι κραυγάζομεν εὐχαριστοῦντες, δόξα τῇ δυνάμει σου κύριε.

Στίγματα Χριστὲ συμπαθῶς, καὶ μώλωπας ὑπήνεγκας, ὕβρεων ῥαπισμάτων καρτερῶν, καὶ μακροθύμως φέρων ἐμπτύσματα, δι᾽ ὧν κατειργάσω μοι τὴν σωτηρίαν. δόξα τῇ δυνάμει σου κύριε. Σώματι θνητῷ ἡ ζωὴ θανάτῳ ὡμίλησας τῆς ταλαιπωρίας τῶν πτωχῶν, καὶ στεναγμοῦ πενήτων σοῦ ἕνεκεν, καὶ φθείρας τὸν φθείραντα, δεδοξασμένε. πάντας συνανεστήσας, ὅτι δεδόξασται. Θεοτοκίον. Μνήματι Χριστὲ τῆς ἐκπεσούσης ποίμνης τῷ πάθει σου, τῆς δεδοξασμένης σου μυρίδος, τοὺς συμπαθεῖς ἐντεύξεις δεξάμενος, καὶ ἐπισκεψάμενος, κεκακωμένην ῥῦσαι τῇ δυνάμει σου κύριε.

Ἄλλος. ὁ εἱρμός. Τόξον καὶ ἀπέρρητον.

Ὁ πλάσας κατ᾽ εἰκόνα σου τὸν ἄνθρωπον φιλάνθρωπε, καὶ νεκρωθέντα τῇ ἁμαρτίᾳ, διὰ τῆς παραβάσεως, σταυρωθεὶς ἐν κενῷ διέσωσας. Νεκροῖς μὲν εἰς κατέπιεν ὁ θάνατος ἀπέδωκε. κατελύθη δὲ, καὶ τὸ τοῦ ᾅδου φθοροποιὸν βασίλειον. ἀναστάντος ἐκ τάφου σου κύριε.

ᾠδὴ ε΄. ὁ εἱρμός.

Πρός σε ὀρθρίζω τὸν τοῦ παντὸς δημιουργόν. τὴν ὑπερέχουσαν πάντα νοῦν εἰρήνην. διότι φῶς τὰ προστάγματά σου, ἐν οἷς με καθοδήγησον.

Κριτὴν ἀδίκῳ ἑβραίων φθόνῳ προδοθεὶς ὁ παντεπόπτης, καὶ ἅπασαν δικαίως κρίνων τὴν γῆν, τὸν Ἀδὰμ τῆς πάλαι ἐρρύσω κατακρίσεως. Τὴν σὴν εἰρήνην ταῖς ἐκκλησίαις σου Χριστὲ, τῇ ἀηττήτῳ δυνάμει τοῦ σταυροῦ σου, ὁ ἐκ νεκρῶν ἀναστὰς παράσχου, καὶ σῶσον τὰς ψυχὰς ἡμῶν. Σκηνὴ ἁγία, πλατυτέρα οὐρανῶν, ὡς τὸν ἐν πάσῃ ἀχώρητον τῇ κτίσει, λόγον θεοῦ δεξαμένη, μόνη ἐδείχθης ἀειπάρθενε. Ἄλλος. Λόγχῃ πλευρὰν ὦ Χριστέ μου νυγεὶς σου, τὴν ἐκ πλευρᾶς ἀνθρωπίνης κτισθεῖσαν, ὀλέθρου πᾶσι βροτοῖς, γυναῖκα προξενον, τῆς κατάρας ἠλευθέρωσας. Ἴσος πατρὶ κατ᾽ οὐσίαν ὑπάρχων τὸ ἱερὸν ἐξανέστησας δόμον, τοῦ παναχράντου καὶ πανσέπτου σώματος, ἐκ νεκρῶν Χριστὲ σωτὴρ ἡμῶν.

ᾠδὴ ς΄. ὁ εἱρμός.

Ἄβυσσος ἐσχάτη ἁμαρτιῶν ἐκύκλωσέ με. καὶ ἐκλεῖπει τὸ πνεῦμα μου. ἀλλ᾽ ἐκτείνας δέσποτα σὸν ὑψηλὸν βραχίονα, ὡς τὸν Πέτρον με κυβερνῆτα διάσωσον.

Ἄβυσσος ἐλέους, καὶ οἰκτιρμῶν ἐκύκλωσέ με τῇ εὐσπλαγχνίᾳ καθόδῳ σου, σαρκωθεὶς γὰρ δέσποτα, καὶ γενόμενος ἐν δούλου μορφῇ, ἐθαύ-

Οἱ υἱοί σου ὡς νεόφυτα ἐλαιῶν.

Ἁγίῳ πνεύματι ὁ πᾶς πλοῦτος τῆς δόξης, ἐξ οὗ χάρις καὶ ζωὴ πάσῃ τῇ κτίσει. σὺν πατρὶ γὰρ ἀνυμνεῖται, καὶ τῷ λόγῳ. Δόξα τὸ αὐτό. Προκείμενον ἦχος γ΄. Εἴπατε ἐν τοῖς ἔθνεσιν, ὅτι ὁ κύριος ἐβασίλευσε, καὶ γὰρ κατώρθωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται. Στίχος. Ἄσατε τῷ κυρίῳ ᾆσμα καινόν, ᾄσατε τῷ κυρίῳ πᾶσα ἡ γῆ. Πᾶσα πνοή.

Τὸ ἑωθινὸν εὐαγγέλιον. Ἀνάστασιν Χριστοῦ. ὁ ν΄. Τὰ πεντηκοστάρια ἦχος γ΄. Δόξα. Ὁ ἀναστὰς ἐκ τῶν νεκρῶν, καὶ τοῦ ᾅδου καταργήσας τὴν τυραννίδα, ζωοδότα κύριε ἐλέησόν με. Καὶ νῦν. Ἐν τῷ πλήθει τῶν ἐλέους σου κύριε, τὰ πλήθη τῶν πταισμάτων μου πάριδε ὁ θεός, καὶ ἐλέησόν με.

Ὁ κανὼν ἀναστάσιμος ἦχος γ΄. ᾠδὴ α΄. ὁ εἱρμός.

Ὁ Τὰ ὕδατα πάλαι, νεύματι θείῳ εἰς μίαν συναγωγὴν συναθροίσας, καὶ τεμὼν θάλασσαν Ἰσραηλίτῃ λαῷ. οὗτος ὁ θεὸς ἡμῶν δεδοξασμένος ὑπάρχει. αὐτῷ μόνῳ ᾄσωμεν. ὅτι δεδόξασται.

Ὁ Τὴν γῆν κατακρίνας τῷ παραβάντι, ἱδρῶτος φέρειν καρπόν, τὰς ἀκάνθας ἀκανθῶν στέφανον, ἐκ παρανόμου χειρός. οὗτος ὁ θεὸς ἡμῶν, σωματικῶς δεδεγμένος τὴν κατάραν ἔλυσεν. ὅτι δεδόξασται.

Νικητὴς τροπαιοῦχος κατὰ θανάτου ὁ θάνατος, δεδειχὼς ἀνεδείχθη, παθητὴν σάρκα γὰρ ἐμψυχωμένην λαβών, οὗτος ὁ θεὸς ἡμῶν, καὶ συμπλακεὶς τῷ τυράννῳ, πάντας συνανέστησεν. ὅτι δεδόξασται. Ἀληθῆ θεοτόκον, πάντα τὰ ἔθνη δοξάζει σε. τὴν ἀσπόρως τεκοῦσαν, ὑπερδιεμήνας γὰρ ἡγιασμένην τὴν σήν, οὗτος ὁ θεὸς ἡμῶν, τὸ καθ' ἡμᾶς οὐσιώθη, καὶ ἄνθρωπος ὁ θεὸς ἐκ σοῦ γεγένηται.

Ἕτερος Κανὼν σταυροαναστάσιμος ᾠδὴ α΄. ἦχος γ΄. ὁ εἱρμός. Ἄσμα καινόν.

Γένος βροτῶν αἵματι θείῳ δεδουλωμένον, τυράννῳ φιλαμαρτήμονι. Χριστὸς ἐξηγόρασε, καὶ θεοποιήσας ἀνεκαίνισεν. ὅτι δεδόξασται. Σαρκὶ (?) ὡς μὲν θνητὸς θανάτου θέλων, ὁ τῆς ζωῆς ταμιοῦχος, Χριστὸς ἐγεύσατο, ὡς ὢν δὲ ἀθάνατος φύσει, τοὺς νεκροὺς ἐζωοποίησεν. ὅτι δεδόξασται.

ᾠδὴ γ΄. ὁ εἱρμός.

Ὁ ἐκ μὴ ὄντων τὰ πάντα παραγαγών, τῷ λόγῳ κτιζόμενα, τελειούμενα πνεύματι, παντοκράτορ δέσποτα, ἐν τῇ ἀγάπῃ τῇ σῇ στερέωσόν με.

Διὰ σταυροῦ σου ᾐχμαλωτίσθη ὁ ἀσεβής, εἰργάσατο βόθρον γάρ, ὃν ὀρύξας εἰσπέπτωκε, ταπεινῶν ὑψώθη δὲ Χριστὲ τὸ κέρας, ἐν τῇ σῇ ἀναστάσει.

Τῆς ἀσεβείας τὸ κήρυγμα τῶν ἐθνῶν, ὡς ὕδωρ ἐκάλυψε τὰς θαλάσσας φιλάνθρωπε. ἀναστὰς ἐκ τάφου γάρ, τὰ τῆς τριάδος ἀπεκάλυψας φέγγος. Θ΄. Δεδοξασμένα λελάληνται περὶ σοῦ, ἡ πόλις ἡ ἔμψυχος, τοῦ ἀεὶ βασιλεύοντος. διὰ σοῦ γὰρ δέσποινα, τοῖς ἐπὶ γῆς θεὸς συνανεστράφη.

Ἄλλος ὁ εἱρμός. Τόξον ἐθραύσθη.

Ὕψεις ἀχράντε σταυρέ, εἰδωλικῶν ἐδη-

παρέχε τῷ κόσμῳ τὸ μέγα ἔλεος. Θ. Σὲ τὴν μεσιτεύσασαν τὴν σωτηρίαν τοῦ γένους ἡμῶν, ἀνυμνοῦμεν θεοτόκε παρθένε. ἐν τῇ γαστρὶ γὰρ τῇ ἐκ σοῦ προσληφθήσῃ ὁ υἱός σου καὶ θεὸς ἡμῶν, τὸ διὰ σταυροῦ καταδεξάμενος πάθος. ἐλυτρώσατο ἡμᾶς ἐκ φθορᾶς ὡς φιλάνθρωπος.

Καὶ μετὰ τὴν συνήθη στιχολογίαν ἡ ὑπακοὴ ἦχος γ'.

Ἐκ πλήττων τῇ ὁράσει, δροσίζων τοῖς ῥήμασιν, ὁ ἀστράπτων ἄγγελος ταῖς μυροφόροις ἔλεγε, τὸν ζῶντα τί ζητεῖτε ἐν μνήματι; ἠγέρθη κενώσας τὰ μνήματα, τῆς φθορᾶς ἀλλοιωτὴν γνῶτε τὸν ἀναλλοίωτον. εἴπατε τῷ θεῷ, ὡς φοβερὰ τὰ ἔργα σου, ὅτι τὸ γένος ἔσωσας τῶν ἀνθρώπων. Ἀνάστηθι κύριε ὁ θεός μου. κάθισμα ἦχος γ'.

Χριστὸς ἐκ νεκρῶν ἐγήγερται, ἡ ἀπαρχὴ τῶν κεκοιμένων, ὁ πρωτότοκος τῆς κτίσεως, καὶ δημιουργὸς πάντων τῶν γεγονότων, τὴν καταφθαρεῖσαν φύσιν τοῦ γένους ἡμῶν ἐν ἑαυτῷ ἀνεκαίνισεν, οὐκέτι θάνατε κυριεύσεις. ὁ γὰρ τῶν ὅλων δεσπότης τὸ κράτος σου κατέλυσεν.

Αὕτη ἡ ἡμέρα ἣν ἐποίησεν ὁ κύριος.

Σαρκὶ τοῦ θανάτου γευσάμενος κύριε, τὸ πικρὸν τοῦ θανάτου ἐξέτεμες τῇ ἐγέρσει σου, καὶ τὸν ἄνθρωπον κατ' αὐτοῦ ἐνισχύσας, τῆς ἀρχαίας κατάρας τὴν ἧτταν ἀνακαλούμενος, ὁ ὑπερασπιστὴς τῆς ζωῆς ἡμῶν, κύριε δόξα σοι.

Δόξα καὶ νῦν. Θ. Τὴν ὡραιότητα τῆς παρθενίας σου, καὶ τὸ ὑπέρλαμπρον, τὸ τῆς ἁγνείας σου, ὁ Γαβριὴλ καταπλαγεὶς ἐβόα σοι θεοτόκε. ποῖον σοι ἐγκώμιον προσενέγκω ἐπάξιον; τί δὲ ὀνομάσω σε; ἀπορῶ καὶ ἐξίσταμαι. διὸ ὡς προσετάγην βοῶ σοι. χαῖρε ἡ κεχαριτωμένη.

Οἱ ἀναβαθμοί. ἦχος γ'.

Τὴν αἰχμαλωσίαν Σιὼν σὺ ἐξείλου ἐκ Βαβυλῶνος, κἀμὲ ἐκ τῶν παθῶν πρὸς ζωὴν ἕλκυσον λόγε. Εν τῷ ἐπιστρέψαι κύριον. Ἐν τῷ νότῳ οἱ σπείροντες δάκρυσιν ἐν θείοις, θερίζουσι στάχυας ἐν χαρᾷ ἀειζωΐας. Ἐν τῷ ἐπιστρέψαι κύριε τὴν αἰχμαλωσίαν ἡμῶν, ὡς χειμάῤῥοις. Ἁγίῳ πνεύματι πᾶσα ἀγαθοδωρία, ὡς πατρί, καὶ υἱῷ συναστράπτει, ἐν ᾧ τὰ πάντα ζῇ καὶ κινεῖται. Δόξα τὸ αὐτό. Ἀντίφωνον β'. ἦχος γ'. Ἐὰν μὴ κύριος οἰκοδομήσῃ οἶκον τῶν ἀρετῶν, μάτην κοπιῶμεν. τὴν δὲ ψυχὴν σκέποντος, οὐδεὶς ἡμῶν πορθεῖται τὴν πόλιν. Εἰς μάτην ἐκοπίασαν οἱ οἰκοδομοῦντες. Τοῦ καρποῦ τῆς γαστρὸς τῷ πνεύματι υἱοποιητῶς σοι, ἐν Χριστῷ ὡς πατρὶ οἱ ἅγιοι πάντοτε εἰσίν. Ἰδοὺ ἡ κληρονομία κυρίου. Ἁγίῳ πνεύματι ἐν θεωρεῖται πᾶσα ἁγιότης, σοφία οὐσιοῖ πᾶσαν γὰρ κτίσιν, αὐτῷ λατρεύσωμεν. θεὸς γὰρ ὡς πατρὶ, καὶ λόγῳ. Δόξα τὸ αὐτό. Ἀντίφωνον γ'. ἦχος γ'.

Οἱ φοβούμενοι τὸν κύριον μακάριοι τρίβοις βαδιοῦνται τῶν ἐντολῶν, φάγονται γὰρ ζωηρὰν παγκαρπίαν. Μακάριοι πάντες. Κύκλῳ τῆς τραπέζης σου εὐφραίνεται, καθορῶν σου ποιμενάρχα, τὰ ἔγγονα φέροντα κλάδους ἀγαθοεργίας,

 Οἱ

νοῦμεν Χριστὲ, καὶ τὴν ἀνάστασίν σου ὑμνοῦμεν καὶ δοξάζομεν. τῷ γὰρ μώλωπί σου ἡμεῖς οἱ πάντες ἰάθημεν. Ὑμνοῦμεν τὸν σωτῆρα, τὸν ἐκ τῆς παρθένου σαρκωθέντα. δι' ἡμᾶς γὰρ ἐσταυρώθη, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀνέστη. δωρούμενος ἡμῖν τὸ μέγα ἔλεος. Τοῖς ἐν ᾅδῃ καταβὰς Χριστὸς εὐηγγελίσατο, θαρσεῖτε λέγων. νῦν νενίκηκα. ἐγώ εἰμι ἡ ἀνάστασις, ἐγὼ ὑμᾶς ἀνάξω. λύσας θανάτου τὰς πύλας. Οἱ ἀναξίως ἑστῶτες ἐν τῷ ἀχράντῳ σου οἴκῳ, ἑσπερινὸν ὕμνον ἀναπέμπομεν, ἐκ βαθέων κραυγάζοντες Χριστὲ ὁ θεὸς, ὁ φωτίσας τὸν κόσμον τῇ τριημέρῳ ἀναστάσει σου, ἐξελοῦ τὸν λαόν σου ἐκ χειρὸς τῶν ἐχθρῶν σου φιλάνθρωπε. Δόξα καὶ νῦν θ'. Πῶς μὴ θαυμάσωμεν τὸν θεανδρικόν σου τόκον πανσεβάσμιε. πεῖραν γὰρ ἀνδρὸς μὴ δεξαμένη πανάμωμε, ἔτεκες ἀπάτορα υἱὸν ἐν σαρκὶ, τὸν πρὸ αἰώνων ἐκ πατρὸς γεννηθέντα ἀμήτορα, μηδαμῶς ὑπομείναντα τροπὴν, ἢ φυρμὸν, ἢ διαίρεσιν, ἀλλ' ἑκατέρας οὐσίας τὴν ἰδιότητα σώαν φυλάξαντα. διὸ μῆτερ παρθένε δέσποινα, αὐτὸν ἱκέτευε σωθῆναι τὰς ψυχὰς τῶν ὀρθοδόξως θεοτόκον ὁμολογούντων σε.

Εἰς τὸν στίχον στιχηρὰ ἦχος γ'.

Ο τῷ πάθει σου Χριστὲ ἀμαυρώσας τὸν ἥλιον, καὶ τῷ φωτὶ τῆς σῆς ἀναστάσεως φαιδρύνας τὰ σύμπαντα. πρόσδεξαι ἡμῶν τὸν ἑσπερινὸν ὕμνον φιλάνθρωπε. Στιχηρὰ τοῦ ἀλφαβήτου. Ὁ κύριος ἐβασίλευσεν δ'. Ἡ ζωοδόχος σου ἔγερσις κύριε, τὴν οἰκουμένην πᾶσαν ἐφώτισε, καὶ τὸ ἴδιον πλάσμα φθαρὲν ἀνεκαλέσατο, διὸ τῆς κατάρας τοῦ Ἀδὰμ ἀπαλλαγέντες βοῶμεν. παντοδύναμε κύριε δόξα σοι. Καὶ γὰρ ἐστερέωσε. Θεὸς ὑπάρχων ἀναλλοίωτος, σαρκὶ πάσχων ἠλλοίωσαι, ὃν ἡ κτίσις μὴ φέρουσα κρεμάμενον ὁρᾶν, τῷ φόβῳ ἐκλονεῖτο, καὶ στένουσα, ὕμνει τὴν σὴν μακροθυμίαν. κατελθὼν ἐν ᾅδῃ δὲ τριήμερος ἀνέστης, ζωὴν τῷ κόσμῳ δωρούμενος καὶ τὸ μέγα ἔλεος. Τῷ οἴκῳ σου. Ἵνα τὸ γένος ἡμῶν ἐκ τοῦ θανάτου Χριστὲ λυτρώσῃς, θάνατον ὑπέμεινας, καὶ τριήμερος ἐκ νεκρῶν ἀναστὰς, ἑαυτῷ συναναστήσας. τοὺς δὲ θεὸν ἐπιγνῶντας, καὶ κόσμον ἐφώτισας. κύριε δόξα σοι.

Δόξα καὶ νῦν θεοτοκίον. ἦχος γ'.

Ἀσπόρως ἐκ θείου πνεύματος, βουλήσει δὲ πατρὸς, συνέλαβες υἱὸν τὸν τοῦ θεοῦ, ἐκ πατρὸς ἀμήτορα πρὸ τῶν αἰώνων ὑπάρχοντα, δι' ἡμᾶς δὲ ἐκ σοῦ ἀπάτορα γεγονότα, σαρκὶ ἀπεκύησας, καὶ βρέφος ἐγαλούχησας. διὸ μὴ παύσῃ πρεσβεύειν τοῦ λυτρωθῆναι κινδύνων τὰς ψυχὰς ἡμῶν.

Εἰς τὸ ἀπόδειπνον. κανὼν τῆς θεοτόκου ζήτει φ. ροε'.

Τῇ κυριακῇ εἰς τὸν ὄρθρον, εἰς τὸ θεὸς κύριος. τροπ. ἀναστάσιμον δίς. δόξα καὶ νῦν θ'. ἦχος γ'.

Εὐφραινέσθω τὰ οὐράνια, ἀγαλλιάσθω τὰ ἐπίγεια. ὅτι ἐποίησε κράτος ἐν βραχίονι αὐτοῦ, ὁ κύριος ἐπάτησε τῷ θανάτῳ τὸν θάνατον, πρωτότοκος ἐκ νεκρῶν ἐγήγερται, ἐκ κοιλίας ᾅδου ἐῤῥύσατο ἡμᾶς, καὶ παρέ-

κρῶν, ὁ σωτὴρ τοῦ κόσμου, καὶ ἐπλήρωσε τὰ σύμπαντα εὐωδίας. χαίρετε λαοὶ καὶ ἀγαλλιᾶσθε.

Αἰνεῖτε τὸν θεὸν ἐν τοῖς.

Ἄγγελος μὲν τὸ χαῖρε πρὸ τῆς σῆς συλλήψεως κύριε τῇ κεχαριτωμένῃ ἐκόμισεν. ἄγγελος δὲ τὸν λίθον τοῦ ἐνδόξου σου μνήματος ἐν τῇ σῇ ἀναστάσει ἐκύλισεν. ὁ μὲν ἀντὶ τῆς λύπης εὐφροσύνης σύμβολα μηνύων. ὁ δὲ ἀντὶ θανάτου δεσπότην ζωοδότην κηρύττων ἡμῖν. διὸ βοῶμεν σοι εὐεργέτα τῶν ἁπάντων. κύριε δόξα σοι. Ἕτερον ἀνατολικά.

Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις.

Ἔφερον μύρα μετὰ δακρύων, ἐπὶ τὸ μνῆμα σου αἱ γυναῖκες, καὶ ἐπλήσθη χαρᾶς τὸ στόμα αὐτῶν ἐν τῷ λέγειν ἀνέστη ὁ κύριος.

Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπ.

Αἰνεσάτωσαν ἔθνη καὶ λαοὶ Χριστὸν τὸν θεὸν ἡμῶν, τὸν ἑκουσίως δι' ἡμᾶς σταυρὸν ὑπομείναντα, καὶ ἐν τῷ ᾅδῃ τριημερεύσαντα, καὶ προσκυνησάτωσαν αὐτοῦ τὴν ἐκ νεκρῶν ἀνάστασιν, δι' ἧς πεφώτισται πάντα τοῦ κόσμου τὰ πέρατα.

Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ.

Ἐσταυρώθης, ἐτάφης Χριστὲ, ὡς ἠβουλήθης, ἐσκύλευσας τὸν θάνατον ὡς θεὸς καὶ δεσπότης, δωρούμενος τῷ κόσμῳ ζωὴν αἰώνιον καὶ τὸ μέγα ἔλεος.

Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις.

Ὄντως παράνομοι σφραγίσαντες τὸν λίθον, μείζονος ἡμᾶς θαύματος ἠξιώσατε. ἔχουσι τὴν γνῶσιν οἱ φύλακες, σήμερον προῆλθε τοῦ μνήματος, καὶ ἔλεγον, εἴπατε. ὅτι ἡμῶν κοιμωμένων, ἦλθον οἱ μαθηταὶ, καὶ ἔκλεψαν αὐτὸν, καὶ τίς κλέπτει νεκρὸν μάλιστα δὲ καὶ γυμνόν; αὐτὸς ἀνέστη αὐτεξουσίως, ὡς θεὸς, καταλιπὼν καὶ ἐν τῷ τάφῳ τὰ ἐντάφια αὐτοῦ, δεῦτε ἴδετε Ἰουδαῖοι, πῶς οὐ διέρρηξε τὰς σφραγῖδας, ὁ τὸν θάνατον πατήσας, καὶ τῷ γένει τῶν ἀνθρώπων τὴν ἀτελεύτητον ζωὴν δωρούμενος, καὶ τὸ μέγα ἔλεος.

Τέλος τοῦ β. ἤχου.



Τῷ Σαββάτῳ ἑσπέρας στιχηρὰ ἀναστάσιμα εἰς τὸ κύριε ἐκέκραξα ἦχος γ'. Τὰ ἀρχαῖα.

Τῷ σῷ σταυρῷ Χριστὲ σωτὴρ θανάτου κράτος λέλυται, καὶ διαβόλου ἡ πλάνη κατήργηται, γένος δὲ ἀνθρώπων πίστει σωζόμενον. ὕμνον σοι καθ' ἑκάστην προσφέρει. Πεφώτισται τὰ σύμπαντα τῇ ἀναστάσει σου κύριε, καὶ ὁ παράδεισος πάλιν ἠνέῳκται, πᾶσα δὲ ἡ κτίσις ἀνευφημοῦσά σε. ὕμνον σοι καθ' ἑκάστην προσφέρει. Δοξάζω τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ τὴν δύναμιν, καὶ πνεύματος ἁγίου ὑμνῶ τὴν ἐξουσίαν, ἀδιαίρετον, ἄκτιστον θεότητα, τριάδα ὁμοούσιον, τὴν βασιλεύουσαν εἰς αἰῶνα αἰῶνος.

Ἕτερα στιχηρὰ ἀναστάσιμα ἀνατολικά. ἦχος γ'.

Τὸν σταυρόν σου τὸν τίμιον προσκυ-

ἐτάφης δὲ, καὶ τριήμερος ἐξανέστης, καὶ ἐλυτρώσω πάντας τοὺς βροτοὺς φιλάνθρωπε, πίστει μελῳδοῦντας. ὑμνείτω τὸν κύριον πᾶσα κτίσις καὶ ὑπερυψούτω εἰς πάντας τοὺς αἰῶνας.

Λυτρούσαι τῆς φθορᾶς, ὑπελθὼν τὰ καταχθόνια θεοῦ λόγε, ὅν περ διέπλασας, δυνάμει Χριστὲ σου θείᾳ καὶ ἀφθαρτίσας δόξης ἀϊδίου μέτοχον, τὸν σῆς ἀπειργάσω, ὑμνείτω κραυγάζοντα. τὸν κύριον. πᾶσα κτίσις καὶ ὑπερυψούτω εἰς πάντας τοὺς αἰῶνας. ᾠδὴ θ'.

Μεγάλυνον ψυχή μου τὴν τιμιωτέραν τῶν ἄνω στρατευμάτων.

ὁ εἱρμός.

Ἀνάρχου γεννήτορος, υἱὸς θεὸς καὶ κύριος, σαρκωθεὶς ἐκ παρθένου ἡμῖν ἐπέφανε, τὰ ἐσκοτισμένα φωτίσαι, συναγαγεῖν τὰ ἐσκορπισμένα. διὸ τὴν πανύμνητον θεοτόκον μεγαλύνομεν.

Ὡς ἐν παραδείσῳ φυτευθὲν, ἐν τῷ κρανίῳ Χριστὲ, τὸ τρισόλβιον ξύλον τοῦ σοῦ ἀχράντου σταυροῦ, αἵματι καὶ ὕδατι θείῳ ὡς ἐκ πηγῆς τῆς θείας πλευρᾶς σου, σωτὴρ ἀρδευόμενον, τὴν ζωὴν ἡμῖν ἐξήνθησε.

Ἀνεῖλες δυνάστας σταυρωθεὶς ὁ παντοδύναμος, καὶ τὴν κάτω κειμένην ἐν τῇ τοῦ ᾅδου φρουρᾷ, φύσιν τῶν ἀνθρώπων ὑψώσας τῷ πατρικῷ ἐνίδρυσας θρόνῳ. μεθ' ἧς σὲ ἐρχόμενον προσκυνοῦντες μεγαλύνομεν.

θ. Μονάδα τρισαρίθμιον, τριάδα ὁμοούσιον, ὀρθοδόξως ὑμνοῦντες πιστοὶ δοξάσωμεν, ἄτμητον ὑπέρθεον φύσιν, τρισοφεγγῆ, ἀνέσπερον αἴγλην, τὴν μόνην ἀκήρατον, τὴν τὸ φῶς ἡμῖν ἐκλάμπουσαν.

ἄλλος. ὁ εἱρμός. Τὸν ἐκ θεοῦ θεὸν λόγον.

Ἐν μέσῳ τῶν κατακρίτων, ὡς ἀμνὸς ἀνηρτήθης, Χριστὲ. ἐπὶ κρανίου τοῦ σταυροῦ, λόγχῃ πλευρὰν ἐκκεντούμενος, τὴν ζωὴν ἐδωρήσω, ἡμῖν τοῖς χοϊκοῖς ὡς ἀγαθὸς, τοῖς ἐν πίστει τιμῶσι τὴν θείαν σου ἀνάστασιν.

Τὸν τῷ ἰδίῳ θανάτῳ, τὸ τοῦ θανάτου τὸ κράτος, δυνάμει καταργήσαντα θεὸν, πάντες πιστοὶ προσκυνήσωμεν, ὅτι τοὺς ἀπ' αἰῶνος νεκροὺς συνεξανέστησε, καὶ τοῖς πᾶσι παρέχει ζωὴν καὶ τὴν ἀνάστασιν.

Ἐξαποστειλάριον τῆς κυριακῆς. εἶτα τοὺς αἴνους, καὶ τὰ στιχηρὰ εἰς τοὺς αἴνους ἦχος β'. στίχος. Τοῦ ποιῆσαι ἐκδίκησιν.

Πᾶσα πνοὴ καὶ πᾶσα κτίσις σὲ δοξάζει κύριε, ὅτι διὰ σταυροῦ τὸν θάνατον κατήργησας, ἵνα δείξῃς τοῖς λαοῖς, τὴν ἐκ νεκρῶν σου ἀνάστασιν, ὡς μόνος φιλάνθρωπος.

Τοῦ δῆσαι τοὺς βασιλεῖς.

Εἰπάτωσαν Ἰουδαῖοι πῶς οἱ στρατιῶται ἀπώλεσαν τηροῦντες τὸν βασιλέα, διὰ τί γὰρ ὁ λίθος οὐκ ἐφύλαξε τὴν πέτραν τῆς ζωῆς; ἢ τὸν ταφέντα δότωσαν, ἢ ἀναστάντα προσκυνησάτωσαν. λέγοντες σὺν ἡμῖν. δόξα τῷ πλήθει τῶν οἰκτιρμῶν σου, σωτὴρ ἡμῶν δόξα σοι.

Τοῦ ποιῆσαι ἐν αὐτοῖς.

Χαίρετε λαοὶ καὶ ἀγαλλιᾶσθε, ἄγγελος ἐκάθισεν εἰς τὸν λίθον τοῦ μνήματος, αὐτὸς ἡμᾶς εὐηγγελίσατο εἰπών. Χριστὸς ἀνέστη ἐκ νεκρῶν,

δυνάμει, καὶ ᾅδης ἰδὼν τὸ θαῦμα ἐξεπλήττετο, καὶ νεκροὶ συνανίσταντο, καὶ ἡ κτίσις, ἰδοῦσα συγχαίρει σοι, καὶ ὁ Ἀδὰμ συναγάλλεται, καὶ κόσμος σωτήρ μου αἰνυμνεῖ σε ἀεί. ὁ οἶκος. Σὺ εἶ τὸ φῶς τῶν ἐσκοτισμένων, σὺ εἶ ἀνάστασις πάντων, καὶ ἡ ζωὴ τῶν βροτῶν, καὶ πάντας συνανέστησας, τοῦ θανάτου τὸ κράτος σωτὴρ σκυλεύσας, καὶ τοῦ ᾅδου τὰς πύλας συντρίψας λόγε. καὶ οἱ θνητοὶ κατιδόντες τὸ θαῦμα ἐθαύμαζον, καὶ πᾶσα κτίσις συγχαίρει ἐν τῇ σῇ ἀναστάσει φιλάνθρωπε. διὸ πάντες δοξάζομεν, καὶ ὑμνοῦμεν τὴν σὴν συγκατάβασιν. Ανα. Ανες. Καὶ κόσμος σωτήρ μου αἰνυμνεῖ σε ἀεί.

ᾠδὴ ζ. ὁ εἱρμός.

Ἀντίθεον πρόσταγμα παρανομοῦντος τυράννου, μετάρσιον τὴν φλόγα ἀνερρίπισε, Χριστὸς δὲ ἐφήπλωσε θεοσεβέσι παισί, δρόσον τὴν τοῦ πνεύματος, ὁ ὢν εὐλογημένος καὶ ὑπερένδοξος. Οὐκ ἔφερες δέσποτα δι' εὐσπλαγχνίαν θανάτῳ τὸν θάνατον, καθορᾶν τυραννούμενον, ἀλλ' ἦλθες, καὶ ἔσωσας ἰδίῳ αἵματι. ἄνθρωπος γενόμενος, ὁ ὢν εὐλογημένος καὶ ὑπερένδοξος. Ἰδόντες σε ἔπτηξαν ἠμφιεσμένον, στολὴν ἐκδικήσεως, οἱ πυλωροὶ τοῦ ᾅδου Χριστέ, ἀγνώμονα τύραννον, οἰκέτην δέσποτα, ἦλθες γὰρ χειρώσασθαι. ὁ ὢν εὐλογημένος καὶ ὑπερένδοξος. θ. Ἁγίων ἁγίαν σε κατανοοῦμεν ὡς μόνην κυήσασαν, θεὸν τὸν ἀναλλοίωτον, παρθένε ἀμόλυντε, μῆτερ ἀνύμφευτε, πᾶσι γὰρ ἐπήγασας πιστοῖς τὴν ἀφθαρσίαν, τῷ θείῳ τόκῳ σου. ἄλλος. ὁ εἱρμὸς [illegible] τους ἀνεδείχθησαν.

Ἐκεῖνε τὸν προπάτορα πάλαι, ἐν τῇ Ἐδὲμ παρακοῇ, ἀλλ' ἑκουσίως ἐκεῖθεν τῇ παραβάσει λύων τὸ ἔγκλημα, ὁ ὑπέρθεος τῶν πατέρων θεὸς καὶ ὑπερένδοξος. Βαίνοντα ἐν σκιᾷ με θανάτου, ἀνεκαλέσω πρὸς τὸ φῶς, τὸν σκοτεινόμορφον ᾅδην, τῇ ἀστραπῇ βαλὼν τῆς θεότητος, ὁ ὑπέρθεος τῶν πατέρων, θεὸς καὶ ὑπερένδοξος.

ᾠδὴ η΄. ὁ εἱρμός.

Κάμινος ποτὲ, πυρὸς ἐν Βαβυλῶνι, τὰς ἐνεργείας διεμέριζε τῷ θείῳ προστάγματι, τοῖς χαλδαίοις καταφλέγουσα. τοὺς δὲ πιστοὺς δροσίζουσα, ψάλλοντας. εὐλογεῖτε πάντα τὰ ἔργα κυρίου τὸν κύριον.

Αἵματι Χριστὲ, τῷ σῷ πεφοινιγμένην, τὴν τῆς σαρκός σου καθορῶντα στολὴν ἐν τρόμῳ ἐξίσταντο, τὴν πολλὴν μακροθυμίαν σου, τὰ τῶν ἀγγέλων τάγματα, κράζοντα. εὐλογεῖτε πάντα τὰ ἔργα κυρίου τὸν κύριον. Σύ μου τὸ θνητὸν ἐνέδυσας οἰκτίρμον ἀθανασίαν τῇ ἐγέρσει σου. διὸ ἀγαλλόμενος εὐχαρίστως ἀναμέλπει σοι, ὁ ἐκλεκτὸς λαὸς Χριστὲ κράζων σοι κατεπόθη ὄντως εἰς νῖκος ὁ θάνατος. θ. Σὺ τὸν τοῦ πατρὸς ἀχώριστον ἐν μήτρᾳ θεανδρικῶς πολιτευσάμενον, ἀπορρήτως συνέλαβες, καὶ ἀφράστως ἀπεκύησας θεογεννῆτορ πάναγνε. ὅθεν σε σωτηρίαν πάντων ἡμῶν ἐπιστάμεθα.

ἄλλος. ὁ εἱρμός. Ἰνδάλματος.

Ὡράθης ἐν σταυρῷ καθηλούμενος, ὁ πλούσιος ἐν ἐλέει, ἑκὼν ἐπτά-

σοῦ, τοῦ ἐχθροῦ αἱ ῥομφαῖαι ἐξέλιπον, τῶν ὑπεναντίων δὲ ἐν τῇ εἰς ᾅδου καθόδῳ σου, πόλεις καθῃρέθησαν καὶ τοῦ τυράννου τὸ θράσος καταβέβληται. Σὲ λιμένα σωτηρίας καὶ τεῖχος ἀκράδαντον, θεοτόκε δέσποινα, πάντες πιστοὶ ἐπιστάμεθα. σὺ γὰρ ταῖς πρεσβείαις σου ἐκ τῶν κινδύνων λυτροῦσαι τὰς ψυχὰς ἡμῶν.

ἄλλος. ὁ εἱρμός. Ἀκήκοε κύριε.

Ἰδοῦσα ἐν ξύλῳ σε Χριστὲ παγέντα, παρθένος ἡ ἀνωδίνως σὲ κυήσασα, τὰς μητρικὰς ὠδίνας ὑπέμεινεν. Νενίκηται θάνατος, νεκρὸς σκυλεύει ᾅδου τὰς πύλας, τοῦ παμφάγου γὰρ ῥαγέντος μοι, τὰ ὑπὲρ φύσιν πάντα δεδώρηται.

ᾠδὴ ε. ὁ εἱρμός.

Μεσίτης θεοῦ καὶ ἀνθρώπων γέγονας Χριστὲ ὁ θεὸς, διὰ σοῦ γὰρ δέσποτα τὴν πρὸς τὸν ἀρχίφωτον πατέρα σου ἐκ νυκτὸς ἀγνωσίας προσαγωγὴν ἐσχήκαμεν.

Ὡς κέδρους Χριστὲ, τῶν ἐθνῶν τὸ φρύαγμα συνέτριψας, ἑκουσίως δέσποτα ἐν τῇ κυπαρίσσῳ ὡς ηὐδόκησας, καὶ τῇ πεύκῃ καὶ κέδρῳ, σαρκὶ συνανυψούμενος. Ἐν λάκκῳ Χριστὲ, κατωτάτῳ ἔθεντό σε ἄπνουν νεκρὸν, ἀλλ' οἰκείῳ μώλωπι, ἐπιλελησμένοις τραυματίας νεκροῖς, τοὺς ἐν τάφοις ὑπνοῦντας αὐτῷ συνεξανέστησας. Θ. Δυσώπει τὸν σὸν υἱὸν καὶ κύριον παρθένε ἁγνή. αἰχμαλώτοις λύτρωσιν, τοῖς ἐξ ἐναντίας περιστάσεως, ἐπὶ σοὶ πεποιθόσιν εἰρηνικὴν δωρήσασθαι. ἄλλος.

ὁ εἱρμός. Ὁ αὐτὸς τῷ Ἠσαΐᾳ.

Νηστεύειν ἀπαναινόμενος Ἀδὰμ γεύεται, θανατηφόρου τοῦ ξύλου ὁ πρότερος, ἀλλὰ τούτου τὴν ἁμαρτίαν ἐξαφανίζει σταυρωθεὶς ὁ δεύτερος. Ἣν φύσιν τε παθητὸς, ἢ καὶ θνητὸς γέγονας, ὁ ἀπαθὴς τῇ ἀΰλῳ θεότητι ἀφθαρτίσας νενεκρωμένοις Χριστὲ, κενώθη μόνον ᾅδου ἐξανέστησας.

ᾠδὴ ϛ'. ὁ εἱρμός.

Ἐν ἀβύσσῳ πταισμάτων κυκλούμενος, τὴν ἀνεξιχνίαστον τῆς εὐσπλαγχνίας σου, ἐπικαλοῦμαι ἄβυσσον, ἐκ φθορᾶς ὁ θεός μου ἀνάγαγε.

Ὡς κακοῦργος ὁ δίκαιος κέκριται, καὶ μετὰ ἀνόμων τῷ ξύλῳ προσήλωται, τοῖς ἀνθρώποις ἄφεσιν. τῷ οἰκείῳ δωρούμενος αἵματι. Δι' ἑνὸς μὲν ἀνθρώπου τοῦ πρώτου Ἀδὰμ, πάλαι εἰς τὸν κόσμον εἰσῆλθεν ὁ θάνατος, καὶ δι' ἑνὸς ἀνάστασις, τοῦ υἱοῦ τοῦ θεοῦ πεφανέρωται. Θ. Ἀπειράνδρως παρθένε ἐκύησας. καὶ διαιωνίζεις παρθένος ἐμφαίνουσα, τῆς ἀληθοῦς θεότητος, τοῦ υἱοῦ καὶ θεοῦ σου τὰ σύμβολα.

ἄλλος. ὁ εἱρμός. Ἠχοῦ ῥημάτων.

Φύλακας ἔθου τῷ πλάσαντι, τὰ χερουβὶμ τοῦ ξύλου τῆς ζωῆς, ἀλλ' ἰδόντα σε τὰς πύλας ἤνοιξαν, ὤφθης γὰρ ὁδοποιῶν τῷ λῃστῇ παράδεισον. Ἔρημος ᾅδης καὶ ἄπορος, διὰ θανάτου γέγονεν ἑνὸς, ὃν πολλῶν γὰρ πλοῦτον ἐθησαύρισεν, εἷς ὑπὲρ πάντων ἡμῶν ὁ Χριστὸς ἐκένωσεν.

Τὸ κοντάκιον ἦχος β. Τὰ ἄνω ζητῶν.

Ἀνέστης σωτὴρ ἐκ τοῦ τάφου παντοδύναμε

τὸν θάνατον, καὶ τῇ ἐγέρσει σου ἀνυψώσας τὸν ἄνθρωπον, ἐλέησον ἡμᾶς. Καὶ νῦν. Ὅλος ὅλῳ μοι συναχθεὶς, καὶ ὅλως ὅλον ἐξ ᾅδου ἀναγαγὼν, ζωοδότα κύριε ἐλέησόν με.

Ὁ κανὼν ἀναστάσιμος ἦχος β. ᾠδὴ α΄. ὁ εἱρμός. Ἐν βυθῷ κατέστρωσέ ποτε, τὴν φαραωνίτιδα πανστρατιὰν, ἡ ὑπέροπλος δύναμις· σαρκωθεὶς ὁ λόγος δὲ, τὴν παμμόχθηρον ἁμαρτίαν ἐξήλειψεν, ὁ δεδοξασμένος κύριος· ἐνδόξως γὰρ δεδόξασται.

Ὁ τοῦ κόσμου ἄρχων ἀγαθὲ, ᾧ ἀπεχαψάμεθα, τῇ ἐντολῇ τῇ σῇ μὴ πειθαρχήσαντες, τῷ σταυρῷ κέκριται, προσβαλὼν γάρ σοι, ὡς θνητῷ περιπέπτωκε, τῷ τῆς ἐξουσίας κράτει σου, καὶ ἀσθενὴς διήλεγκται. Λυτρωτὴς τοῦ γένους τῶν βροτῶν, καὶ τῆς ἀκηράτου ζωῆς ἀρχηγὸς, εἰς τὸν κόσμον ἐλήλυθας. τῇ γὰρ ἀναστάσει σου, διασπαράξας τοῦ θανάτου τὰ σπάργανα, ἣν δοξολογοῦμεν ἅπαντες· ἐνδόξως γὰρ δεδόξασται. Θεοτοκίον. Ὑπερτέρα πέφυκας ἁγνὴ, πάσης ἀοράτου τε καὶ ὁρατῆς ἀειπάρθενε κτίσεως. τὸν γὰρ κτίστην τέτοκας, ὡς ηὐδόκησε σαρκωθῆναι ἐν μήτρᾳ σου. ᾧ σὺν παρρησίᾳ πρέσβευε σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἕτερος κανὼν σταυροαναστάσιμος, ἦχος β΄. ᾠδὴ α΄. ὁ εἱρμός. Ἄβατον ἀσωνήθη.

Δύναμις ἀσθενοῦσιν, ἀνάστασις πεσοῦσι, καὶ ἀφθαρσία γέγονας Χριστὲ τῆς σαρκὸς τῷ πάθει σου. ὅτι δεδόξασται. Ὤκτειρε τὴν πεσοῦσαν εἰκόνα, καὶ ἀνέστησε συντριβεῖσαν ὁ πλαστουργὸς καὶ καινουργὸς θεὸς νεκρωθεὶς, ὃ γέγονεν. ὅτι δεδόξασται.

ᾠδὴ γ΄. ὁ εἱρμός. Ἐξήνθησεν ἡ ἔρημος ὥσπερ κρίνον κύριε ἡ τῶν ἐθνῶν στειρεύουσα ἡ ἐκκλησία τῇ παρουσίᾳ σου, ἐν ᾗ ἐστερεώθη ἡ καρδία μου.

Ἡ κτίσις ἐν τῷ πάθει συνηλλοιοῦτο βλέπουσα, σὲ ἐν ἀτελεῖ προσχήματι, ὑπ' ἀνόμων μυκτηριζόμενον, τὸν δράσαντα πάντα θείῳ νεύματι. Ἐκ χοὸς κατ' εἰκόνα με, τῇ χειρί σου ἔπλασας, καὶ συντριβέντα πάλιν εἰς χοῦν δι' ἁμαρτίαν Χριστὲ, συγκαταβὰς εἰς ᾅδην συνανέστησας. Θεοτοκίον. Τὰ τάγματα ἐξέστησαν, τῶν ἀγγέλων πάναγνε, καὶ τῶν ἀνθρώπων ἔφριξαν, αἱ καρδίαι ἐπὶ τῷ τόκῳ σου· διό σε θεοτόκον πίστει σέβομεν. ἄλλος. Τὸ τόξον συνετρίβη.

Ὁ πάντων ἐπέκεινα Χριστὸς, ἠλάττωται βραχὺ, τῷ πάθει τῷ τῆς σαρκὸς τῆς ἀγγέλων φύσεως. Νεκρὸς μετ' ἀνόμων λογισθεὶς, ἐκλάμπων γυναιξὶ, στεφάνῳ δόξης Χριστὲ, ὤφθης τῆς ἐγέρσεως.

ᾠδὴ δ΄. ὁ εἱρμός. Ἐλήλυθας ἐκ παρθένου, οὐ πρέσβυς οὐκ ἄγγελος, ἀλλ' αὐτὸς ὁ κύριος σεσαρκωμένος καὶ ἔσωσας, ὅλον με τὸν ἄνθρωπον. διὸ κραυγάζω σοι· δόξα τῇ δυνάμει σου κύριε.

Παρέστης, ὡς κριτὸς ὁ θεός μου τῷ βήματι, οὐ κραυγάζων δέσποτα, κρίσιν ἐξάγων τοῖς ἔθνεσιν, ἣν διὰ τοῦ πάθους σου, τῇ οἰκουμένῃ εἰργάσω σωτηρίαν Χριστέ. Τῷ πάθει

σου,

Ἀνάστηθι κύριε ὁ θεός μου ὑψωθήτω ἡ χείρ σου, μὴ ἐπιλάθου τῶν πενήτων σου εἰς τέλος. κάθισμα. ἦχος β΄.

Τὸν λίθον τοῦ μνήματος σφραγισθῆναι μὴ κωλύσας, τὴν πέτραν τῆς πίστεως, ἀναστὰς Χριστὲ παρέσχες ἡμῖν τὸ μέγα ἔλεος. στίχος β΄. Αὕτη ἡμέρα ἣν ἐποίησεν ὁ κύριος ἀγαλλιασώμεθα.

Ὁ δ᾽ εὐσχήμων Ἰωσὴφ ἀπὸ τοῦ ξύλου καθελὼν τὸ ἄχραντόν σου σῶμα, σινδόνι καθαρᾷ εἱλίσας, καὶ ἀρώμασιν ἐν μνήματι καινῷ κηδεύσας κατέθετο, ἀλλὰ τριήμερος ἀνέστης κύριε, παρέχων τῷ κόσμῳ τὸ μέγα ἔλεος. δόξα καὶ νῦν θ΄. Ὑπερδεδοξασμένη ὑπάρχεις θεοτόκε παρθένε ὑμνοῦμέν σε. διὰ γὰρ τοῦ σταυροῦ τοῦ υἱοῦ σου κατεβλήθη ὁ ᾅδης, καὶ ὁ θάνατος τέθνηκε. νεκρωθέντες ἀνέστημεν, καὶ ζωῆς ἠξιώθημεν, τὸν παράδεισον ἐλάβομεν, τὴν ἀρχαίαν ἀπόλαυσιν. διό δ᾽ εὐχαριστοῦντες δοξολογοῦμεν, ὡς κραταιὸν Χριστὸν τὸν θεὸν ἡμῶν καὶ μόνον πολυέλεον. Καὶ μετὰ τὴν ἀνάγνωσιν, οἱ ἀναβαθμοί. Ἀντίφωνον α΄. ἦχος β΄. Ἐν τῷ οὐρανῷ τὰ ὄμματα ἐκπέμπω μου τῆς καρδίας, πρὸς σὲ σωτὴρ σῶσόν με τῇ σῇ ἐπιλάμψει. στίχος α΄. πρὸς σὲ ἦρα τοὺς ὀφθαλμούς μου τὸν κατοικοῦντα.

Ἐλέησον ἡμᾶς τοὺς πταίοντάς σοι πολλά, καθ᾽ ἑκάστην ὥραν ὦ Χριστέ μου, καὶ δὸς πρὸ τέλους τρόπους τοῦ μετανοεῖν σοι. στίχος β΄. Ἐλέησον ἡμᾶς κύριε. Ἁγίῳ πνεύματι τὸ βασιλεύειν πρέπει, τὸ ἁγιάζειν, τὸ κινεῖν τὴν κτίσιν. θεὸς γάρ ἐστιν ὁμοούσιος πατρὶ καὶ λόγῳ. δόξα τὸ αὐτό. Ἀντίφωνον β΄. ἦχος β΄. Εἰ μὴ ὅτι κύριος ἦν ἐν ἡμῖν, τίς ἱκανὸς σῶος φυλαχθῆναι ἐκ τοῦ ἐχθροῦ, ἅμα καὶ ἀνθρωποκτόνου. στίχος εἰ πατω δὴ λέγεικος Ἰσραήλ. Τοῖς ὀδοῦσιν αὐτῶν μὴ παραδῷς σῶτερ τὸν σὸν δοῦλον, λέοντος τρόπον κατ᾽ ἐμοῦ κινοῦνται καὶ γὰρ οἱ ἐχθροί μου. στίχος Εὐλογητὸς κύριος ὃς οὐκ ἔδωκεν ἡμᾶς εἰς θήραν. Ἁγίῳ πνεύματι, ζωαρχία καὶ γέρας. πάντα γὰρ τὰ κτιστὰ ὡς θεὸς ὤν, δυναμοῖ, συντηρεῖ ἐν πατρὶ δι᾽ υἱοῦ. δόξα τὸ αὐτό. Ἀντίφωνον γ΄. ἦχος β΄. Οἱ πεποιθότες ἐπὶ κύριον, ἐοίκασιν ὄρει τῷ ἁγίῳ, οἱ οὐδαμῶς σαλεύονται προσβολαῖς τοῦ βελίαρ. στίχος. Οὐ σαλευθήσονται εἰς τὸν αἰῶνα. Ἐν ἀνομίαις χεῖρας αὐτῶν μὴ ἐκτεινάτωσαν οἱ θείως ζῶντες, οὐ γὰρ ἐᾷ Χριστὸς τῇ ῥάβδῳ τὸν κλῆρον αὐτοῦ. στίχος. Ὅπως ἂν μὴ ἐκτείνωσιν οἱ δίκαιοι. Ἁγίῳ πνεύματι προσπηγάζει πᾶσα σοφία, ἔνθεν χάρις ἀποστόλοις, καὶ τοῖς ἄθλοις καταστέφονται μάρτυρες, καὶ προφῆται ὁρῶσιν. δόξα τὸ αὐτό. προκείμενον. ἦχος β΄.

Ἐξεγέρθητι κύριε ὁ θεός μου ἐν προστάγματι, ᾧ ἐνετείλω, καὶ συναγωγὴ λαῶν κυκλώσει σε. στίχος. Κύριε ὁ θεός μου ἐπὶ σοὶ ἤλπισα σῶσόν με ἐκ πάντων τῶν διωκόντων με καὶ ῥῦσαί με.

Τὸ πᾶσα πνοή. τὸ ἑωθινὸν δ᾽ εὐαγγέλιον. ἀνάστασις Χριστοῦ. ὁ ν΄. τὸ στιχηρὸν ἰδιόμελον ἦχος β΄. δόξα.

Ζωοδότα φιλάνθρωπε, ὁ νεκρώσας

τὸν

τέλεν ἥλιος· ἀντὶ Μωϋσέως, Χριστὸς ἡ σωτηρία τῶν ψυχῶν ἡμῶν.

Εἰς τὸν στίχον στιχηρά. ἦχος β'.

Η ἀνάστασίς σου Χριστὲ σωτήρ, ἅπασαν ἐφώτισε τὴν οἰκουμένην, καὶ ἀνεκαλέσω τὸ ἴδιον πλάσμα, παντοδύναμε κύριε δόξα σοι.

Στιχηρὰ τὰ α. β. στίχος ὁ κύριος ἐβασίλευσεν. Διὰ ξύλου σῶτερ καταργήσας τὴν τοῦ ξύλου κατάραν, κράτος θανάτου τῇ ταφῇ σου ἐνέκρωσας, ἐφώτισας δὲ τὸ γένος ἡμῶν τῇ ἐγέρσει σου, διὸ βοῶμέν σοι. ζωοδότα Χριστὲ ὁ θεὸς ἡμῶν δόξα σοι.

Στίχος. Καὶ γὰρ ἐστερέωσε τὴν οἰκουμένην.

Εν τῷ σταυρῷ Χριστὲ φανεὶς καθηλώμενος, ἠλλοίωσας κάλλος κτισμάτων, καὶ τὸ μὲν ἀπ' ἄνθρωπον στρατιῶται δεικνύμενοι, λόγχῃ πλευράν σου ἐκέντησαν, Ἑβραῖοι δὲ σφραγίσαι τάφον ᾐτήσαντο, τὴν σὴν ἐξουσίαν οὐκ ἐπιστάμενοι, ἀλλ' ὁ δι' οἶκτον σπλάγχνων σοῦ καταδεξάμενος ταφήν, καὶ τριήμερος ἀναστὰς κύριε δόξα σοι.

Τῷ οἴκῳ σου πρέπει ἁγίασμα κύριε.

Ζωοδότα κύριε ἑκουσίως πάθος ὑπέστης διὰ θνητούς, ἐν ᾅδῃ δὲ κατελθὼν ὡς δυνατὸς, τοὺς ἐκεῖ τὴν ἔλευσιν μένοντας τὴν σήν, ἀφαρπάσας ὡς ἐκ χειρὸς κραταιοῦ, παράδεισον αὐτοῖς ἀντὶ ᾅδου οἰκεῖν δεδώρησαι, διὸ καὶ ἡμῖν τοῖς δοξάζουσι τὴν σὴν τριήμερον ἔγερσιν, δώρησαι ἱλασμὸν ἁμαρτιῶν, καὶ τὸ μέγα ἔλεος. Δόξα καὶ νῦν. θ. Ὢ θαύματος καινοῦ πάντων τῶν πάλαι θαυμάτων. τίς γὰρ ἔγνω μητέρα ἄνευ ἀνδρὸς τετοκυῖαν; καὶ ἐν ἀγκάλαις φέρουσαν τὸν ἅπασαν τὴν κτίσιν περιέχοντα. θεοῦ ἐστι βουλὴ τὸ κυηθέν. ὃν ὡς βρέφος πάναγνε σαῖς ἀλέναις βαστάζουσα, καὶ μητρικὴν παρρησίαν πρὸς αὐτὸν κεκτημένη, μὴ παύσῃ δυσωποῦσα ὑπὲρ τῶν τιμώντων, τοῦ οἰκτειρῆσαι, καὶ σῶσαι τὰς ψυχὰς ἡμῶν.

Εἰς τὸ ἀπόδειπνον κανὼν τῆς θεοτόκου. Τῇ κυριακῇ εἰς τὸν ὄρθρον. εἰς τὸ θεὸς κύριος, τροπάριον ἀναστάσιμον δίς. ἦχος β'.

Οτε κατῆλθες πρὸς τὸν θάνατον, ἡ ζωὴ ἡ ἀθάνατος, τότε τὸν ᾅδην ἐνέκρωσας τῇ ἀστραπῇ τῆς θεότητος. ὅτε δὲ καὶ τοὺς τεθνεῶτας ἐκ τῶν καταχθονίων ἀνέστησας, πᾶσαι αἱ δυνάμεις αἱ τῶν ἐπουρανίων ἐκραύγαζον, ζωοδότα Χριστὲ ὁ θεὸς ἡμῶν δόξα σοι. θ. Πάντα ὑπὲρ ἔννοιαν, πάντα ὑπερένδοξα τὰ σὰ θεοτόκε μυστήρια, τῇ ἁγνείᾳ ἐσφραγισμένη, καὶ παρθενίᾳ φυλαττομένη, μήτηρ ἐγνώσθης ἀψευδής, θεὸν τεκοῦσα ἀληθινόν, αὐτὸν ἱκέτευε σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ μετὰ τὴν στιχολογίαν. ἡ ὑπακοή. ἦχος β'.

Μετὰ τὸ πάθος πορευθεῖσαι ἐν τῷ μνήματι πρὸς τὸ μυρίσαι τὸ σῶμά σου αἱ γυναῖκες Χριστὲ ὁ θεός, εἶδον ἀγγέλους ἐν τῷ τάφῳ καὶ ἐξέστησαν, φωνῆς γὰρ ἤκουον ἐξ αὐτῶν. ὅτι ἀνέστη ὁ κύριος δωρούμενος τῷ κόσμῳ τὸ μέγα ἔλεος. ἦχος α.

θεοφανοῦς γεγυμνωμένην. τοὺς γὰρ ἐν σκότει καθεύδοντας, ὁ ἥλιος ἐφώτισε τῆς δικαιοσύνης, πρὸς ἀνέσπερον χειραγωγῶν ἔλλαμψιν. κύριε δόξα σοι. Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις.

ΤΟ φιλοτάραχον γένος τῶν Ἰουδαίων, ἐνωτίσασθε, ποῦ εἰσὶν οἱ Πιλάτῳ προσελθόντες, εἴπωσιν οἱ φυλάσσοντες στρατιῶται, ποῦ εἰσὶν αἱ σφραγῖδες τοῦ μνήματος; ποῦ μετετέθη ὁ ταφείς; ποῦ ἐπράθη ὁ ἄπρατος; πῶς ἐσυλήθη ὁ θησαυρός, τί συκοφαντεῖτε τὴν ἔγερσιν τοῦ σωτῆρος, παράνομοι Ἰουδαῖοι; ἀνέστη ὁ ἐν νεκροῖς ἐλεύθερος, καὶ παρέχει τῷ κόσμῳ τὸ μέγα ἔλεος.

Τέλος τοῦ α΄. ἤχου τοῦ ἀναστασίμου.



Τῷ Σαββάτῳ ἑσπέρας εἰς τὸ κύριε ἐκέκραξα στιχηρὰ ἀναστάσιμα. ἦχος ϛ.

ΤΟΝ πρὸ αἰώνων ἐκ πατρὸς γεννηθέντα, τὸν θεὸν λόγον σαρκωθέντα ἐκ παρθένου Μαρίας, δεῦτε προσκυνήσωμεν. σταυρὸν γὰρ ὑπομείνας, τῇ ταφῇ παρεδόθη, ὡς αὐτὸς ἠθέλησε, καὶ ἀναστὰς ἐκ νεκρῶν ἔσωσέ με, τὸν πλανώμενον ἄνθρωπον. Χριστὸς ὁ σωτὴρ ἡμῶν, τὸ καθ' ἡμῶν χειρόγραφον προσηλώσας τῷ σταυρῷ ἐξήλειψε, καὶ τοῦ θανάτου τὸ κράτος κατήργησε, προσκυνοῦμεν αὐτοῦ τὴν τριήμερον ἔγερσιν. Σὺν ἀρχαγγέλοις ὑμνήσωμεν, Χριστοῦ τὴν ἀνάστασιν. αὐτὸς γὰρ λυτρωτής ἐστι καὶ σωτὴρ τῶν ψυχῶν ἡμῶν, καὶ ἐν δόξῃ φοβερᾷ καὶ κραταιᾷ δυνάμει, πάλιν ἔρχεται κρῖναι κόσμον, ὃν ἔπλασεν.

Ἕτερα ἀνατολικά.

ΣΕ τὸν σταυρωθέντα καὶ ταφέντα, ἄγγελος ἐκήρυξε δεσπότην, καὶ ἔλεγε ταῖς γυναιξί. δεῦτε ἴδετε ὅπου ἔκειτο ὁ κύριος. ἀνέστη γὰρ καθὼς εἶπεν, ὡς παντοδύναμος. διὸ σὲ προσκυνοῦμεν τὸν μόνον ἀθάνατον. ζωοδότα Χριστὲ ἐλέησον ἡμᾶς. Τῷ σταυρῷ σου κατήργησας τὴν τοῦ ξύλου κατάραν, ἐν τῇ ταφῇ σου ἐνέκρωσας τοῦ θανάτου τὸ κράτος. ἐν δὲ τῇ ἐγέρσει σου ἐφώτισας τὸ γένος τῶν ἀνθρώπων, διὰ τοῦτο σοὶ βοῶμεν. εὐεργέτα Χριστὲ ὁ θεὸς ἡμῶν. δόξα σοι. Ἠνοίγησάν σοι κύριε φόβῳ πύλαι θανάτου. πυλωροὶ δὲ ᾅδου ἰδόντες σε ἔπτηξαν. πύλας γὰρ χαλκᾶς συνέτριψας, καὶ μοχλοὺς σιδηροῦς συνέθλασας, καὶ ἐξήγαγες ἡμᾶς ἐκ σκότους, καὶ σκιᾶς θανάτου, καὶ τοὺς δεσμοὺς ἡμῶν διέρρηξας. Τὸν σωτήριον ὕμνον ᾄδοντες ἐκ στομάτων ἀναμέλψωμεν, δεῦτε πάντες ἐν οἴκῳ κυρίου προσπέσωμεν, λέγοντες. ὁ ἐπὶ ξύλου σταυρωθείς, καὶ ἐκ νεκρῶν ἀναστάς, καὶ ὢν ἐν κόλποις τοῦ πατρός. ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν. Δόξα, καὶ νῦν. Θ.

Παρῆλθεν ἡ σκιὰ τοῦ νόμου τῆς χάριτος ἐλθούσης, ὡς ἡ βάτος οὐκ ἐκαίετο καταφλεγομένη, οὕτω παρθένος ἔτεκες, καὶ παρθένος ἔμεινας, ἀντὶ στύλου πυρός, δικαιοσύνης ἀνέ-

τειλον

νος, τὸν ἀλάστορα καὶ ἀσεβῆ ἐδικαίωσε, τὸν δὲ δίκαιον ξύλῳ κατέκρινε, τὸν κύριον τῆς δόξης, ὃν ἐπαξίως μεγαλύνομεν. Σῶτερ, ὁ ἀμνὸς ὁ ἄμωμος, ὁ τὴν τοῦ κόσμου ἁμαρτίαν ἀράμενος, σὲ δοξάζομεν τὸν ἀναστάντα τριήμερον, σὺν πατρί τε καὶ τῷ θείῳ σου πνεύματι· καὶ κύριον τῆς δόξης θεολογοῦντες μεγαλύνομεν. Σῶσον τὸν λαόν σου κύριε, ὅνπερ ἐκτήσω τῷ τιμίῳ σου αἵματι, κατ᾽ ἐχθρῶν ἰσχὺν τῷ βασιλεῖ χαριζόμενος, καὶ ταῖς σαῖς ἐκκλησίαις φιλάνθρωπε βραβεύων τὴν εἰρήνην, τῆς θεοτόκου ταῖς ἐντεύξεσι. *ἄλλος.*

Μυστήριον ξένον ὁρῶ καὶ παράδοξον.

Δεδόξασται τῇ ἀπορρήτῳ δυνάμει σου, ὁ σταυρός σου κύριε, σοῦ γὰρ τὸ ἀσθενὲς ὑπὲρ δύναμιν πᾶσαν ἐδείχθη, δι᾽ οὗ δυνατοὶ μὲν καταβέβληνται εἰς γῆν, καὶ πτωχοὶ πρὸς οὐρανὸν ἀνακομίζονται. Νενέκρωται ὁ ἀμειδὴς ἡμῶν θάνατος, ἐκ νεκρῶν ἀνάστασιν, σὺ γὰρ ἐπιφανεὶς τοῖς ἐν ᾅδῃ Χριστὲ ἐδωρήσω, διὸ ὡς ζωήν σε καὶ ἀνάστασιν, καὶ φῶς τὸ ἐνυπόστατον, ὑμνοῦντες μεγαλύνομεν. Ἡ ἄναρχος φύσις, καὶ ἀπερίοριστος, ἐν τρισὶ γνωρίζεται, μόναις θεαρχικαῖς ὑποστάσεσι, μία θεότης, πατρί, υἱῷ τε καὶ πνεύματι, ἐφ᾽ ᾗ ὁ θεόφρων βασιλεὺς πεποιθὼς σώζεται.

Τῇ κυριακῇ πρωῒ εἰς τοὺς αἴνους στιχηρὰ ἀναστάσιμα. ἦχος ά. Τοῦ ποιῆσαι ἐν δίκ.

Ὑμνοῦμεν σου Χριστὲ τὸ σωτήριον πάθος, καὶ δοξάζομέν σου τὴν ἀνάστασιν. *Τοῦ δῆσαι τούς.* Ὁ σταυρὸν ὑπομείνας καὶ τὸν θάνατον καταργήσας, καὶ ἀναστὰς ἐκ τῶν νεκρῶν εἰρήνευσον ἡμῶν τὴν ζωὴν κύριε ὡς μόνος παντοδύναμος. *Τοῦ ποιῆσαι ἐν αὐτοῖς.* Ὁ τὸν ᾅδην σκυλεύσας, καὶ τὸν ἄνθρωπον ἀναστήσας, τῇ ἀναστάσει σου Χριστὲ, ἀξίωσον ἡμᾶς ἐν καθαρᾷ καρδίᾳ ὑμνεῖν καὶ δοξάζειν σε. *Αἰνεῖτε τὸν θεόν.* Τὴν θεοπρεπῆ σου συγκατάβασιν δοξάζοντες ὑμνοῦμεν σε Χριστὲ, ἐτέχθης ἐκ παρθένου, καὶ ἀχώριστος ὑπῆρχες τῷ πατρί, ἔπαθες ὡς ἄνθρωπος, καὶ ἑκουσίως ὑπέμεινας σταυρὸν, ἀνέστης ἐκ τοῦ τάφου, ὡς ἐκ παστάδος προελθὼν, ἵνα σώσῃς τὸν κόσμον κύριε δόξα σοι. *Ἕτερα Ἀνατολικά. Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις.*

Ὅτε προσηλώθης τῷ ξύλῳ τοῦ σταυροῦ, τότε ἐνεκρώθη τὸ κράτος τοῦ ἐχθροῦ, ἡ κτίσις ἐσαλεύθη τῷ φόβῳ σου, καὶ ὁ ᾅδης ἐσκυλεύθη τῷ κράτει σου, τοὺς νεκροὺς ἐκ τῶν τάφων ἀνέστησας, καὶ τῷ λῃστῇ τὸν παράδεισον ἤνοιξας, κύριε δόξα σοι.

Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος.

Ὀδυρόμεναι μετὰ σπουδῆς τὸ μνῆμά σου κατέλαβον αἱ τίμιαι γυναῖκες· εὑροῦσαι δὲ τὸν τάφον ἀνεῳγμένον καὶ μαθοῦσαι παρὰ τοῦ ἀγγέλου τὸ καινὸν καὶ παράδοξον θαῦμα, ἀπήγγειλαν τοῖς ἀποστόλοις, ὅτι ἀνέστη ὁ κύριος, δωρούμενος τῷ κόσμῳ τὸ μέγα ἔλεος. *Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ. καί.* Τὴν τῶν παθῶν θείαν μωλώπωσίν σου προσκυνοῦμεν Χριστὲ ὁ θεὸς, καὶ τὴν ἐν τῇ Σιὼν δεσποτικὴν ἱερουργίαν, τὴν ἐντέλει τῶν αἰώνων θεο-

αἵματι, εὐλογεῖται ῥαντισθεῖσα καὶ στερεωθεῖσα βοᾷ. ὁ τῶν πατέρων καὶ ἡμῶν θεὸς εὐλογητὸς εἶ. Θρηνείτω Ἰουδαίων, ὁ ἀντίθεος λαὸς τὸ τόλμημα, τῆς ἀναιρέσεως Χριστοῦ. τὰ δὲ ἔθνη εὐφραινέσθωσαν, καὶ κροτείτωσαν τὰς χεῖρας καὶ βοάτωσαν. ὁ τῶν πατέρων καὶ ἡμῶν θεὸς εὐλογητὸς εἶ. Ἰδοὺ ταῖς μυροφόροις, ἐξαστράπτων ἐβόα ἄγγελος, τῆς ἀναστάσεως Χριστοῦ, δεῦτε ἴδετε τὰ σύμβολα, τὰς σινδόνας, καὶ τὸν τάφον, καὶ βοήσατε. ὁ τῶν πατέρων καὶ ἡμῶν θεὸς εὐλογητὸς εἶ.

ᾠδὴ η. ὁ εἱρμός. Ἐν καμίνῳ παῖδες Ἰσραήλ, ὡς ἐν χωνευτηρίῳ τῷ κάλλει τῆς εὐσεβείας καθαρώτερον χρυσοῦ, ἀπέστιλβον λέγοντες. εὐλογεῖτε πάντα τὰ ἔργα κυρίου τὸν κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ὁ βουλήσει ἅπαντα ποιῶν, ὁ καὶ μετασκευάζων, ἐκτρέπων σκιὰν θανάτου, εἰς αἰώνιον ζωήν. τῷ πάθει σου λόγε θεοῦ, σὲ ἀπαύστως πάντα τὰ ἔργα κυρίου τὸν κύριον ὑμνοῦμεν καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας. Σὺ καθεῖλες συντρίμματα Χριστέ, καὶ τὴν ταλαιπωρίαν, ἐν πύλαις, καὶ ὀχυρώμασι τοῦ ᾅδου, ἀναστὰς ἐκ τάφου σήμερον, σὲ ἀπαύστως πάντα τὰ ἔργα κυρίου τὸν κύριον ὑμνοῦσι, καὶ ὑπερυψοῦσιν εἰς πάντας τοὺς αἰῶνας. Θ. Τὴν ἀσπόρως καὶ ὑπερφυῶς, ἐξ ἀστραπῆς τῆς θείας, τεκοῦσαν τὸν μαργαρίτην τὸν πολύτιμον Χριστόν, ὑμνήσωμεν λέγοντες. εὐλογεῖτε πάντα τὰ ἔργα κυρίου, τὸν κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας. ἄλλος.

Θαύματος ὑπερφυοῦς ἡ δροσοβόλος.

Δεῦτε λαοὶ προσκυνήσωμεν, τὸν τόπον, ἐν ᾧ ἔστησαν ἄχραντοι πόδες, καὶ ἐν ξύλῳ θεῖαι Χριστοῦ παλάμαι ζωοποιαὶ ἐξετάθησαν, εἰς πάντων σωτηρίαν βροτῶν, καὶ τάφον ζωῆς κυκλοῦντες ψάλλομεν. εὐλογείτω ἡ κτίσις πᾶσα τὸν κύριον, καὶ ὑπερυψούτω εἰς πάντας τοὺς αἰῶνας. Ἠλέγχεται τῶν θεοκτόνων Ἰουδαίων ἡ παράνομος συκοφαντία, ὃν γὰρ πλάνον ἔφησαν, ἐξηγέρθη ὡς δυνατός, μυκτηρίσας τῶν ἀνόμων τὰ σφραγίσματα, διὸ γεγηθότες ἀναμέλψωμεν. εὐλογείτω ἡ κτίσις πᾶσα τὸν κύριον, καὶ ὑπερυψούτω εἰς πάντας τοὺς αἰῶνας. Τρισὶν ἐν ἁγιασμοῖς θεολογοῦντες, καὶ μιᾶς κυριότητος δόξαν, σεραφὶμ τὰ ἄχραντα, μετὰ δέους δουλοπρεπῶς τρισυπόστατον δοξάζουσι θεότητα. μεθ᾽ ὧν καὶ ἡμεῖς εὐσεβοῦντες ἀναμέλψωμεν. εὐλογείτω ἡ κτίσις πᾶσα τὸν κύριον καὶ ὑπερυψούτω εἰς πάντας τοὺς αἰῶνας. ᾠδὴ θ΄. στίχος. Μεγάλυνον θεοτόκε τὰ ἐλέη σου ἐπὶ πάντας ἡμᾶς.

Ὁ εἱρμός. Τύπον τῆς ἁγνῆς λοχείας σου, πυρπολουμένη βάτος ἔδειξεν ἄφλεκτος, καὶ νῦν καθ᾽ ἡμῶν τῶν πειρασμῶν ἀγριαίνουσαν, κατασβέσαι αἰτοῦμεν τὴν κάμινον, ἵνα σὲ θεοτόκε ἀκαταπαύστως μεγαλύνωμεν.

Ὢ πῶς ὁ λαὸς ὁ ἄνομος, ὁ ἀσεβὴς καὶ πονηρὸς βουλευσάμε-

προπάτορες τὴν Ἐδὲμ ὑπολαβόντες διὰ σοῦ, ἣν ἐκ παραβάσεως ἀπώλεσαν. σὺ γὰρ ἁγνὴ καὶ πρὸ τοῦ τόκου, καὶ μετὰ γέννησιν. ἄλλος.

Σπλάγχνων Ἰωνᾶ.

Νοῦς ὢν ἀπαθὴς, καὶ ἄϋλος μίγνυται, Χριστὸς ὁ Θεὸς τῷ ἀνθρωπίνῳ νοΐ μεσιτεύοντι, θείᾳ φύσει, σαρκός τε ταχύτητι, καὶ ὅλον μοι ἀτρέπτως ὅλως ἥνωται, ἵνα σωτηρίαν ὅλῳ μοι τῷ πεσόντι ὀρέξῃ σταυρούμενος. Πτέρνῃ πτερνισθεὶς Ἀδὰμ, καὶ συντρίβεται, ἐλπίδι ψευσθεὶς πάλαι θεώσεως, ἀλλ' ἀνίσταται τῇ ἑνώσει τοῦ λόγου θεούμενος, καὶ πάθει τὴν ἀπάθειαν κομίζεται, θρόνῳ ὡς υἱὸς δοξάζεται, συνεδριάζων πατρί τε καὶ πνεύματι. Κόλπων οὐκ ἐκστὰς ἀνάρχου γεννήτορος, ἐν κόλποις ἁγνῆς κόρης αὐλίζεται, καὶ καθίσταται ὁ ἀμήτωρ ἀπάτωρ σαρκούμενος, ὁ τῆς δικαιοσύνης βασιλεύων Χριστὸς, τοῦτο ἀγενεαλόγητος ἡ φρικτὴ γενεὰ, καὶ ἀπόρρητος.

Κοντάκιον. ἀναστάσιμον. ἦχος α΄.

Ἐξανέστης ὡς Θεὸς ἐκ τοῦ τάφου ἐνδόξῃ, καὶ κόσμον συνανέστησας, καὶ ἡ φύσις τῶν βροτῶν ὡς Θεόν σε ἀνύμνησε, καὶ θάνατος ἠφάνισται, καὶ ὁ Ἀδὰμ χορεύει δέσποτα, καὶ ἡ Εὔα νῦν ἐκ τῶν δεσμῶν λυτρουμένη χαίρει κράζουσα. σὺ εἶ ὁ πᾶσι παρέχων Χριστὲ τὴν ἀνάστασιν. ὁ οἶκος. Τὸν ἀναστάντα σήμερον, ἀνυμνήσωμεν ὡς Θεὸν παντοδύναμον, καὶ πύλας ᾅδου συντρίψαντα, καὶ τοὺς ἀπ' αἰῶνος, ἐκ τάφου ἐγείραντα, μυροφόροις ὀφθέντα καθὼς ηὐδόκησε. πρώταις ταύταις τὸ χαῖρε φήσας, καὶ ἀποστόλοις χαρὰν μηνύων, ὡς μόνος ζωοδότης. ὅθεν πίστει αἱ γυναῖκες μαθηταῖς σύμβολα νίκης διαγγελίζονται, καὶ ᾅδης στενάζει, καὶ θάνατος ὀδύρεται, καὶ κόσμος ἀγάλλεται, καὶ πάντες συγχαίρουσι. Χριστὲ τὴν ἀνάστασιν.

ᾠδὴ ζ΄. ὁ εἱρμός.

Σε νοητὴν θεοτόκε κάμινον καταινοῦμεν οἱ πιστοὶ, ὡς γὰρ παῖδας ἔσωσε τρεῖς. ὁ ὑπερυψούμενος. ὅλον με τὸν ἄνθρωπον, ἐν τῇ γαστρί σου ἀνέπλασεν. ὁ αἰνετὸς τῶν πατέρων Θεὸς καὶ ὑπερένδοξος.

Ἔφριξε γῆ, ἀπεστράφη ἥλιος, καὶ συνεσκότασε τὸ φῶς, διεῤῥάγη τὸ τοῦ ναοῦ θεῖον καταπέτασμα. πέτραι δὲ ἐσχίσθησαν, ἐπὶ σταυροῦ γὰρ ἦρται ὁ δίκαιος. ὁ αἰνετὸς τῶν πατέρων Θεὸς καὶ ὑπερένδοξος. Σὺ γεγονὼς, ὡσεὶ ἀβοήθητος, καὶ τραυματίας ἐν νεκροῖς, ἑκουσίως τὸ καθ' ἡμᾶς, ὁ ὑπερυψούμενος, πάντας ἠλευθέρωσας, καὶ κραταιᾷ χειρὶ συνανέστησας, ὁ αἰνετὸς τῶν πατέρων Θεὸς καὶ ὑπερένδοξος. Θ. Χαῖρε πηγὴ, ἀειζώου νάματος, χαῖρε παράδεισε τρυφῆς, χαῖρε τεῖχος τῶν πιστῶν, χαῖρε ἀπειρόγαμε, χαῖρε ἡ παγκόσμιος χαρὰ, δι' ἧς ἡμῖν ἐξανέτειλεν, ὁ αἰνετὸς τῶν πατέρων Θεὸς καὶ ὑπερένδοξος. ἄλλος.

ὁ εἱρμός. Οἱ παῖδες εὐσεβείᾳ.

Πάλαι μὲν κατηράθη, τῷ τοῦ Ἄβελ φοινιχθεῖσα αἵματι, ἀδελφοκτόνῳ γῆ χειρί. θεοῤῥύτῳ δέ σου αἵματι.

βροτοὺς τῷ αἵματι σαρκός, τὴν στολὴν πεφοινιγμένος, ᾧ μελῳδοῦμεν πιστοί. δόξα τῇ δυνάμει σου κύριε. Χριστὸς τῶν μελλόντων ἀγαθῶν φανεὶς ἀρχιερεὺς ἡμῶν. τὴν ἁμαρτίαν διεσκέδασε, καὶ δείξας ξένην ὁδόν, τῷ ἰδίῳ αἵματι, εἰς κρείττονα καὶ τελεωτέραν εἰσέδραμε δὲ σκηνήν, πρόδρομος ἡμῶν εἰς τὰ ἅγια. Θ΄. Τῆς Εὔας τὴν πάλαι ὀφειλὴν ἀπήτησας πανύμνητε, τῷ δι᾽ ἡμᾶς φανέντι νέῳ Ἀδάμ, ἑνώσας γὰρ ἑαυτὸν ἐξ ἁγνῆς συλλήψεως, σάρκα νοερὰν ἐμψυχωμένην, ἐκ σοῦ προῆλθε Χριστός, εἰς τὸ συναμφότερον κύριος.

ᾠδὴ ε΄. ὁ εἱρμός.

Ὁ φωτίσας τῇ ἐλλάμψει τῆς σῆς παρουσίας Χριστέ, καὶ φαιδρύνας τῷ σταυρῷ σου τοῦ κόσμου τὰ πέρατα, τὰς καρδίας φώτισον φωτὶ τῆς σῆς θεογνωσίας τῶν ὀρθοδόξως ὑμνούντων σε.

Τὸν ποιμένα τῶν προβάτων τὸν μέγαν καὶ κύριον, Ἰουδαῖοι διὰ ξύλου σταυροῦ ἐθανάτωσαν, ἀλλ᾽ αὐτὸς ὡς πρόβατα νεκροὺς ἐν ᾅδῃ τεθαμμένους, κράτους θανάτου ἐρρύσατο. Τῷ σταυρῷ σου τὴν εἰρήνην εὐαγγελισάμενος, καὶ κηρύξας αἰχμαλώτοις σωτήρ μου τὴν ἄφεσιν, τὸν κρατοῦντα ᾔσχυνας Χριστὲ γυμνὸν ἠπορημένον, δείξας τῇ θείᾳ ἐγέρσει σου. Θ. Τὰς αἰτήσεις τῶν πιστῶν αἰτουμένων πανύμνητε, μὴ παρίδῃς, ἀλλὰ δέχου καὶ ταύτας προσάγαγε, τῷ ἐκ σοῦ ἀχράντως θεῷ τῷ μόνῳ εὐεργέτῃ. σὲ γὰρ προστάτιν κεκτήμεθα. ἄλλος.

Θεὸς ὢν ἐν λύπης [illegible]

Ὢ πλοῦτος καὶ βάθος σοφίας θεοῦ, τοὺς σοφοὺς ὁ δρασσόμενος κύριος, τῆς τούτων πανουργίας ἐλυτρώσατο ἡμᾶς, παθὼν γὰρ ἑκουσίως σαρκὸς ἐξ ἀσθενείας, ἐξ ἰδίας ἰσχύος, ζωοποιὸς νεκρὸς ἐγήγερται. Θεὸς ὢν ἑνοῦται σαρκὶ δι᾽ ἡμᾶς, καὶ σταυροῦται καὶ θνήσκει, καὶ θάπτεται, καὶ αὖθις ἐξανίσταται, καὶ ἄνεισι φαιδρῶς, σαρκὶ σὺν τῇ ἰδίᾳ, Χριστὸς πρὸς τὸν πατέρα. μεθ᾽ ἧς ἥξει καὶ σώσει τοὺς εὐσεβῶς αὐτῷ λατρεύοντας. Θ΄. Ἁγίων ἁγία παρθένε ἁγνή, τῶν ἁγίων τὸν ἅγιον τέτοκας, τὸν πάντας ἁγιάζοντα Χριστὸν τὸν λυτρωτήν. διό σε βασιλίδα καὶ δέσποιναν ἁπάντων, ὡς μητέρα τοῦ κτίστου τῶν ποιημάτων καταγγέλλομεν.

ᾠδὴ ς΄. ὁ εἱρμός.

Ἐκύκλωσεν ἡμᾶς ἐσχάτη ἄβυσσος. οὐκ ἔστιν ὁ ῥυόμενος, ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς. σῶσον τὸν λαόν σου ὁ θεὸς ἡμῶν. σὺ γὰρ ἰσχὺς τῶν ἀσθενούντων, καὶ ἐπανόρθωσις.

Τῷ πταίσματι τοῦ πρωτοπλάστου κύριε, δεινῶς ἐτραυματίσθημεν, τῷ δὲ μώλωπι ἰάθημεν τῷ σῷ, ᾧ ὑπὲρ ἡμῶν ἐτραυματίσθης Χριστέ. σὺ γὰρ ἰσχὺς τῶν ἀσθενούντων καὶ ἐπανόρθωσις. Ἀνήγαγες ἡμᾶς ἐξ ᾅδου κύριε. τὸ κῆτος χειρωσάμενος, τὸ παμφάγον παντοδυνάμῳ τῷ σῷ κράτει, καθελὼν αὐτοῦ τὴν δύναμιν. σὺ γὰρ ζωή, καὶ φῶς ὑπάρχεις καὶ ἡ ἀνάστασις. Θ. Εὐφραίνονται, ἐν σοὶ παρθένε ἄχραντε, τοῦ γένους οἱ

προ-

δόξασαι. θ': Ε'ν γαστρὶ συνέλαβες, Χριστὸν ἐν παρθενίᾳ ἣ τέτοκας, ἐκ σοῦ σαρκωθέντα παναγνε, ἵνα τῇ ὑποστάσει μονογενῆ ἐν δυσὶν οὐσίαις, γνωριζόμενον υἱόν. ὅτι δεδόξασαι.

ᾠδὴ γ'. ὁ εἱρμός. Ο μόνος. εἰδὼς τὴν τῶν βροτῶν οὐσίας τὴν ἀσθένειαν, καὶ συμπαθῶς αὐτὴν μορφωσάμενος, περίζωσόν με ἐξ ὕψους δύναμιν, τοῦ βοᾷν σοι ἅγιος, ὁ ναὸς ὁ ἔμψυχος, τῆς ἀφράστου σου δόξης φιλάνθρωπε.

Θ Εός μου ὑπάρχων ἀγαθὲ πεσόντα κατῳκτείρησας, καὶ καταβῆναι πρός με διέγνωσας, ἀνύψωσάς με διὰ σταυρώσεως, τοῦ βοᾷν σοι ἅγιος, ὁ τῆς δόξης κύριος, ὁ ἀνείκαστος ἐν ἀγαθότητι. Ζ ωὴ ἐνυπόστατος Χριστὲ, ὑπάρχων, καὶ φθαρέντα με, ὡς συμπαθὴς θεὸς ἐνδυσάμενος, εἰς χοῦν θανάτου καταβὰς δέσποτα, τὸ θνητὸν διέρρηξας, καὶ νεκροὺς τριήμερος ἀναστὰς, ἀφθαρσίαν ἠμφίασας. θ'. Θ ρόνον συλλαβοῦσα ἐν γαστρὶ, παρθένε διὰ πνεύματος τοῦ παναγίου, ἔμεινας ἄφλεκτος, ἡ βάτος πρὸ νομοθέτη Μωσεῖ φλεγομένην ἄκουσα, σαφῶς προεμήνυσε, τὴν τὸ πῦρ δεξαμένην τὸ ἄστεκτον. ἄλλος. Τῷ πρὸ τῶν αἰώνων ἐκ πατρὸς γεννηθέντι ἀρρεύστως.

Τ Ω ἐπὶ τῶν ὤμων, τὸ πλανώμενον πρόβατον ἄραντι. καὶ καθελόντι διὰ ξύλου τὴν αὐτοῦ ἁμαρτίαν, Χριστῷ τῷ θεῷ βοήσωμεν, ὁ ἀνυψώσας τὸ κέρας ἡμῶν ἅγιος εἶ κύριε. Τ ῷ ἀναγαγόντι ἐκ τῶν ποιμένα τὸν μέγαν ἐξ ᾅδου Χριστὸν, καὶ τῇ αὐτοῦ ἱεραρχίᾳ, διὰ τῶν ἀποστόλων τὰ ἔθνη ποιμάναντι, ἐν ἀληθείᾳ. καὶ θείῳ πιστοὶ πνεύματι λατρεύσωμεν. θ. Τ ῷ ἐκ τῆς παρθένου, σαρκωθέντι ἀσπόρως βουλήσει υἱῷ, καὶ τὴν τεκοῦσαν μετὰ τόκον θεϊκῇ δυναστείᾳ, ἁγνὴν παρθένον φυλάξαντι, τῷ ἐπὶ πάντων βοῶμεν θεῷ ἅγιος εἶ κύριε. καθίσμα τὸ ἀγιον.

ᾠδὴ δ'. ὁ εἱρμός.

Ορος σὲ τῇ χάριτι τῇ θείᾳ κατάσκιον, προβλεπτικοῖς ὁ Ἀμβακοὺμ κατανοήσας ὀφθαλμοῖς, ἐκ σοῦ ἐξελεύσεσθαι, τοῦ Ἰσραὴλ προανεφώνει τὸν ἅγιον, εἰς σωτηρίαν ἡμῶν καὶ ἀνάπλασιν.

Τ Ις οὗτος σωτὴρ ὁ ἐξ Ἐδὼμ ἀφικόμενος, στεφηφορῶν ἐξ ἀκανθῶν, πεφοινιγμένος τὴν στολὴν, ἐν ξύλῳ κρεμάμενος, τοῦ Ἰσραὴλ ὑπάρχει, οὗτος ὁ ἅγιος, εἰς σωτηρίαν ἡμῶν καὶ ἀνάπλασιν. Ι δετε λαὸς τῶν ἀπειθῶν καὶ αἰσχύνθητε, ὃν ὡς κακοῦργον γὰρ ὑμεῖς, ἀναρτηθῆναι ἐν σταυρῷ Πιλάτῳ ᾐτήσασθε, φρενοβλαβῶς θανάτου λύσας τὴν δύναμιν, θεοπρεπῶς ἐξανέστη τοῦ μνήματος. θ'. Ξ ύλον σὲ παρθένε τῆς ζωῆς ἐπιστάμεθα, οὐ γὰρ τῆς βρώσεως καρπὸς θανατηφόρος τοῖς βροτοῖς, ἐκ σοῦ ἐνεβλάστησεν, ἀλλὰ ζωῆς τῆς ἀϊδίου ἀπόλαυσις, εἰς σωτηρίαν ἡμῶν τῶν ὑμνούντων σε.

ἄλλος. Ῥάβδος ἐκ τῆς.

Τ ίς οὗτος ὡραῖος ἐξ Ἐδὼμ, καὶ τούτου τὸ ἐρύθημα, τῶν ἱματίων ἐξ ἀμπέλου βοσόρ. ὡραῖος ὅτι θεός, ὡς

ϛίχος. Πρὸς τοῖς ὀφθαλμοῖς...

Δεξιᾷ σὺ χειρὶ λαβών με λόγε, φύλαξόν με, φρούρησον, μὴ πῦρ με φλέξῃ τῆς ἁμαρτίας. ϛίχος. Κύριος φυλάξει σε κύριος σκέπη σου ἐπὶ χεῖρα.

Ἁγίῳ πνεύματι πᾶσα ἡ κτίσις καινουργεῖται, πάλιν δρομοῦσα εἰς τὸ πρῶτον, ἰσοσθενὲς γάρ ἐστι πατρὶ καὶ λόγῳ. Δόξα. Τὸ αὐτό. Ἀντίφωνον γ΄.

Ἐπὶ τοῖς εἰρηκόσι μοι, ὁδεύσωμεν εἰς αὐλὰς τοῦ κυρίου. ηὐφράνθη μου τὸ πνεῦμα, συγχαίρει ἡ καρδία. ϛίχος. Εὐφράνθην.

Ἐπὶ τὸν οἶκον Δαβὶδ φόβος μέγας, ἐκεῖ γὰρ θρόνων ἐκτεθέντων κριθήσονται ἅπασαι αἱ φυλαὶ τῆς γῆς καὶ γλῶσσαι. ϛίχος. Ὅτι ἐκεῖ ἐκάθισαν θρόνοι εἰς κρίσιν θρόνοι.

Ἁγίῳ πνεύματι, τιμήν, προσκύνησιν, δόξαν, καὶ κράτος, ὡς πατρί τε ἄξιον, καὶ τῷ υἱῷ δεῖ προσφέρειν. μονὰς γάρ ἐστιν ἡ τριὰς τῇ φύσει, ἀλλ' οὐ προσώποις. Δόξα. Τὸ αὐτό. Προκείμενον. ἦχος α΄.

Νῦν ἀναστήσομαι λέγει κύριος, θήσομαι ἐν σωτηρίῳ, παῤῥησιάσομαι ἐν αὐτῷ. ϛίχος.

Σῶσόν με κύριε ὅτι ἐκλέλοιπεν ὅσιος.

Τὸ πᾶσα πνοή. τὸ ἑωθινὸν εὐαγγέλιον. Ἀνάστασιν Χριστοῦ. ὁ ν΄. Ἰδιόμελον ἦχος α΄. δόξα.

Ὁ εἰς τὸν κόσμον ἐλθών, καὶ σαρκικῶς σταυρὸν καταδεξάμενος, καὶ ταφήν, καὶ τῇ ἀναστάσει σου τὸν κόσμον σώσας κύριε δόξα σοι. Κανών.

Τὴν ἐκ νεκρῶν σου ἀνάστασιν κύριε δοξάζω, ἐλέησόν με.

Ὁ κανὼν ἀναστάσιμος. ποίημα Ἰωάννου μοναχοῦ. ἦχος α΄. ᾠδὴ α΄. ὁ εἱρμός.

Σοῦ ἡ τροπαιοῦχος δεξιά, θεοπρεπῶς ἐν ἰσχύϊ δεδόξασται, αὕτη γὰρ ἀθάνατε ἡ πανσθενὴς ὑπεναντίους ἔθραυσεν· τοῖς Ἰσραηλίταις ὁδὸν βυθοῦ καινουργήσασα. Ὁ χερσὶν ἀχράντοις ἐκ χοός, θεουργικῶς κατ' ἀρχὰς διαπλάσας με, χεῖρας διεπέτασας ἐν τῷ σταυρῷ, ἐκ τῆς γῆς ἀνακαλούμενος, τὸ φθαρέν μου σῶμα, ὃ ἐκ παρθένου προσείληφας. Νέκρωσιν ὑπέστη δι' ἐμέ, καὶ τὴν ψυχὴν τῷ θανάτῳ προσδίδωσιν, ὁ ἐν πνεύσει θείᾳ ψυχήν μοι ἐνθείς, καὶ λύσας αἰωνίων δεσμῶν, καὶ συναναστήσας, τῇ ἀφθαρσίᾳ ἐδόξασε. Θ΄.

Χαῖρε ἡ τῆς χάριτος πηγή, χαῖρε ἡ κλίμαξ καὶ πύλη οὐράνιος, χαῖρε ἡ λυχνία, καὶ στάμνος χρυσῆ, καὶ ὄρος ἀλατόμητον, ἡ τὸν ζωοδότην Χριστὸν τῷ κόσμῳ κυήσασα.

Ἕτερος κανὼν σταυραναστάσιμος. Ποίημα Κοσμᾶ μοναχοῦ. ἦχος α΄. ᾠδὴ α΄. ὁ εἱρμός. Χριστὸς γεννᾶται δοξάσατε.

Χριστὸς θεός με σαρκούμενος, Χριστός με ἀνυψοῖ ταπεινούμενος, Χριστὸς ἀπαθῆ ἐργάζεται, πάσχων ὁ ζωοδότης, φύσει σαρκός. ὅθεν αὐτῷ μέλπω χαριστήριον ᾠδήν. ὅτι δεδόξασται. Χριστὸς ὑψοῖ με σταυρούμενος, Χριστὸς συνανιστᾷ με νεκρούμενος, Χριστός μοι ζωὴν χαρίζεται, ὅθεν ἐν εὐφροσύνῃ χεῖρας κροτῶ, ᾄδω τῷ σωτῆρι ἐπινίκιον ᾠδήν. ὅτι δεδόξασται.

λείας τῆς παρακλητικῆς φυλ. ρσέ.
Εἰς τὸν ὄρθρον τῇ κυριακῇ εἰς τὸ Θεὸς κύριος. τὸ ἀναστάσιμον ρσα. β'. ἦχος ά.

ΤΟῦ λίθου σφραγισθέντος ὑπὸ τῶν Ἰουδαίων, καὶ στρατιωτῶν φυλασσόντων τὸ ἄχραντόν σου σῶμα, ἀνέστης τριήμερος σωτὴρ, δωρούμενος τῷ κόσμῳ τὴν ζωήν, διὰ τοῦτο αἱ δυνάμεις τῶν οὐρανῶν ἐβόων σοι ζωοδότα. δόξα τῇ ἀναστάσει σου Χριστὲ, δόξα τῇ βασιλείᾳ σου. δόξα τῇ οἰκονομίᾳ σου μόνε φιλάνθρωπε.

Τοῦ Γαβριὴλ φθεγξαμένου σοι τῇ παρθένῳ τὸ χαῖρε, σὺν τῇ φωνῇ ἐσαρκοῦτο ὁ τῶν ὅλων δεσπότης, ἐν σοὶ τῇ ἁγίᾳ κιβωτῷ ὡς ἔφη ὁ δίκαιος Δαβὶδ, ἐδείχθης πλατυτέρα τῶν οὐρανῶν, βαστάσασα τὸν κτίστην σου, δόξα τῷ ἐνοικήσαντι ἐν σοὶ, δόξα τῷ προελθόντι ἐκ σοῦ, δόξα τῷ ἐλευθερώσαντι ἡμᾶς διὰ τοῦ τόκου σου.

Καὶ μετὰ τὴν συνήθη στιχολογίαν συναπτὴ μικρά. εἶτα ἡ ὑπακοή.

Η τοῦ λῃστοῦ μετάνοια τὸν παράδεισον ἐσύλησε. τὸ δὲ θρῆνος τῶν μυροφόρων τὴν χαρὰν ἐμήνυσεν, ὅτι ἀνέστη Χριστὸς ὁ θεὸς, παρέχων τῷ κόσμῳ τὸ μέγα ἔλεος.

στίχος ά. Ἀνάστηθι κύριε ὁ θεός μου, ὑψωθήτω ἡ χείρ σου, μὴ ἐπιλάθου τῶν πενήτων σου εἰς τέλος. Καθίσματα ἀναστάσιμα ἦχος ά.

ΤΟν τάφον σου σωτὴρ στρατιῶται τηροῦντες νεκροὶ τῇ ἀστραπῇ τοῦ ὀφθέντος ἀγγέλου ἐγένοντο κηρύττοντες γυναιξὶ τὴν ἀνάστασιν, σὲ δοξάζομεν τὸν τῆς φθορᾶς καθαιρέτην, σοὶ προσπίπτομεν τῷ ἀναστάντι ἐκ τάφου, καὶ μόνῳ θεῷ ἡμῶν.

στίχος β'. Αὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ κύριος, ἀγαλλιασώμεθα.

ΓΥναῖκες πρὸς τὸ μνῆμα παρεγένοντο ὄρθριαι, καὶ ἀγγελικὴν ὀπτασίαν θεασάμεναι ἔτρεμον. ὁ τάφος ἐξήστραπτε ζωὴν, τὸ θαῦμα κατέπληττεν αὐτάς. διὰ τοῦτο ἀπελθοῦσαι τοῖς μαθηταῖς ἐκήρυττον τὴν ἔγερσιν, τὸν ᾅδην ἐσκύλευσε Χριστὸς, ὡς μόνος κραταιὸς καὶ δυνατὸς, καὶ φθαρέντας συνήγειρε πάντας. τὸν τῆς κατακρίσεως φόβον λύσας δυνάμει τοῦ σταυροῦ.

Δόξα. καὶ νῦν. θεοτ.

ΜΑρία τὸ σεπτὸν τοῦ δεσπότου δοχεῖον, ἀνάστησον ἡμᾶς πεπτωκότας εἰς χάος, δεινῆς ἀπογνώσεως, καὶ πταισμάτων καὶ θλίψεων. σὺ γὰρ πέφυκας ἁμαρτωλῶν σωτηρία, καὶ βοήθεια καὶ κραταιὰ προστασία. καὶ σώζεις τοὺς δούλους σου.

Οἱ ἀναβαθμοί. Ἀντίφωνον ά. ἦχ. ά.

ΕΝ τῷ θλίβεσθαί με εἰσάκουσόν μου τῶν ὀδυρμῶν κύριε σοὶ κράζω.

στίχος ά. Πρὸς κύριον. Τοῖς ἐρημικοῖς ἀπαύστως ὁ θεῖος πόθος, ἐγγίνεται κόσμου οὖσι τοῦ ματαίου ἐκτός.

Τὰ βέλη τοῦ δυνατοῦ ἠκονημένα σὺν τοῖς ἄνθραξι. Ἁγίῳ πνεύματι, τιμὴ, καὶ δόξα, ὥσπερ πατρὶ πρέπει ἅμα υἱῷ, διὰ τοῦτο ᾄσωμεν τῇ τριάδι μονοκρατορίᾳ.

Δόξα. τὸ αὐτό. Ἀντίφωνον β'.

Εἰς τὰ ὄρη τῶν σῶν ὑψώσας με νόμων, ἀρεταῖς ἐκλάμπρυνον ὁ θεὸς ἵνα ὑμνῶ σε.

καὶ θάνατον ἀναμάρτητε, ἵνα τῷ κόσμῳ δωρήσῃ τὴν ἀνάστασιν ὡς φιλάνθρωπος. Τὸν τῷ πατρὶ συνάναρχον, καὶ συναΐδιον λόγον, τὸν ἐκ παρθενικῆς νηδύος προελθόντα ἀφράστως, καὶ σταυρὸν καὶ θάνατον δι' ἡμᾶς ἑκουσίως καταδεξάμενον, καὶ ἀναστάντα ἐνδόξῳ ὑμνήσωμεν λέγοντες. ζωοδότα κύριε δόξα σοι. ὁ σωτὴρ τῶν ψυχῶν ἡμῶν.

Δόξα καὶ νῦν θεοτοκίον.

Τὴν παγκόσμιον δόξαν. τὴν ἐξ ἀνθρώπων σπαρεῖσαν, καὶ τὸν δεσπότην τεκοῦσαν, τὴν ἐπουράνιον πύλην ὑμνήσωμεν Μαρίαν τὴν παρθένον, τῶν ἀσωμάτων τὸ ᾆσμα, καὶ τῶν πιστῶν τὸ ἐγκαλλώπισμα. αὕτη γὰρ ἀνεδείχθη οὐρανὸς καὶ ναὸς τῆς θεότητος, αὕτη τὸ μεσότοιχον τῆς ἔχθρας καθελοῦσα, εἰρήνην ἀντεισῆξε, καὶ τὸ βασίλειον ἠνέῳξε, ταύτην οὖν κατέχοντες τῆς πίστεως τὴν ἄγκυραν, ὑπέρμαχον ἔχομεν τὸν ἐξ αὐτῆς τεχθέντα κύριον. θαρσείτω τοίνυν, θαρσείτω λαὸς τοῦ θεοῦ, καὶ γὰρ αὐτὸς πολεμήσει τοὺς ἐχθροὺς ὡς παντοδύναμος. Εἰς τὸν στίχον στιχηρὰ τοῦ στίχου ἦχος ά. Τῷ πάθει σου Χριστὲ παθῶν ἠλευθερώθημεν, καὶ τῇ ἀναστάσει σου ἐκ φθορᾶς ἐλυτρώθημεν. κύριε δόξα σοι. Στίχ. Ὁ κύριος ἐβασίλευσεν εὐπρέπειαν. στιχηρὰ κατ' ἀλφάβητον. Ἀγαλλιάσθω ἡ κτίσις, οὐρανοὶ εὐφραινέσθωσαν, χεῖρας κροτείτω τὰ ἔθνη μετ' εὐφροσύνης. Χριστὸς γὰρ ὁ σωτὴρ ἡμῶν τῷ σταυρῷ προσήλωσε τὰς ἁμαρτίας ἡμῶν, καὶ τὸν θάνατον νεκρώσας ζωὴν ἡμῖν ἐδωρήσατο, πεπτωκότα τὸν Ἀδὰμ παγγενῆ ἀναστήσας, ὡς φιλάνθρωπος. Στίχ. Καὶ γὰρ ἐστερέωσε τὴν οἰκουμένην.

Βασιλεὺς ὑπάρχων οὐρανοῦ καὶ γῆς ἀκατάληπτε. ἑκὼν ἐσταύρωσαι διὰ φιλανθρωπίαν, ᾧ ὁ ᾅδης συναντήσας κάτωθεν ἐπικράνθη, καὶ δικαίων ψυχαὶ δεξάμεναι ἠγαλλιάσαντο. Ἀδὰμ δὲ ἰδών σε τὸν κτίστην ἐν τοῖς καταχθονίοις ἀνέστη, ὢ τοῦ θαύματος, πῶς θανάτου ἐγεύσατο, ἡ τῶν ἁπάντων ζωή, ἀλλ' ἢ ὡς ἠβουλήθη κόσμον φωτίσαι κραυγάζοντα καὶ λέγοντα. ὁ ἀναστὰς ἐκ τῶν νεκρῶν κύριε δόξα σοι. Τῷ οἴκῳ σου πρέπει. Γυναῖκες μυροφόροι, μύρα φέρουσαι, μετὰ σπουδῆς καὶ ὀδυρμοῦ τὸν τάφον κατέλαβον, καὶ μὴ εὑροῦσαι τὸ ἄχραντον σῶμά σου. παρὰ δὲ τοῦ ἀγγέλου μαθοῦσαι τὸ καινὸν καὶ παράδοξον θαῦμα, τοῖς ἀποστόλοις ἔλεγον ἀνέστη ὁ κύριος παρέχων τῷ κόσμῳ τὸ μέγα ἔλεος. Δόξα καὶ νῦν θ. Ἰδοὺ πεπλήρωται ἡ τοῦ Ἡσαΐου πρόρρησις, παρθένος γὰρ ἐγέννησας, καὶ μετὰ τόκον ὡς πρὸ τόκου διέμεινας, θεὸς γὰρ ἦν ὁ τεχθείς, διὸ καὶ φύσεις ἐκαινοτόμησεν, ἀλλ' ὦ θεομῆτορ ἱκεσίας σῶν δούλων, σῷ τεμένει προσφερομένας σοι, μὴ παρίδῃς, ἀλλ' ὡς τὸν εὔσπλαγχνον σαῖς ἀγκάλαις φέρουσα, σοῖς ἱκέταις σπλαγχνίσθητι, καὶ πρέσβευε σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Τὸ ἀπολυτίκιον θεοτόκε παρθένε. γ΄. εἰς τὸ ἀπόδειπνον κανὼν τῆς θεοτόκου. ζήτει εἰς τὸ τέλος τῆς ἀκολουθίας.



ΑΚΟΛΟΥΘΙΑ ΤΗΣ
ΑΝΑΣΤΑΣΙΜΟΥ
Η΄. ΗΧΟΥ.
ΤΩι ΣΑΒΒΑΤΩι ΕΣΠΕΡΑΣ
ΕΙΣ ΤΟ ΚΥΡΙΕ ΕΚΕΚΡΑΞΑ.

Στιχηρὰ ἀναστάσιμα ἦχος α΄.



ΑΣ ἑσπερινὰς ἡμῶν εὐχὰς πρόσδεξαι ἅγιε κύριε, καὶ παράσχου ἡμῖν ἄφεσιν ἁμαρτιῶν. ὅτι μόνος εἶ ὁ δείξας ἐν κόσμῳ τὴν ἀνάστασιν. Κυκλώσατε λαοὶ Σιὼν, καὶ περιλάβετε αὐτὴν, καὶ δότε δόξαν ἐν αὐτῇ τῷ ἀναστάντι ἐκ νεκρῶν. ὅτι αὐτός ἐστιν ὁ θεὸς ἡμῶν, ὁ λυτρωσάμενος ἡμᾶς ἐκ τῶν ἀνομιῶν ἡμῶν. Δεῦτε λαοὶ ἀνυμνήσωμεν, καὶ προσκυνήσωμεν Χριστῷ, δοξάζοντες αὐτοῦ τὴν ἐκ νεκρῶν ἀνάστασιν. ὅτι αὐτός ἐστιν ὁ θεὸς ἡμῶν, ὁ ἐκ τῆς πλάνης τοῦ ἐχθροῦ τὸν κόσμον λυτρωσάμενος.

Ἕτερα στιχηρὰ ἀνατολικὰ ἦχος α΄.

Εὐφράνθητε οὐρανοὶ, σαλπίσατε τὰ θεμέλια τῆς γῆς, βοήσατε τὰ ὄρη εὐφροσύνην. Ἰδοὺ γὰρ ὁ Ἐμμανουὴλ, τὰς ἁμαρτίας ἡμῶν τῷ σταυρῷ προσήλωσε, καὶ ζωὴν ὁ διδοὺς θάνατον ἐνέκρωσε, τὸν Ἀδὰμ ἀναστήσας, ὡς φιλάνθρωπος. Τὸν σαρκὶ ἑκουσίως σταυρωθέντα δι' ἡμᾶς, παθόντα, καὶ ταφέντα, καὶ ἀναστάντα ἐκ νεκρῶν, ὑμνήσωμεν λέγοντες. στήριξον ὀρθοδοξίᾳ τὴν ἐκκλησίαν σου Χριστὲ, καὶ εἰρήνευσον τὴν ζωὴν ἡμῶν, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος. Τῷ ζωοδόχῳ σου τάφῳ παρεστῶτες οἱ ἀνάξιοι, δοξολογίαν προσφέρομεν τῇ ἀφάτῳ σου εὐσπλαγχνίᾳ Χριστὲ ὁ θεὸς ἡμῶν, ὅτι σταυρὸν κατεδέξω,

εὕρωσάν με ἀγνή, καὶ συμφοραὶ τοῦ βίου, καὶ πειρασμοί με πάντοθεν ἐκύκλωσαν. ἀλλὰ προφθάσασα σύ μοι, καὶ ἀντιλαβοῦ με τῇ κραταιᾷ σου σκέπῃ. Ἐν ταῖς ζάλαις εὕρηκα σὲ λιμένα, ἐν ταῖς λύπαις χαρὰν καὶ εὐφροσύνην, καὶ ἐν ταῖς νόσοις ταχεῖαν βοήθειαν, καὶ ἐν τοῖς κινδύνοις ῥύστιν καὶ προστάτιν ἐν τοῖς πειρατηρίοις. Χαῖρε θρόνε πυρίμορφε κυρίου, χαῖρε θεία καὶ μανναδόχε στάμνε, χαῖρε χρυσῆ λυχνία, λαμπὰς ἄσβεστε, χαῖρε τῶν παρθένων, δόξα καὶ μητέρων, ὡράϊσμα καὶ κλέος. καὶ πάλιν.

Διάσωσον ἀπὸ κινδύνων. Ἐπίβλεψον ἐν εὐμε.

ᾠδὴ θ΄. ὁ εἱρμός. Ἐξέστη ἐπὶ τούτῳ ὁ οὐρανός.

Πρὸς τίνα καταφύγω ἄλλην ἁγνή; ποῦ προσδράμω λοιπὸν καὶ σωθήσωμαι; ποῦ πορευθῶ; ποίαν δὲ εὕρω καταφυγήν; ποίαν θερμὴν ἀντίληψιν; ποίαν ἐν ταῖς θλίψεσι βοηθόν; εἰς σὲ μόνην ἐλπίζω, εἰς σὲ μόνην καυχῶμαι, καὶ ἐπὶ σὲ θαρρῶν καταπέφυγα. Οὐκ ἔστιν ἀριθμῆσαι δυνατὸν, μεγαλεῖα τὰ σὰ θεονύμφευτε, καὶ τὸν βυθὸν, τὸν ἀνεξερεύνητον ἐξειπεῖν, τῶν ὑπὲρ νοῦν θαυμάτων σου, τῶν τετελεσμένων διηνεκῶς τοῖς πόθῳ σε τιμῶσι, καὶ πίστει προσκυνοῦσιν, ὡς ἀγαθὴν θεοῦ λοχεύτριαν. Ἐν ὕμνοις εὐχαρίστως δοξολογῶ καὶ γεραίρω τὸ ἄμετρον ἔλεος, καὶ τὴν πολλὴν δύναμίν σου πᾶσιν ὁμολογῶ, καὶ τὰς εὐεργεσίας σου, ἃς ὑπερεχέασας εἰς ἐμὲ, κηρύττω μεγαλύνω, ψυχῇ τε καὶ καρδίᾳ, καὶ λογισμῷ καὶ γλώσσῃ πάντοτε. Τὴν δέησίν μου δέξαι τὴν ταπεινὴν, καὶ κλαυθμὸν μὴ παρίδῃς καὶ δάκρυα, καὶ στεναγμὸν, ἀλλ᾽ ἀντιλαβοῦ μου ὡς ἀγαθὴ, καὶ τὰς αἰτήσεις πλήρωσον, δύνασαι γὰρ πάντα ὡς πανσθενοῦς δεσπότου, θεοῦ μήτηρ, εἰ νεύσῃς ἐπιμόνως πρὸς τὴν ἐμὴν οἰκτρὰν ταπείνωσιν. καὶ πάλιν.

Διάσωσον ἀπὸ κινδύνων τοὺς δούλους σου.

Ἐπίβλεψον ἐν εὐμενείᾳ πανύμνητε θεοτόκε.

Τέλος τῆς Ἀκολουθίας τῆς ὅλης ἑβδομάδος ψαλλομένης ἀπὸ τῆς παρακλητικῆς.



ρον προσάξω, τῆς δὲ χαριστίας, αὐθ' ὧνπερ ἀπήλαυσα, τῶν σῶν δωρημάτων, καὶ τῆς σῆς ἀμετρήτου χρηστότητος. Τοιγαροῦν δοξάζω, ὑμνολογῶ καὶ μεγαλύνω, σοῦ τὴν ἄφατον πρὸς με συμπάθειαν. Μαρία Θεοτόκε ἀπὸ πάσης θλίψεως, καὶ περιστάσεως, καὶ δολίας γλώσσης, καὶ ἀνθρώπων ἀδίκων παναμώμε, νόσων καὶ κινδύνων, καὶ ἀπὸ τῶν ψευδομαρτύρων, ταῖς πρεσβείαις σου ῥῦσαι με δέσποινα.

Διάσωσον ἀπὸ κινδύνων τοὺς δούλους σου. Ἐπίβλεψον ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε. ᾠδὴ ς΄. ὁ εἱρμός. Τὴν δέησιν ἐκχεῶ πρὸς Κύριον.

Τὰ νέφη τῶν λυπηρῶν ἐκάλυψαν τὴν ἀθλίαν μου ψυχὴν, καὶ καρδίαν, καὶ σκοτασμὸν ἐμποιοῦσι μοι κόρη, ἀλλ' ἡ γεννήσασα φῶς τὸ ἀπρόσιτον, ἀπέλασον ταῦτα μακρὰν, τῇ ἐμπνεύσει τῆς θείας πρεσβείας σου. Παράκλησιν ἐν ταῖς θλίψεσιν οἶδα, καὶ τῶν νόσων ἰατρόν σε γινώσκω, καὶ παντελῆ συντριμμὸν τοῦ θανάτου, καὶ ποταμὸν τῆς ζωῆς ἀνεξάντλητον, καὶ πάντων τῶν ἐν συμφοραῖς, ταχυνὴν καὶ ὀξεῖαν ἀντίληψιν. Οὐ κρύπτω σου τὸν βυθὸν τοῦ ἐλέους, καὶ τὴν βρύσιν τῶν ἀπείρων θαυμάτων, καὶ τὴν πηγὴν τὴν ἀέναον ὄντως, τῆς πρὸς ἐμὲ συμπαθείας σου δέσποινα, ἀλλ' ἅπασιν ὁμολογῶ, καὶ βοῶ καὶ κηρύττω καὶ φθέγγομαι. Ἐκύκλωσαν αἱ τοῦ βίου με ζάλαι, ὥσπερ μέλισσαι κηρίον παρθένε, καὶ τὴν ἐμὴν κατασχοῦσαι καρδίαν, κατατιτρώσκουσι βέλη τῶν θλίψεων, ἀλλ' εὕροιμί σε βοηθὸν, καὶ διώκτην καὶ ῥύστην πανάχραντε.

Καὶ πάλιν. Διάσωσον ἀπὸ κινδύνων τοὺς δούλους. Ἐπίβλεψον ἐν εὐμενείᾳ πανύμνητε. Κοντάκιον.

Πρεσβεία θερμὴ καὶ τεῖχος ἀπροσμάχητον, ἐλέους πηγὴ, τοῦ κόσμου καταφύγιον, ἐκτενῶς βοῶμέν σοι Θεοτόκε δέσποινα πρόφθασον, καὶ ἐκ κινδύνων λύτρωσαι ἡμᾶς ἡ μόνη ταχέως προστατεύουσα.

ᾠδὴ ζ΄. ὁ εἱρμός. Παῖδες ἑβραίων ἐν καμίνῳ.

Φωτὸς ἡ τεκοῦσα Θεοτόκε σκοτισθέντα με νυκτὶ ἁμαρτημάτων, φωταγώγησον σὺ, φωτὸς οὖσα δοχεῖον, τὸ καθαρὸν καὶ ἄμωμον, ἵνα πόθῳ σε δοξάζω. Σκέπη γενοῦ καὶ προστασία, καὶ ἀντίληψις καὶ καύχημα παρθένε, γυμνωθέντι μοι νῦν ἀπάσης βοηθείας, ἀβοηθήτων δύναμις, καὶ ἐλπὶς ἀπηλπισμένων. Ὅλῃ ψυχῇ καὶ διανοίᾳ, καὶ καρδίᾳ σε, καὶ χείλεσι δοξάζω, ἀπολαύσας τῶν σῶν μεγάλων χαρισμάτων, ἀλλ' ὢ τῆς σῆς χρηστότητος, καὶ ἀπείρων σου θαυμάτων. Βλέψον ἱλέῳ ὄμματί σου, καὶ ἐπίσκεψαι τὴν κάκωσιν ἣν ἔχω, καὶ δεινῶν· καὶ συμφορῶν καὶ νόσων, καὶ κινδύνων, καὶ πειρασμῶν με λύτρωσαι ἀμετρήτῳ σου ἐλέει.

Καὶ πάλιν. Διάσωσον ἀπό. Ἐπίβλεψον ἐν εὐ. ᾠδὴ η΄. Τὸν ἐν ὄρει ἁγίῳ δοξασθέντα. καί.

Διὰ σπλάγχνα ἐλέους σου παρθένε, μὴ παρίδῃς σεμνὴ ποντούμενόν με σάλῳ, βιωτικῶν κυμάτων, ἀλλὰ δίδου μοι χεῖρα βοηθείας, καταποντουμένῳ κακώσεσι τοῦ βίου. Περιστάσεις καὶ θλίψεις καὶ ἀνάγκαι

Διάσωσον ἀπὸ κινδύνων τοὺς δούλους σου Θεοτόκε, ὅτι πάντες μετὰ Θεὸν εἰς σὲ καταφεύγομεν, ὡς ἄρρηκτον τεῖχος καὶ προστασίαν.

Ἐπίβλεψον ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

ᾠδὴ γ΄. ὁ εἱρμός. Οὐρανίας ἁψίδος.

Ἀπορρήσας ἐκ πάντων, ὀδυνηρῶς κράζω σοι· πρόφθασον θερμὴ προστασία, καὶ σὴν βοήθειαν δός μοι, τῷ δούλῳ σου τῷ ταπεινῷ καὶ ἀθλίῳ, τῷ τὴν σὴν ἀντίληψιν ἐπιζητοῦντι θερμῶς. Ἐθαυμάστωσας ὄντως, νῦν ἐπ᾽ ἐμοὶ δέσποινα τὰς εὐεργεσίας σου κόρη, καὶ τὰ ἐλέη σου, ὅθεν δοξάζω σε, καὶ ἀνυμνῶ καὶ γεραίρω, τὴν πολλὴν καὶ ἄμετρον κηδεμονίαν σου. Καταιγίς με χειμάζει, τῶν συμφορῶν δέσποινα, καὶ λυπηρῶν τρικυμιῶν καταποντίζουσιν, ἀλλὰ προφθάσασα χεῖρά μοι δὸς βοηθείας ἡ θερμὴ ἀντίληψις καὶ προστασία μου. Ἀληθῆ Θεοτόκον, ὁμολογῶ δέσποινα, σὲ τὴν τοῦ θανάτου τὸ κράτος ἐξαφανίσασαν, ὡς γὰρ φυσίζωος ἐκ τῶν δεσμῶν τῶν τοῦ ᾅδου, πρὸς ζωὴν ἀνήγαγες εἰς γῆν με ῥεύσαντα. καὶ πάλιν Διάσωσον. Ἐπίβλεψον ἐν εὐμενείᾳ.

ᾠδὴ τετάρτη. Σύ μου Χριστὲ κύριος.

Καὶ ποῦ λοιπὸν, ἄλλην εὑρήσω ἀντίληψιν, ποῦ προσφύγω, ποῦ δὲ καὶ σωθήσομαι, τίνα θερμὸν ἕξω βοηθὸν, θλίψεσι τοῦ βίου, καὶ ζάλαις οἴμοι κλονούμενος, εἰς σὲ μόνην ἐλπίζω, καὶ θαρρῶ καὶ καυχῶμαι, καὶ προστρέχω τῇ σκέπῃ σου σῶσόν με. Τὸν ποταμὸν τὸν γλυκερὸν τοῦ ἐλέους σου, τὸν πλουσίαις δωρεαῖς δροσίσαντα τὴν παναθλίαν καὶ ταπεινὴν πάναγνε ψυχήν μου, τῶν συμφορῶν καὶ τῶν θλίψεων, καμίνῳ φλογισθεῖσαν, μεγαλύνω κηρύττω, καὶ προστρέχω τῇ σκέπῃ σου σῶσόν με. Σὲ τὴν ἁγνὴν, σὲ τὴν παρθένον καὶ ἄσπιλον, μόνην φέρω τεῖχος ἀπροσμάχητον, καταφυγὴν, σκέπην κραταιὰν, ὅπλον σωτηρίας, μή με παρίδῃς τὸν ἄσωτον, ἐλπὶς ἀπηλπισμένων, ἀσθενῶν συμμαχία, θλιβομένων χαρὰ καὶ ἀντίληψις. Πῶς ἐξειπεῖν, σοῦ κατ᾽ ἀξίαν δυνήσομαι, τοῖς ἀμέτροις οἰκτιρμοῖς, ὦ δέσποινα τοῖς τὴν ἐμὴν πάντοτε ψυχὴν, δεινῶς θλιβομένην ὕδωρ περικυκλώσαντες· ἀλλ᾽ ὢ τῆς σῆς προνοίας, καὶ τῆς εὐεργεσίας, ἧς ἀφρόνως ὁ τάλας ἀπήλαυσα. Διάσωσον ἀπὸ κινδύνων. Ἐπίβλεψον ἐν εὐμενείᾳ.

ᾠδὴ ε΄. ὁ εἱρμός. Ἵνα τί με ἀπώσω ἀπὸ τοῦ προσώπου σου

Εὐχαρίστως βοῶ σοι, χαῖρε μητροπάρθενε, χαῖρε θεόνυμφε, χαῖρε θεία σκέπη, χαῖρε ὅπλον καὶ τεῖχος ἀπόρθητον, χαῖρε προστασία καὶ βοηθὲ καὶ σωτηρία, τῶν εἰς σὲ προστρεχόντων ἐκ πίστεως. Οἱ μισοῦντές με μάτην, βέλεμνα, καὶ ξίφη, καὶ λάκκον ηὐτρέπισαν, καὶ ἐπιζητοῦσι, τὸ παναθλιον σῶμα σπαράξαι μου, καὶ καταβιβάσαι πρὸς γῆν ἁγνὴ ἐπιζητοῦσιν, ἀλλ᾽ ἐκ τούτων προφθάσασα σῶσόν με. Τίνι δῶ-

ρον

ἀσθενῶς αἰνεδείχθητε, τοῖς τυράννοις ἀνδρείως ἀντικατέστητε, καὶ διαβόλου τὴν πλάνην κατηδαφίσατε· νικηταὶ γινόμενοι τῶν στεφάνων ἠξιώθητε πρεσβεύοντες ἀεὶ ὑπὲρ ἡμῶν, εἰς τὸ σωθῆναι ἡμᾶς. Δόξα καὶ νῦν. Θ. ἦχος πλαγίου δ'. Ἐγὼ παρθένε ἁγία θεοτόκε τῇ σκέπῃ σου προστρέχω. οἶδα ὅτι τεύξομαι τῆς σωτηρίας, δύνασαι γὰρ ἁγνὴ βοηθῆσαι μοι.

Καὶ μετὰ τὸ δόξα ἐν ὑψίστοις στιχηρὰ ἀναπαυσιμα. ἦχος πλαγίου δ'. Πρὸς τὸ παράδοξον θαύματος.

Βασιλικῶς μοι ὑπέγραψας, ἐλευθερίαν σαφῶς ἐρυθραῖς τοῖς δακτύλοις σου, αἱματώσας δέσποτα, καὶ φοινίξας σῷ αἵματι. διὸ σε πίστει καθικετεύομεν, τοῖς πρωτοτόκοις σου συναρίθμησον, καὶ τῶν δικαίων σου, τῆς χαρᾶς ἀξίωσον ἐπιτυχεῖν, τοὺς μεταφοιτήσαντας πρὸς σὲ τὸν εὐσυμπαθῆ.

Στίχος α'. Ὡς ἀγαπητὰ τὰ σκηνώματά σου κύριε.

Ἐπαρχήσας ὡς ἄνθρωπος, σφαγιασθεὶς ὡς ἀμνὸς, προσφορὰν προσενηνόχας τῷ πατρὶ τὸν ἄνθρωπον τῆς φθορᾶς ἐξαιρούμενος, τοὺς μεταστάντας, οὖν ὡς φιλάνθρωπος, ἐν τῇ τῶν ζώντων χώρᾳ κατάταξον. ἔνθα οἱ χείμαρροι τῆς τρυφῆς προχέονται, ἔνθα πηγαὶ τῆς ἀϊδιότητος ἀναβλυστάνουσι.

Στίχος β'. Ἐπιποθεῖ καὶ ἐκλείπει.

Βάθει σοφίας ἀρρήτου σου ὁροθετεῖς τὴν ζωὴν, καὶ προβλέπεις τὰ μέλλοντα, καὶ πρὸς βίον ἕτερον μετοικίζεις τοὺς δούλους σου, οὓς προσελάβου, τοίνυν κατάταξον, ἐπὶ ὑδάτων τῆς ἀναπαύσεως, ἐν τῇ λαμπρότητι τῶν ἁγίων κύριε, ἔνθα φωνὴ τῆς ἀγαλλιάσεως καὶ τῆς αἰνέσεως. Δόξα. Τὸ ἅγιος εἶ ὁ θεὸς ἡμῶν ὁ ἐν σοφίᾳ τὰ πάντα. ζήτει εἰς τὸ ἑσπερινὸν ὄπισθεν.

Τῷ σαββάτῳ ἑσπέρας στιχηρὰ ἀναστάσιμα κατὰ τὸν ἦχον.

Εἰς τὸ ἀπόδειπνον ὁ κανὼν τῆς θεοτόκου, ἦχος πλαγίου δ'. ᾠδὴ α'. ὁ εἱρμός. Ἁρματηλάτην.

Τῶν λυπηρῶν ἐπαγωγαὶ χειμάζουσι τὴν ταπεινήν μου ψυχήν· καὶ συμφορῶν νέφη τὴν ἐμὴν καλύπτουσιν καρδίαν θεονύμφευτε· ἀλλ' ἡ φῶς τετοκυῖα, τὸ θεῖον καὶ προαιώνιον, λάμψον μοι τὸ φῶς τὸ χαρμόσυνον. Ἐξ ἀμετρήτων ἀναγκῶν, καὶ θλίψεων, καὶ ἐξ ἐχθρῶν δυσμενῶν, καὶ συμφορῶν βίου, λυτρωθεὶς, πανάχραντε τῇ κραταιᾷ δυνάμει σου, ἀνυμνῶ μεγαλύνων, τὴν ἄμετρόν σου συμπάθειαν, καὶ τὴν εἰς ἐμέ σου παράκλησιν. Νῦν πεποιθὼς ἐπὶ τὴν σὴν καταφυγὴν ἀντίληψιν κραταιὰν, καὶ πρὸς τὴν σὴν σκέπην, ὁ λοψύχως ἔδραμον· καὶ γόνυ κλίνω δέσποινα. καὶ θρηνῶ καὶ στενάζω, μή με παρίδῃς τὸν ἄθλιον τῶν χριστιανῶν καταφύγιον. Ὁ ὑστατήσω τὸν βοᾶν βαρώτατα, τὰ μεγαλεῖα τὰ σὰ, εἰ μὴ γὰρ σὺ κόρη πάντοτε προΐστασο ὑπὲρ ἐμοῦ πρεσβεύουσα τῷ υἱῷ καὶ θεῷ σου, τίς ἐκ τοσούτου με κλύδωνος, καὶ δεινῶν κινδύνων ἐῤῥύσατο.

Διά-

ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Καταβὰς ἐν λάκκῳ κατωτάτῳ, τοὺς ἐν τοῖς μνημείοις κατοικοῦντας, ἀνέστησας ζωαρχικῇ παλάμῃ, καὶ παρέσχες τοῖς δούλοις σου, τοῖς πίστει προκεκοιμημένοις, ἀνάπαυσιν οἰκτίρμον. Ὡς πηγὴ ζωῆς τῆς ἀϊδίου, ὡς βρύσις ὑπάρχων ὁ χειμάρρους, τοὺς δούλους σου τοὺς εὐσεβῶς πρὸς σὲ μετατεθέντας, ἀξίωσον ὑμνεῖν σε, καὶ δοξολογεῖν σε εἰς πάντας τοὺς αἰῶνας. Θ΄. Μαρία παρθένε θεοτόκε, ἡ θεὸν σωτῆρα τοῖς ἀνθρώποις γεννήσασα σωματικῶς, περίσωζε τοὺς πίστει, ὑμνοῦντας σου τὸν τόκον καὶ ὑπερυψοῦντας εἰς πάντας τοὺς αἰῶνας.

ᾨδὴ θ΄. ὁ εἱρμός. Ἔφριξε πᾶσα ἀκοὴ τὴν ἀπόρρητον.

Ἔχοντες μάρτυρες Χριστοῦ τὴν ἀνίκητον ἰσχὺν καὶ ἀήττητον, ἐξεφαυλίσατε, τὸ τῶν τυράννων ἄθεον πρόσταγμα, καὶ βασιλείας οὐρανῶν σαφῶς ἠξιώθητε καταλαμπόμενοι, τῆς τριάδος ταῖς αὐγαῖς ἀξιάγαστοι. Λέλυται ᾅδης ὁ πικρὸς, καταλύσαντος αὐτόν σου φιλάνθρωπε, καὶ ἀναστήσαντος, τοὺς ἀπ' αἰῶνος ἐκεῖ καθεύδοντας, ἀλλὰ, καὶ νῦν, ὡς ἀγαθὸς τοὺς μεταχωρήσαντας πρὸς σὲ τὸν εὔσπλαγχνον, ἀνεσπέρου σου φωτὸς καταξίωσον. Ὅλος εἶ σῶτερ γλυκασμὸς, ὅλος εἶ ἐπιθυμία καὶ ἔφεσις, ὄντως ἀκόρεστος, ὅλος ὑπάρχεις κάλλος ἀμήχανον, τοὺς μεταστάντας οὖν πρὸς σὲ, τῆς σῆς ὡραιότητος, τρυφᾶν εὐδόκησον, καὶ τῆς θείας καλλονῆς σου ἀξίωσον. Θ΄. Σῶσον με μῆτερ τοῦ θεοῦ, ἡ γεννήσασα Χριστὸν τὸν σωτῆρα μου, θεὸν καὶ ἄνθρωπον, διπλοῦν τὴν φύσιν οὐ τὴν ὑπόστασιν, μονογενῆ μὲν ἐκ πατρὸς ἐκ σοῦ δὲ πρωτότοκον πάσης τῆς κτίσεως, ὃν ἐν φύσεσι διτταῖς μεγαλύνομεν.

Ἐξαποστειλάριον ζήτει εἰς τὸ ὡρολόγιον. φ.ρλα΄. Εἰς τοὺς αἴνους στιχηρὰ μαρτυρικά. ἦχος πλάγιος δ΄.

Τί ὑμᾶς καλέσωμεν ἅγιοι; χερουβὶμ ὅτι ὑμῖν ἐπανεπαύσατο Χριστὸς, σεραφὶμ, ὅτι ἀπαύστως ἐδοξάσατε αὐτὸν, ἀγγέλους τὸ γὰρ σῶμα ἀπεστράφητε, δυνάμεις ἐνεργεῖτε ἐν τοῖς θαύμασι. πολλὰ ὑμῶν τὰ ὀνόματα, καὶ μείζονα τὰ χαρίσματα, πρεσβεύσατε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν. Μεγάλως ἠγωνίσασθε ἅγιοι, τὰς βασάνους τῶν ἀνόμων ὑπομείναντες γενναίως. καὶ Χριστὸν ὁμολογοῦντες ἐναντίον βασιλέων, καὶ πάλιν μεταστάντες ἐκ τοῦ βίου, δυνάμεις ἐνεργεῖτε ἐν τῷ κόσμῳ, καὶ ἀσθενεῖς θεραπεύετε, ἐκ τῶν παθῶν αὐτῶν ἅγιοι, πρεσβεύοντες τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν. Μάρτυρες Χριστοῦ οἱ ἀήττητοι, οἱ νικήσαντες τὴν πλάνην τῇ δυνάμει τοῦ σταυροῦ, ἀπολαύετε τὴν χάριν τῆς αἰωνίου ζωῆς, τυράννων ἀπειλὰς οὐκ ἐπτοήθητε, βασάνοις αἰκιζόμενοι ηὐφραίνεσθε. καὶ νῦν τὰ αἵματα ὑμῶν γέγονεν ἰάματα ταῖς ψυχαῖς ἡμῶν, πρεσβεύσατε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν. Τὸν θώρακα τῆς πίστεως ἐνδυσάμενοι καλῶς, καὶ τῷ τύπῳ τοῦ σταυροῦ καθοπλίσαντες ἑαυτούς. στρατιῶται

ἀνδε-

με, καὶ σώζεις ἐκ κινδύνων. τοὺς ἐν πίστει καὶ πόθῳ θεοτόκον ἁγνὴν σε γινώσκοντας.

ᾠδὴ ε΄. ὁ εἱρμός. Ἵνα τί με ἀπώσω.

Τῆς ἀοράτου σου δόξης, καὶ τῆς ὑπὲρ λόγον σου μακαριότητος, ἐν σκηναῖς ἁγίων, ἔνθα ἦχος τερπνὸς ἑορταζόντων, τοὺς μεταθεμένους πρὸς ἀπαθῆ ζωὴν οἰκτείρας, καταξίωσον μόνε φιλάνθρωπε. Ὅπου τάξεις ἀγγέλων, ὅπου τῶν δικαίων δῆμοι ἀγάλλονται, Ἀβραὰμ ἐν κόλποις κατασκήνωσον σῶτερ τοὺς δούλους σου, καὶ σὺν παρρησίᾳ τῷ φοβερῷ καὶ θείῳ θρόνῳ, παραστῆναι ἀξίωσον εὔσπλαγχνε. Ἱλασμὸς ἡμῖν ὤφθης, καὶ δικαιοσύνη τε καὶ ἀπολύτρωσις, καὶ τῷ μώλωπί σου, τὰς ἡμῶν ἀσθενείας ἰατρεύσας, αὐτὸς οὖν οἰκτίρμον, ὡς ἀγαθὸς τοὺς μεταστάντας ἐν τρυφῇ παραδείσου κατάταξον. θ΄. Συμπαθῶς ἐλεήμων τὸ τῆς ἀνθρωπότητος μέτρον ἀνέλαβες, ὁ τῆς θείας δόξης, ὑπερτάτοις ἐμπρέπων ὑψώμασιν, ἐκ παρθένου μήτρας σάρκα λαβὼν ἐμψυχωμένην, λογικήν, δι' ἧς θάνατον ὤλεσας.

ᾠδὴ ς΄. ὁ εἱρμός. Ἱλάσθητί μοι σωτήρ.

Οἱ μάρτυρές σου σωτήρ, πολλὰς βασάνους ὑπέμειναν. τῷ πόθῳ σου τὰς ψυχὰς, τρωθέντες οἱ ἅγιοι, τῆς σῆς ὀρεγόμενοι ἀϊδίου δόξης, καὶ γλυκείας σου μεθέξεως. Γαστέρα τοῦ δυσμενοῦς θανάτου σῶτερ διέῤῥηξας, καὶ πάντας τοὺς ἐν αὐτῇ, δεσμώτας ἀνέστησας, ζωὴν χαρισάμενος, οὓς τοὺς μεταστάντας εὐεργέτα καταξίωσον. Δακρύων καὶ στεναγμῶν, τῶν ἐν τῷ ᾅδῃ τοὺς δούλους σου, ἐλευθέρωσον σωτήρ, ὡς μόνος γὰρ εὔσπλαγχνος, ἀφεῖλες πᾶν δάκρυον, ἐκ παντὸς προσώπου, τῶν πιστῶς θεολογούντων σε. θ΄. Ὁ φύσει δημιουργὸς, δημιουργεῖται ἐν μήτρᾳ σου, ὁ πλήρης καθ' ὃ θεὸς, κενοῦται πανάμωμε, ὁ μόνος ἀθάνατος, τὸν ὑπὲρ τῆς πάντων σωτηρίας θνήσκει θάνατον.

ᾠδὴ ζ΄. ὁ εἱρμός. Παῖδες ἑβραίων ἐν καμίνῳ.

Ὅλος ὁ πόθος τῶν μαρτύρων, ἀνατέτακται πρὸς μόνον τὸν δεσπότην, δι' ἀγάπης αὐτῷ ἑνούμενος, καὶ μέλπων. εὐλογητὸς εἶ κύριε ὁ θεὸς εἰς τοὺς αἰῶνας. Νέμοις τοῖς πίστει μεταστᾶσι, τὴν φαιδρότητα τῆς θείας βασιλείας ἀφθαρσίαν στολὴν δωρούμενος βοῶσιν. εὐλογητὸς εἶ κύριε ὁ θεὸς εἰς τοὺς αἰῶνας. Πλήρωσον χαρᾶς καὶ εὐφροσύνης, οὓς μετέστησας οἰκέτας σου οἰκτίρμον, ἀξιώσας αὐτοὺς κραυγάζειν σοι καὶ μέλπειν. εὐλογητὸς εἶ κύριε ὁ θεὸς εἰς τοὺς αἰῶνας. θ΄. Λύων τῆς Εὔας τὴν κατάραν, τὴν πανάμωμον κατῴκησας παρθένον, εὐλογίας πηγὴν, βλυστάνων τοῖς βοῶσιν. εὐλογημένος πάναγνε ὁ καρπὸς τῆς σῆς κοιλίας.

ᾠδὴ η΄. ὁ εἱρμός. Μουσικῶν ὀργάνων συμφωνούντων.

Ἐπιγείοις ἄθλοις διελθόντες, οὐρανίους ἔλαβον στεφάνους, οἱ μάρτυρες οἱ ἀληθεῖς βοῶντές σοι ἀπαύστως. τὸν κύριον ὑμνεῖτε, καὶ

ὑπερυ-

πρὸς ὃν ἔτεκες θεὸν θεοτόκε ἀνύμφευτε τῶν πιστῶν ἡ σωτηρία.

Εἰς τὸν ὄρθρον κανὼν ἀναπαύσιμος, οὗ ἡ ἀκροστιχίς.

Θ νήσκουσι πιστοῖς ὄγδοον πλέκω μέλος.

ᾠδὴ α΄. ἦχος πλαγίου δ΄. ὁ εἱρμός. Ὑγρὰν διοδεύσας ὡσεί. ποίημα Δαμασκηνοῦ.

Θ Ανάτῳ τὸν θάνατον τοῦ Χριστοῦ, καὶ πάθεσι πάθος μιμησάμενοι τὸ σεπτὸν, οἱ μάρτυρες πάντες τῆς ἐνθέου καὶ μακαρίας ζωῆς ἔτυχον. Νεότητος πταίσματα παρορῶν, καὶ τὰς ἁμαρτίας ὑπερβαίνων Χριστὲ σωτὴρ τῶν προκοιμηθέντων οἰκετῶν σου, τοῖς ἐκλεκτοῖς σου συναρίθμησον. Ἧς ἔτυχον δόξης τε καὶ χαρᾶς, οἱ τὴν μακαρίαν κεκτημένοι διαγωγὴν, μετάδος πλουσίως τοῖς σοῖς δούλοις, οὓς προσελάβου πολυέλεε. θ΄. Συνέλαβες λόγον τὸν τοῦ πατρὸς, σαρκὶ ἑνωθέντα καθυπόστασιν τὴν ἐκ σοῦ, πανάμωμε κόρη τὸν τοῦ ᾅδου, θείᾳ δυνάμει καταργήσαντα.

ᾠδὴ γ΄. ὁ εἱρμός. Οὐρανίας ἁψῖδος.

Κ Αθαρθέντες τῆς πάλαι: προγονικῆς πλάσεως, διὰ τοῦ βαπτίσματος καὶ τῆς ἀναγεννήσεως, ῥείθροις αἱμάτων τε τοῖς ἑαυτοῖς ῥαντισθέντες τῷ Χριστῷ μακάριοι συμβασιλεύετε. Ὁ νεκρὸς ἑκουσίως, κατατεθεὶς μνήματι, καὶ τοὺς κατοικοῦντας ἐντάφοις ἀναπλούμενος σῶτερ ἀνάδειξον, οὓς δὲ ἡμῶν προσελάβου, ἐν σκηναῖς δικαίων σου τούτοις αὐλίζεσθαι. Υπὸ τῆς ἀσπλαγχνίας, τῆς θεϊκῆς δέσποτα, καὶ τῆς συμφυῶς νοουμένης σου ἀγαθότητος προσκαλούμενος ἁμαρτημάτων τὴν λύσιν, παράσχων τοῖς δούλοις σου σῶτερ ἀνάπαυσιν. θ΄. Σαρκωθεὶς ἐκ γαστρός σου, καὶ γεγονὼς ἄνθρωπος, ὁ διαφερόντως ὑπάρχων μόνος φιλάνθρωπος, σώζει τὸν ἄνθρωπον ἐκ τῶν πυλῶν τοῦ θανάτου, θεομῆτορ ἄχραντε μόνη πανύμνητε.

ᾠδὴ δ΄. ὁ εἱρμός. Σύ μου Χριστὲ κύριος σύ μου καὶ δύναμις.

Ι Να τὴν σὴν, δέσποτα δόξαν θεάσωνται, καὶ τῆς αἴγλης σου τῆς φωτοδότιδος, ἐν οὐρανοῖς τύχωσι φαιδρῶς, ἅπασαν βασάνων ἰδέαν φέρειν ὑπήνεγκαν, οἱ μάρτυρες, οἱ θεῖοι, σοὶ Χριστὲ μελῳδοῦντες. τῇ δυνάμει σου, δόξα φιλάνθρωπε. Πολλαὶ μοναὶ παρὰ σοὶ σῶτερ πεφύκασι, κατ᾽ ἀξίαν, πᾶσι μεριζόμεναι κατὰ τὸ μέτρον τῆς ἀρετῆς, ταύτας οὖν οἰκτίρμον, πληρῶσαι τούτους ἀξίωσον, τοὺς πίστει μεταστάντας εὐσεβῶς σοὶ βοῶντας. τῇ δυνάμει σου δόξα φιλάνθρωπε. Ἴσος ἡμῖν ἄνθρωπος ὤφθης ἀθάνατε, πᾶσιν ἴσον θάνατον ὑπέμεινας, καὶ τῆς ζωῆς ἔδειξας ὁδοὺς, ἧς τοὺς μεταστάντας ἀξίωσον ὡς φιλάνθρωπος, συγχώρησιν πταισμάτων, ὡς δεσπότης παρέχων, καὶ φωτὸς μετουσίαν δωρούμενος. θ΄. Σὺ τῶν πιστῶν καύχημα πέλεις ἀνύμφευτε, σὺ προστάτης, σὺ καὶ καταφύγιον, χριστιανῶν τεῖχος, καὶ λιμὴν, πρὸς γὰρ τὸν υἱόν σου ἐντεύξεις φέρεις πανάμωμε,

Σὺ εἶ ὁ θεὸς ἡμῶν ὁ ἐν σοφίᾳ τὰ πάντα δημιουργῶν, καὶ πληρῶν, προφήτας ἐξαπέστειλας Χριστὲ, προφητεῦσαι σου τὴν παρουσίαν, καὶ ἀποστόλους κηρύξαι σου τὰ μεγαλεῖα, καὶ οἱ μὲν προεφήτευσαν τὴν θείαν ἔλευσίν σου, οἱ δὲ τῷ βαπτίσματι ἐφώτισαν τὰ ἔθνη. μάρτυρες δὲ ἔτυχον, ὧνπερ ἐπόθουν, καὶ πρεσβεύει σοι ὁ χορὸς τῶν σῶν ἁγίων σὺν τῇ τεκούσῃ σε, ἀνάπαυσον κύριε ψυχὰς, ἃς προσελάβου, καὶ ἡμᾶς καταξίωσον τῆς οὐρανίου βασιλείας σου, ὁ σταυρὸν καὶ θάνατον ὑπομείνας δι' ἐμὲ τὸν κατάκριτον, ὁ λυτρωτής μου καὶ θεός. καὶ νῦν. θ'. Πρεσβείαις τῆς τεκούσης σε Χριστὲ, καὶ τοῦ προδρόμου σου, ἀποστόλων, προφητῶν, ἱεραρχῶν, ὁσίων καὶ δικαίων, καὶ πάντων τῶν ἁγίων, τοὺς κοιμηθέντας δούλους σου ἀνάπαυσον.

Εἰς τὸ ἀπόδειπνον κανὼν τῆς θεοτόκου. ζήτει τῷ σαββάτῳ.

Τῷ σαββάτῳ εἰς τὸν ὄρθρον καθίσματα μαρτυρικά. ἦχος πλαγίου δ'. δ'. τὸ πρῶτον.

Φωστῆρες νοητοὶ ἀνεδείχθητε ἅγιοι μάρτυρες, τὴν γὰρ ἀχλὺν τῆς πλάνης κατηργήσατε διὰ τῆς πίστεως, τὰς ψυχικὰς ἡμῶν λαμπάδας ἐφαιδρύνατε, καὶ τῷ νυμφίῳ μετὰ δόξης συνεισήλθετε εἰς τὸν οὐράνιον νυμφῶνα, καὶ νῦν ἱκετεύσατε σωθῆναι δεόμεθα τὰς ψυχὰς ἡμῶν. στίχος α'. Θαυμαστὸς ὁ θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ, ὁ θεὸς Ἰσραήλ.

Διὰ στρατείας τῶν παθῶν τὰς πυρφλέκτους ἀποτεφρώσαντες μορφὰς καὶ τὰς κινήσεις, τοῦ Χριστοῦ οἱ μάρτυρες ἔλαβον τὴν χάριν, τὰς νόσους ἀποδιώκειν τῶν ἀσθενῶν, καὶ ζῶντες καὶ μετὰ τέλος θαυματουργεῖν, ὄντως θαῦμα παράδοξον, ὅτι ὀστέα γυμνὰ ἐκβλύζουσιν ἰάματα, δόξα τῷ μόνῳ θεῷ ἡμῶν. στίχος β. Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν.

Προφῆται, μάρτυρες Χριστοῦ, καὶ ἱεράρχαι, οἱ τὸν ἀγῶνα τὸν καλὸν διὰ σεβοφρόνως νομίμως τελέσαντες, καὶ ἀπειληφότες στεφάνους ἀμαραντίνους παρὰ θεοῦ, ἀπαύστως ἐκδυσωπεῖτε ὑπὲρ ἡμῶν τὴν αὐτοῦ ἀγαθότητα, ὅπως δωρήσηται ἡμῖν πταισμάτων τὴν συγχώρησιν ὡς θεὸς διαλλακτός. στίχος γ'. Ἐξέχεαν τὸ αἷμα αὐτῶν ὡσεὶ ὕδωρ κύκλῳ Ἱερουσαλὴμ καὶ οὐκ ἦν ὁ θάπτων.

Φωτὶ οὐρανίῳ καταλάμπεται σήμερον αὕτη ἡ σκηνὴ, ἐν αὐτῇ γὰρ στρατιαὶ ἀγγέλων ἀγάλλονται, σὺν αὐτοῖς καὶ δικαίων χοροὶ εὐφραίνονται, ἐπὶ τῇ μνήμῃ τῶν ἀθλοφόρων αὐτῶν ταῖς παρακλήσεσι, κατάπεμψον τῷ κόσμῳ σου τὴν εἰρήνην Χριστὲ καὶ τὸ μέγα ἔλεος. στίχος δ'. Ἀναπαύσιμος. Μακάριοι, οὓς ἐξελέξω καὶ προσελ.

Τοὺς μεταστάντας εὐσεβῶς ἐκ τῶν προσκαίρων ἐν ταῖς σκηναῖς τῶν ἐκλεκτῶν μετὰ δικαίων συναρίθμησον δέσποτα, τούτους ἀναπαύων, ἐν τόποις ἑορταζόντων, καὶ ἐν τρυφῇ ἀλύκτῳ τοῦ παραδείσου ὡς ἀγαθὸς τὰ ἑκούσια πταίσματα καὶ τὰ ἀκούσια αὐτῶν, δι' ἄκραν ἀγαθότητα συγχωρήσας φιλάνθρωπε. Δόξα καὶ νῦν θεοτοκ.

Σὲ καὶ τεῖχος, καὶ λιμένα ἔχομεν καὶ πρεσβείαν εὐπρόσδεκτον,

Εἰς τὸν στίχον τῶν αἴνων στιχηρὰ ἀποστολικά. ἦχος πλαγίου β΄.

Ποτὲ οἱ μαθηταί σου Χριστὲ ἐν πλοίῳ χειμαζόμενοι ἀνεβόων, διδάσκαλε σῶσον ἡμᾶς ἀπολλύμεθα· καὶ νῦν ἡμεῖς κραυγάζομεν φιλάνθρωπε σωτὴρ ἡμῶν, ῥῦσαι ἡμᾶς ἐκ τῶν ἀναγκῶν ἡμῶν δεόμεθα.

στίχος α΄. Ἐνεπλήσθημεν.

Κύριε οἱ ἀπόστολοι κατέλαβον, ποτὲ μὲν τὸ βάθος τῆς θαλάσσης διὰ δικτύων, ποτὲ δὲ τὸ ὕψος τῆς βασιλείας διὰ δογμάτων, καὶ τῇ μὲν τέχνῃ τὸν ἀκατάληπτον βυθὸν ἠρεύνησαν, τῇ δὲ πίστει τὸν ἀπερίγραπτόν σου κόλπον ἔφθασαν, καὶ τῷ κόσμῳ ἐκήρυξαν τὸν ἄχρονον υἱόν σου, ὧν ταῖς πρεσβείαις καὶ πάντων τῶν ἁγίων ἐλέησον ἡμᾶς.

στίχος β΄. Καὶ ἔστω ἡ λαμπρότης κυρίου τοῦ θεοῦ ἡμῶν.

Τοῖς ἐκλεκτοῖς ἐθαυμάστωσε καὶ ἁγίοις μάρτυρας ὁ θεὸς ἡμῶν. ἀγαλλιᾶσθε καὶ εὐφραίνεσθε πάντες οἱ δοῦλοι αὐτοῦ. ἡμῖν γὰρ ἡτοίμασε τὸν στέφανον καὶ τὴν βασιλείαν αὐτοῦ, ἀλλ' αἰτοῦμεν καὶ ἡμῶν μὴ ἐπιλάθησθε.

Δόξα τοῦ ἁγίου. εἰ δ' οὐκ ἔχει. λέγε. δόξα καὶ νῦν. θεοτοκίον. ἦχος πλαγίου β΄.

Μεγάλων χαρισμάτων ἁγνὴ, παρθένε, θεομῆτορ σεμνὴ ἠξιώθης. ὅτι ἔτεκες σαρκὶ τὸν ἕνα τῆς τριάδος, Χριστὸν τὸν ζωοδότην, εἰς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Τῇ ε΄. ἑσπέρας ζή. τὰ πάντα καθὼς προγέγραπται. Τῇ γ΄ ἑσπέρας. φ. ρξ.

Τῇ παρασκευῇ εἰς τὸν ὄρθρον ζήτει τὰ πάντα καθάπερ προγέγραπται τῇ δ΄. εἰς τὸν ὄρθρον. φ ρξά.

Τῇ παρασκευῇ ἑσπέρας εἰς τὸ κύριε ἐκέκραξα στιχηρὰ μαρτυρικά. γ΄. ἦχος βαρύς. το ά

Ἅγιοι μάρτυρες οἱ καλῶς ἀθλήσαντες καὶ στεφανωθέντες, πρεσβεύσατε πρὸς κύριον ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν. Τὴν μνήμην τῶν ἁγίων σου ἀθλοφόρων, ἑορτάζοντες σὲ ὑμνοῦμεν Χριστὲ βοῶντες κύριε δόξα σοι. Φωστῆρες ἀνεδείχθησαν οἰκουμένης οἱ πανεύφημοι ἀθλοφόροι, Χριστῷ βοῶντες. κύριε δόξα σοι.

Καὶ τοῦ ἁγίου γ΄. Δόξα καὶ νῦν θεοτοκίον. κατὰ τὸν ἦχον τῶν στιχηρῶν τοῦ ἁγίου. Εἰς τὸν στίχον στιχηρὸν μαρτυρικόν. α΄. ἦχος βαρύς.

Δόξα σοι Χριστὲ ὁ θεὸς ἀποστόλων καύχημα, μαρτύρων ἀγαλλίαμα, ὧν τὸ κήρυγμα τριὰς ἡ ὁμοούσιος.

Εἶτα νεκρώσιμα ἀναπαύσιμα β΄. στίχος α΄. Χρηστότητα ἐποίησας. κύριε μετὰ τοῦ δούλου σου κατὰ τὸν λόγον σου.

Ἀνάπαυσον σωτὴρ ἡμῶν ζωοδότα οὓς μετέστησας ἀδελφοὺς ἡμῶν ἐκ τῶν προσκαίρων, κράζοντας κύριε δόξα σοι. στίχος β΄. Ζήσεται ἡ ψυχή μου καὶ αἰνέσει σε, καὶ τὰ κρίματά σου βοηθήσει μοι.

Ἐν χώρᾳ τῶν δικαίων σου ἐλεήμον, τοὺς ἐν πίστει σοι μεταστάντας ἐκ τῶν προσκαίρων τάξον φιλάνθρωπε.

Δόξα τοῦ ἁγίου, εἰ δ' οὐκ ἔχει. λέγε δόξα ἦχος πλαγίου β΄. ἰδιόμ.

πατέρων ἡμῶν. Τῷ φανέντι ὕλης σώματος ἀπόστολοι, ἀμέσως ὁμιλήσαντες ἐφωτίσθητε, φωτοδόταις λάμψεσιν αὐτοῦ. διὸ με φωτίσατε βοᾶν. εὐλογητὸς εἶ ὁ θεὸς ὁ τῶν πατέρων ἡμῶν. Τὸν ποιμένα τὸν καλὸν ἐνδυσωπήσατε, εἰς ὄρη με πλανώμενον παραβάσεως, ἐκζητῆσαι θεῖοι μαθηταὶ, καὶ σῶσαι βοῶντα ἐμμελῶς. Εὐλογ. Σὺν προφήταις, ἀποστόλοις τε, καὶ μάρτυσι παρθένε, ὃν ἐκύησας καθικέτευε, λυτρωθῆναι πάντας τῶν δεινῶν, τοὺς φόβῳ κραυγάζοντας αὐτῷ. εὐλογητὸς εἶ ὁ θεὸς ὁ τῶν πατέρων ἡμῶν.

ᾠδὴ η'. ὁ εἱρμός. Ἐκ φλογὸς τοῖς ὁσίοις δρόσον.

Χερσωθείσας καρδίας κατενεώσατε, τῷ ἀρότρῳ τοῦ λόγου ἐγκαταπείραντες δόγμα τὸ σεπτὸν, στάχυν ἑκατοστεύοντα, τοὺς διασωθέντας ἐδρέψασθε θεόπται. Πρεσβειῶν τῇ δρεπάνῃ ἀποκαθάρατε, τὰ ζιζάνια πάντα τῆς διανοίας μου, θεῖοι γεωργοὶ τοῦ σωτῆρος ἀπόστολοι. ὅπως σωτηρίας καρποφορήσω στάχυν. Τοῦ ἐχθροῦ τὴν κακίαν κατακοιμήσαντες, ἐκοιμήθητε ὕπνον, δικαίοις πρέποντα, ἄγρυπνοι ἡμῶν πρεσβευταὶ χρηματίσαντες, μαθηταὶ τοῦ λόγου εἰς πάντας τοὺς αἰῶνας. Θε. Τοῦ πυρὸς τοῦ ἀσβέστου ῥῦσαί με κύριε, προφητῶν καὶ μαρτύρων, καὶ ἀποστόλων σου, καὶ τῆς ἐν γαστρὶ χωρησάσης ἀρρήτως σε, κόρης ἀπειράνδρου, πρεσβείαις εὐπροσδέκτοις.

ᾠδὴ θ'. ὁ εἱρμός. Θεὸν ἀνθρώποις.

Θεὸν ἀνθρώποις προσομιλήσαντα, καὶ τὸ θνητὸν ἑνώσει ἀσυγκρίτῳ θεώσαντα, εἰς τὸν σύμπαντα κόσμον κηρύξαντες, πάντας ἀπὸ τῆς πλάνης, ἠλευθερώσατε, ὅθεν μακαρίζεσθε ἀεὶ θεῖοι ἀπόστολοι. Χριστοῦ τὸ πάθος ἐξεικονίζοντες, διὰ παθῶν τοῦ σώματος ποικίλων ἀπόστολοι, τῆς σαρκός μου τὰ πάθη νεκρώσατε, καὶ τὴν ἐξασθενοῦσαν, καὶ κινδυνεύουσαν, καὶ νενεκρωμένην μου ψυχὴν ζωοποιήσατε. Ὁδὸς γενοῦ μοι καθοδηγοῦσά με, πρὸς ἀπλανῆ ὁδὸν τῶν ἐντολῶν σου φιλάνθρωπε, ἁμαρτίας πεσόντι εἰς βάραθρα, καὶ περιπλανομένῳ, καὶ ἀποκλίναντι, εἰς τὰς ὁδοὺς τὰς πονηρὰς καὶ κινδυνεύοντι. Θε. Χοροὶ ἀγγέλων, καὶ ἀρχαγγέλων τε, ἐξουσιῶν, δυνάμεις, ἀρχαὶ, καὶ κυριότητες, χερουβὶμ, καὶ σεραφὶμ, καὶ θρόνοι χαῖρε, δῆμος τῶν ἀποστόλων σὺν τῇ τεκούσῃ σε, μόνε, δυσωποῦσι βασιλεῦ σῶσον τοὺς δούλους σου.

Ἐξαποστειλάριον. Ὁ οὐρανὸν τοῖς ἄστροις κατακοσμήσας.

Ἀπόστολοι τοῦ κυρίου, οἱ τὴν ὑφήλιον πᾶσαν, ἐκ τοῦ βυθοῦ τῆς ἀπάτης, λόγῳ ἑλκύσαντες πρὸς φῶς, μὴ διαλίπητε τοῦτον ὑπὲρ ἡμῶν τοῦ πρεσβεύειν. Θεοτοκίον ὅμοιον. Τὸν σὸν υἱὸν μὴ ἐλλίπῃς, καταφυγὴ χριστιανῶν, σὺν τοῖς κλεινοῖς ἱεράρχῃ ἐνδυσωπεῖν ὑπὲρ ἡμῶν, τῶν ἀναξίων σου δούλων, τυχεῖν χαρᾶς αἰωνίου.

τὰ χρόνια καὶ δεινά. ἰάσασθε ἱατροὶ πεφυκότες ἔνδοξοι ἀπόστολοι. Θ. Η μαρτυκότατμε Χριστὲ, διὰ τῶν ἀποστόλων, καὶ τῆς σὲ κυησάσης ἐπιστρέψας ὡς θεὸς ἐλέησον, καὶ πυρὸς αἰωνίου, σῶτερ ἐλευθέρωσον.

ᾠδὴ δ'. ὁ εἱρμὸς Χριστός μου δύναμις.

Λιμένες εὔδιοι, λιμένες ἄκλυστοι, γαληνόν με πρὸς ὅρμον, ἀληθινῆς μετανοίας σώσατε. ἁμαρτημάτων χαλεπῶν τρικυμίᾳ χειμαζόμενον. Ψυχή μου στέναξον, ψυχή μου δάκρυσον, ταπεινὴ μὲ καρδία τῷ ἀγαθῷ, ὁλικῶς κολλήθητι. ὅπως μελλούσης σε φλογὸς, καὶ κολάσεως λυτρώσηται. Σωτῆρες κύριοι, σωτῆρες πέλοντες τῶν βροτῶν δυσωπεῖτε, ὅπως ἡμᾶς σώσῃ ὡς φιλάνθρωπος, πειρατηρίων χαλεπῶν, παμμακάριστοι ἀπόστολοι. Θ. Π αρθένε ἄχραντε, παρθένε ἄμωμε, μετὰ τῶν ἀποστόλων ὑπὲρ ἡμῶν ἱκεσίαν ποίησον, ὅπως ῥυσθείημεν δεινῶν πειρασμῶν καὶ περιστάσεων.

ᾠδὴ ε'. ὁ εἱρμός. Τῷ θείῳ φέγγει σου ἀγαθέ.

Ὁδὸν τὴν φέρουσαν εἰς ζωὴν, διὰ στενωτάτης ἀγωγῆς, καὶ πειρασμῶν τε καὶ θλίψεων μαθηταὶ τοῦ λόγου, σαφῶς ὁδεύσαντες, ταῖς τρίβοις τῆς ψυχῆς μου ἐξομαλίσασθε. Λύχνοι τῆς θείας ἀνατολῆς, ῥύσασθε ἐκ σκότους με παθῶν, καὶ ἡδονῶν ἀμαυρότητος, καὶ πειρατηρίων, καὶ περιστάσεων, καὶ ζάλης καὶ κινδύνων Χριστοῦ ἀπόστολοι. Τ ὁ μοι τοῦ λόγου θεοειδεῖς, βίβλῳ με γραφεῖσαν τῆς ζωῆς, ἐκδυσωπεῖτε ἀπόστολοι, τῶν ἁμαρτιῶν μου τὸ χαλεπώτατον, ῥηγνῶτες γραμματεῖον ταῖς πρεσβείαις ὑμῶν. Θ. Η σωτηρία μου καὶ ἐλπὶς, σῶσον με ἐλπίζοντα εἰς σὲ, πάντων ἐλπὶς ἀκαταίσχυντε, ταῖς πρὸς τὸν δεσπότην σου παρακλήσεσι, τῶν θείων μαθητῶν τε μόνη πανύμνητε.

ᾠδὴ ς'. Τοῦ βίου τὴν.

Ως πλάκες θεόγραφοι, τοῦ πνεύματος σαφῶς, νομοθεσίας ἔνδοξοι, ἐν ταῖς ψυχαῖς ἐχρήματε ἀψευδῶς, δι' ὧν τὸν ἐν γράμματι, κατηργήσατε νόμον, κόσμον σώσαντες. Ψυχὴ ἁμαρτάνουσα, συνηθείᾳ τε κακῇ φρενοβλαβῶς δουλεύουσα, ἐπιστροφῇ ἐπίστρεψον, καὶ βόησον οἰκτίρμονι, διὰ τῶν ἀποστόλων λόγε σῶσόν με. Π ροβάτοις με σύνταξον, δεξιοῖς ἐν τῇ φρικτῇ καὶ φοβερᾷ ἐλεύσει σου, τῶν ἐκλεκτῶν προβάτων σου προσευχαῖς, τῶν θείων κηρύκων σου, ὁ τυθεὶς ὑπὲρ πάντων ἀμνὸς ἄκακος. Θ. Χορὸς ἱκετεύει σε, ἀσωμάτων λειτουργῶν, υἱὲ θεοῦ προσαιώνιε, ἐκ δυσωπεῖ δῆμος τῶν μαθητῶν, διὰ τῆς τεκούσης τῷ λαῷ σου παράσχου τὰ ἐλέη σου.

Τὸ κοντάκιον ζήτει Ἰουνίῳ. κθ'. φ.

ᾠδὴ ζ'. ὁ εἱρμὸς Δροσοβόλον μὲν τὴν κάμινον.

Τῷ ἀγκίστρῳ τῷ τοῦ λόγου ἀνελκύσαντες βυθοῦ τῆς πλάνης ἅπαντας, προσηγάγετε τῷ τυθέντι λόγῳ δι' ἡμᾶς, ἀπόστολοι μέλποντες αὐτῷ. εὐλογητὸς εἶ ὁ θεὸς ὁ τῶν πα-

κακώσεως. Ὡς ποτὲ διέθρεψας ἀπορουσαν ἄρτου ἐν λιμῷ, τὴν πόλιν σου ὡς καλὸς, ὅσιε ποιμὴν, ὡσαύτως διάθρεψον, τὴν ψυχήν μου ἄρτῳ νοητῷ, πάτερ Νικόλαε, σὲ προστάτην ἀμοιρήσασαν. Θ. Φαεινὴν λυχνίαν σε, ὁ προφήτης ἔβλεψεν ἁγνή. λαμπάδιον νοητὸν φέρουσαν Χριστὸν, δι' οὗ ἐφωτίσθημεν, οἱ ἐν σκότει κείμενοι κακῶν, σὲ μακαρίζοντες θεοτόκε ἀειπάρθενε.



Τῇ ε΄. Πρωὶ μετὰ τὴν συνήθη στιχολογίαν καθίσματα ἀποστολικά. ἦχος πλάγιος α΄.

Ὡς ἐν μέσῳ τῶν μαθητῶν σου παραγενόμενος σωτὴρ ἡμῶν, τὴν εἰρήνην σου δίδους αὐτοῖς, ἐλθὲ μεθ' ἡμῶν, καὶ σῶσον ἡμᾶς. στίχος α΄. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καί. Τῶν ἀποστόλων σου ἡ μνήμη κύριε ἀνεδείχθη, ὡς παράδεισος ὁ ἐν Ἐδέμ. ἐν αὐτῇ γὰρ ἀγάλλεται ἡ οἰκουμένη. διὸ δίδου ἡμῖν ταῖς αὐτῶν ἱκεσίαις εἰρήνην, καὶ τὸ μέγα ἔλεος. στίχος β΄. Θαυμαστὸς ὁ θεὸς ἐν τοῖς ἁγίοις. μαρτυρικόν. Τῶν ἁγίων σου μαρτύρων κύριε ἡ μνήμη ἀνεδείχθη ὡς παράδεισος, ὁ ἐν Ἐδέμ, ἐν αὐτῇ γὰρ εὐφραίνεται πᾶσα ἡ κτίσις, καὶ παρέχεις ἡμῖν τῇ αὐτῶν παρακλήσει, εἰρήνην, καὶ τὸ μέγα ἔλεος. Θ. Παναγία θεοτόκε τὸν χρόνον τῆς ζωῆς μου μὴ ἐγκαταλίπῃς με, ἀνθρωπίνῃ προστασίᾳ μὴ καταπιστεύσῃς με, ἀλλ' αὐτὴ ἀντιλαβοῦ καὶ ἐλέησόν με.

Τῇ ε΄. Κανὼν εἰς τὸν ὄρθρον τῶν ἁγίων ἀποστόλων. ᾠδὴ α΄. ἦχος πλάγιος β΄. ὁ εἱρμός. Ὡς ἐν ἠπείρῳ πεζεύσας ὁ Ἰσραήλ.

Φωστῆρες πεφυκότες τοῦ κόσμου, φωτιστικαῖς, θείαις χάρισι λάμψεσι, καταυγάσατε ἡμᾶς, καὶ παθῶν λυτρώσασθε νυκτός. καὶ ὁμίχλης πρέσβεις θεομακάριστοι. Ἄρχοντας ἐπὶ πᾶσαν, πνεῦμα ἡμᾶς, τὸ σεπτὸν κατέστησε, τοῦ κυρίου μαθηταὶ, τοῦ ἀέρος ἄρχοντας, διὸ ἐτροπώσασθε πιστοῖς ἐκλυτρωσάμενοι. Ἐκ τοῦ πυρὸς τοῦ ἀΰλου ὡς φωταυγεῖς, ἀναφθέντες ἄνθρακες, τὰ ὑλώδη μου σοφοὶ, πάθη καταφλέξατε πρὸς φῶς, ἀπαθείας καὶ ζωῆς καθοδηγοῦντές με. Θ. Τῶν ἀποστόλων πρεσβείαις καὶ προφητῶν, καὶ μαρτύρων κύριε, Ἰησοῦ παμβασιλεῦ, καὶ τῆς κυησάσης σε ἁγνῆς, κατοικτίρησον λαὸν ἡμαρτηκότα σοι.

ᾠδὴ γ΄. ὁ εἱρμός. Οὐκ ἔστιν ἅγιος ὡς σύ.

Τὸ θεῖον πνεῦμα ταῖς ὑμῶν γλώσσαις ἀναχωνεῦσαν, ἐπελάσει φεικώδει, συντριβέντας πρὸς ζωήν, καινοποιεῖ δι' ὑμῶν τοὺς ἀνθρώπους ἔνδοξοι ἀπόστολοι. Ἐν γνώσει λόγου πλημμελῶν, ποίαν ἕξω συγγνώμην ἐν ἡμέρᾳ τῆς δίκης, διὰ τοῦτο σοὶ βοῶ, διὰ τῶν σῶν μαθητῶν οἰκτειρόν με, τὸν αὐτοκατάκριτον. Οἱ μιμησάμενοι Χριστοῦ, τὰ σωτήρια πάθη, τῆς ψυχῆς μου τὰ πάθη, τὰ

ἀληθῶς, ἡμῖν τὴν βασιλείαν τῶν οὐρανῶν, τῇ μεσιτείᾳ σου, κόρη προξενοῦσα πρεσβείαις σου.

ᾠδὴ δ'. Τὴν θείαν ἐννοήσας σου.

Ρεόντων ἀντιλλάξω τὰ μέλλοντα, ὧν κληρονόμοις, καὶ ἡμᾶς δ/ευχαῖς ἁγίαις σου ποίησον πειρατηρίων παντοίων λυτρούμενος τοῦ βίου Νικόλαε. Συντρίψας τοῦ ἐχθροῦ μηχανήματα, τοὺς ὁρατοὺς ἡμῶν ἐχθροὺς, καὶ ἀοράτους Νικόλαε, διηνεκῶς πολεμοῦντας τελείᾳ ἀφανείᾳ παράπεμψον. θ'. Ἁγία θεοτόκε βοήθει μοι, ταῖς ἡδοναῖς διηνεκῶς συνθιζομένῳ τοῦ σώματος, καὶ ῥαθυμίαις ἐν κλίνῃ ἀεὶ κατακειμένῳ καὶ στένοντι. ᾠδὴ ε'. ὁ εἱρμός. Ὁ ἀναβαλλόμενος φῶς.

Ξόανα κατέαξας, εἰδώλων ἅγιε, βδελυκτὰ ἀπρεπέκτοις αἱρετιζόντων ἔδειξας Νικόλαε, καὶ ἀπαγομένοις πρὸς θάνατον ἐξήρπασας. Σὲ καθικετεύομεν πάτερ Νικόλαε, τῇ ὥρᾳ ταύτῃ, ἐν μέσῳ πάντων, γενοῦ τῶν καλούντων σε, τὰ πρὸς σωτηρίαν διδοὺς ἡμῖν αἰτήματα. θ'. Ὁ ἀπειρονόητος θεοχαρίτωτε, παρεχώρησε σωματοφόρος γενόμενος, ἔσχηκε βροτοὺς ἀπαλλάττων προεισχύσης θλίψεως. ᾠδὴ ς'. Μαινόμενον.

Νοσημάτων λύτρωσαι, καὶ σκανδάλων τῶν βιωτικῶν, πειρασμῶν καὶ θλίψεων Νικόλαε· τοὺς προσβολὴν σε κεκτημένοις πρὸς κύριον. Ἰατρὸν σε ἄριστον ὁ δεσπότης ἔδειξε Χριστὸς, διὸ τὰ νοσήματα θεράπευσον, τῶν δ' σεβῶς σοι προσιόντων Νικόλαε. θ'. Κυοφόρος ἄνανδρος.

θεομῆτορ πέφηνας ἁγνή. διὰ τοῦτο πίστει ἱκετεύω σε, τῆς ψυχῆς μου τὴν ῥαθυμίαν ἀπέλασον.

Τὸ κοντάκιον. ζήτει Δεκεμβρίῳ ς'. φ: ρογ'. ᾠδὴ ζ'. Ὁ ὑπερυψούμενος. Τῶν πατέρων.

Ὅλως ἀνακείμενος, τῷ θεῷ Νικόλαε, ὅλον με διάσωσον, τοῦ βίου τοῖς πάθεσιν, ἀθλίως καθ' ἑκάστην περιπίπτοντα θεόφρον. Ἀπαὶ ἀνοιγόμενον, κατ' ἐμοῦ Νικόλαε, δ' εὐχαῖς σου ἀπόφραξον, στόμα πονηρότατον, καὶ ῥῦσαι ὁρατῶν με δυσμενῶν καὶ ἀοράτων. θ'. Ἐκ σοῦ ἡμῖν ἔλλαμψεν ἀνέσπερος ἥλιος, νεφέλη ὀλόφωτε, Χριστὸς ὁ θεὸς ἡμῶν. φωτίζων τοὺς ἐν σκότει, ἀγνωσίας θεοτόκε. ᾠδὴ η'. Σοὶ τῷ παντουργῷ.

Λύτρωσαι ἡμᾶς ἁμαρτιῶν δ/ευχαῖς σου, δαιμόνων κακώσεως, ἐθνῶν ἁλώσεως, πάντων ἀνθρώπων, πονηροτάτης βλάβης. ἵνα σε ὡς ῥύστην ἡμῶν ἀνυμνοῦμεν. Οἱ βιαδικῶς τὴν μοναρχίαν πίστει, ἀπαύστως δοξάζοντες, ἀναβοήσωμεν πάτερ, καὶ πανάγιον πνεῦμα, σῶζε σοὺς οἰκέτας ὑμνοῦντας σου τὸ κράτος. θ'. Σάρκα δι' ἡμᾶς, ἐκ σοῦ θεὸς φορέσας, ἁγνήν σε παναμώμον, παντὸς τοῦ γένους ἡμῶν, θείαν παρθένε δεικνύς προστασίαν. ὅθεν σὲ ὑμνοῦμεν πιστοὶ μεγαλοφώνως.

ᾠδὴ θ'. Ἠσαΐα χόρευε παρθ.

Ἱεράρχης ἔνθεος, χρηματίσας πάσας τοῦ Χριστοῦ, ἐφύλαξας ἐντολάς. ὅθεν τῶν πιστῶν φύλαξ θεῖος γέγονας, ἀπὸ πάσης τύχης σωτηρῶν, πάτερ Νικόλαε ἐπηρείας καὶ κακώ-

τὸ ἐξομολογεῖσθαι. καὶ τὰ λοιπά, καὶ ἀπόλ.



Τῇ δ΄. ἑσπέρας εἰς τὸν στίχον στιχηρὰ ἀποστολικά. ἦχος πλάγιος α΄.

Μαθηταὶ τοῦ σωτῆρος, μυστηρίων αὐτόπται γενόμενοι. τὸν μὴ θεωρούμενον, καὶ ἀρχὴν μὴ ἔχοντα, ἐκηρύξατε λέγοντες. ἐν ἀρχῇ ἦν ὁ λόγος, οὐκ ἐκτισθέντα πρὸ τῶν ἀγγέλων, οὐκ ἐμάθετε παρὰ ἀνθρώπων, ἀλλ' ἐκ τῆς ἄνωθεν σοφίας, διὸ παρρησίαν ἔχοντες πρεσβεύσατε ὑπὲρ τῶν ψυχῶν ἡμῶν. στίχος α΄. Πρὸς σὲ ἦρα. Τοῖς ἀποστόλοις κυρίου μελωδικῶς ἐν ᾠδαῖς ἀνευφημήσωμεν, ἐνδυσάμενοι γὰρ τὴν τοῦ σταυροῦ πανοπλίαν, τὴν τῶν εἰδώλων πλάνην κατείργησαν, καὶ νικηφόροι ἀνεδείχθησαν στεφανῖται, ὧν ταῖς πρεσβείαις ὁ θεὸς ἐλέησον ἡμᾶς. στίχος β΄. Ἐλέησον ἡμᾶς κύριε ἐλέησον. μαρτυρικόν. Ἀκορέστῳ διαθέσει ψυχῆς, Χριστὸν οὐκ ἀρνησάμενοι ἅγιοι μάρτυρες. τοὺς δεινοὺς καὶ διαφόρους αἰκισμοὺς παθημάτων ὑπεμείνατε, τῶν τυράννων, τὰ θράση κατηδαφίσατε, ἀκλινῆ καὶ ἄτρωτον τὴν πίστιν φυλάξαντες, εἰς οὐρανοὺς μετέστητε, ὅθεν καὶ παρρησίας τυχόντες πρὸς αὐτὸν αἰτήσασθε δωρηθῆναι ἡμῖν τὸ μέγα ἔλεος. Δόξα καὶ νῦν. θ΄. Χαῖρε κεχαριτωμένη μήτηρ Χριστοῦ τοῦ θεοῦ, ὅτι ἐπέφανέ σοι ὁ βασιλεὺς τῆς δόξης, καὶ ἐπεσκίασέ σοι τὸ πανάγιον πνεῦμα, ὡς παρρησίαν ἔχουσα πρέσβευε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν. Τῇ δ΄. [illegible] κανὼν τοῦ ὁσίου πατρὸς ἡμῶν Νικολάου. ποίημα Ἰωσήφ. ἦχος πλάγιος α΄. ὁ εἱρμός. Ἱ

Ἱστεῖ καὶ πόθῳ πάτερ οἰκειωθεὶς, τῷ θεῷ τὰ πανάγια τούτου, ἐπλήρωσας θελήματα, δι' ὧν ἔχρηματίσας κατὰ πάντα ἅγιος θεοφόρε πάτερ Νικόλαε. Ἔχοντές σε προστάτην πρὸς τὸν οἰκτίρμονα πειρασμοῖς μάκαρ, καὶ θλίψεσι κλονούμενοι, πρὸς σὲ καταφεύγομεν, δίδου χεῖρα σώζουσαν ἀπὸ πάσης ἡμᾶς στενώσεως. θ΄. Πάλαι τῶν προφητῶν σὲ χορὸς ἐκάλεσεν, ὄρος θεῖον παρθένε, καὶ πύλην ἀδιόδευτον. ὅθεν δυσωποῦμεν σε μετανοίας πύλας, παρθενομῆτορ ἡμῖν ὑπάνοιξον.

ᾠδὴ γ΄. Οὐρανίας ἐπ.

Ὁ βίον ἀγγελικὸν ἐν γῇ ἐνδειξάμενος, νῦν σὺν τοῖς ἀγγέλοις ἀεὶ παρίστασαι θρόνῳ τῆς βιάδος ἱερῶς, ἡμῖν ἁμαρτημάτων, καὶ παραπτωμάτων λύσιν αἰτούμενος, πάτερ ἱεράρχα Νικόλαε. Νόος μου τὰς ἀμαυρώσεις σου ταῖς σελασφόροις ἀκτῖσι Νικόλαε κόπασον τὸν σάλον τῶν παθῶν, κυβέρνησόν με πάτερ πρὸς ἀπαθείας ὅρμον δέομαι. ὅπως ἐν αἰνέσει δοξάζω σε. θεοτοκίον. Παρέστης ἐκ δεξιῶν Χριστοῦ, ὡς βασίλισσα κροσσωτοῖς χρυσέοις, θεοχαρίτωτε περιβεβλημένη

ος δεσπότην ὑμνεῖ κλαίουσα, καὶ τὸ μακρόθυμον αὐτοῦ ἀποθαυμάζουσα, ἀνεβόα, πάντα τὰ ἔργα ὑμνεῖτε τὸν κύριον. ᾠδὴ θ΄. Λίθος ἀχειρότ.

Ἰδοὺ ἡ ζωὴ κρεμαμένη, ἐπὶ σταυροῦ πᾶσιν ὡράθη. ἥλιος δὲ τοῦτο μὴ φέρων, ἀκτῖνας παύει, καὶ γῆ σαλεύεται, καὶ λογισμοὶ στηρίζονται ἐπ' εὐσεβείᾳ καὶ σεμνότητι. Ὦ πῶς σε ὁ ἄνομος δῆμος, τὸν νομοδότην κατακρίνει, ξύλῳ Ἰησοῦ μου τεθνάναι, ζωὴν τῶν ὅλων ὄντα καὶ κύριον, καὶ διὰ πάθους ἅπασι βροτοῖς παρέχοντα ἀπάθειαν. μαρτυρικ. Στόμασιν ὑμῶν θεολόγοις, ἀνεκηρύξατε πανσόφως σάρκωσιν τοῦ λόγου ἐν μέσῳ, παρανομούντων ἐχθρῶν πανεύφημοι, καὶ ἱερῶς ἀθλήσαντες, νίκης στεφάνοις κατεστέφθητε.

Ἡμεροφαεῖς ὡς ἀστέρες, πᾶσαν τὴν κτίσιν φρικτωρεῖτε, ἄθλων ἱερῶν ἀναλάμψει, καὶ ἰαμάτων θείαις λαμπρότησι, καὶ τῶν παθῶν σκεδάζετε νύκτα βαθεῖαν, θεῖοι μάρτυρες. θ΄. Φώτισον ἁγνὴ τὴν ψυχήν μου, τῇ ἁμαρτίᾳ σκοτισθεῖσαν, λύσον τῶν κακῶν μου τὰ νέφη, φωτὸς νεφέλη, ἡ σκοτιζόμενον ἥλιον πάλαι βλέψασα ἐν τῷ σταυροῦσθαι τὸν ἀθάνατον. Ἐξαποστειλάριον. Θ. οὐρανὸν τοῖς ἄστροις κατακοσμήσας.

Σταυρὲ Χριστοῦ μου τὸ ὅπλον, κράτος τῶν ὀρθοδόξων, τῶν βασιλέων τὸ νῖκος, καὶ τῶν δαιμόνων ἡ πτῶσις, τοὺς προσκυνοῦντάς σε πόθῳ, φρούρει, καὶ δίδου σὴν χάριν. Θ. Τοὺς τὸν σταυρὸν, καὶ τὰ πάθη, ἐν ἀδιστάκτῳ καρδίᾳ πανευλαβῶς προσκυνοῦντας, τοῦ παραδείσου πολίτας, καὶ δόξης δεῖξον μετόχους. Εἰς τὸν στίχον τῶν αἴνων στιχηρὰ σταυρώσιμα. ἦχος δ΄.

Τεῖχος ἡμῖν γένοιτο ὁ σταυρός σου Ἰησοῦ, σωτὴρ ἡμῶν. ἄλλην γὰρ ἐλπίδα οἱ πιστοὶ οὐκ ἔχομεν, εἰ μὴ σὲ τὸν ἐν αὐτῷ προσηλωθέντα, καὶ παρέχοντα ἡμῖν τὸ μέγα ἔλεος. στίχος α΄. Ἐνεπλήσθημεν τὸ πρωΐ.

Ἔδωκας σημείωσιν τοῖς φοβουμένοις σε κύριε, τὸν σταυρόν σου τὸν τίμιον, ἐν ᾧ ἐθριάμβευσας, τὰς ἀρχὰς τοῦ σκότους, καὶ τὰς ἐξουσίας, καὶ ἐπανήγαγες ἡμᾶς, εἰς τὴν ἀρχαίαν μακαριότητα, διὸ σου τὴν φιλάνθρωπον οἰκονομίαν δοξάζομεν Ἰησοῦ παντοδύναμε ὁ σωτὴρ τῶν ψυχῶν ἡμῶν. στίχος β΄. Καὶ ἔστω ἡ λαμπρότης κυρίου.

Πῶς ὑμῶν θαυμάσωμεν, τοὺς ἀγῶνας ἅγιοι μάρτυρες, ὅτι σῶμα θνητὸν περικείμενοι, τοὺς ἀσωμάτους ἐχθροὺς ἐτροπώσασθε, οὐκ ἐφόβησαν ὑμᾶς τῶν τυράννων αἱ ἀπειλαί. οὐ κατέπληξαν ὑμᾶς τῶν βασάνων αἱ προσβολαί, ὄντως ἀξίως παρὰ Χριστοῦ ἐδοξάσθητε, καὶ ταῖς ψυχαῖς ἡμῶν αἰτεῖσθε τὸ μέγα ἔλεος. Δόξα καὶ νῦν σταυροθεοτοκίον. Ὡς γενναῖον. ἦχος δ΄.

Ἐν σταυρῷ σε τεινόμενον, καὶ τοῖς ἥλοις πηγνύμενον κατανοοῦσα ἡ μήτηρ σου, θρηνῳδοῦσα ἐκραύγαζεν, οἴμοι τέκνον ποθεινὸν, πῶς σε δῆμος ὁ ἄνομος, ἐθανάτωσε, τὴν ζωὴν τοῖς ἐν ᾅδῃ χορηγοῦντα, ἀλλ' ἀνάστηθι συντόμως χαροποιῶν οὓς ἠγάπησας. Ἀγαθὸν

τὸ

θρωπε. Ν εκρὸς μὲν ἐχρημάτισας ξύλῳ ὑψούμενος, τὸν νεκρωτὴν δὲ εἰργάσω, καὶ νεκρὸν, καὶ πάσης πεπληρωμένον, νῦν αἰσχύνης, ποιητά μου ὑμνῶ σου τὴν δύναμιν.

μαρτυρικόν. Ε πράχθη τῷ πρῴσκέιν ὑμᾶς ὁ παμπόνηρος, τοῖς ἀνηκέστοις βασάνοις καὶ ποσὶν ὑμῶν καταβέβληται, καὶ ὁρᾶται ὑπὸ πάντων γελώμενος μάρτυρες. Ι άσεις ἀναβλύζει μαρτύρων τὰ λείψανα. κόνις κειμένη ἐντάφῳ, ὡσεὶ κόνιν δαίμονας διαλύει. καὶ ποικίλα θεραπεύει νοσημάτων νοσήματα. θ'.

Η λοις σε ὁ παράνομος δῆμος προσήλωσε. καὶ λύπης νῦν τῇ ῥομφαίᾳ, τὴν ἐμὴν καρδίαν σπαράττομαι, ὦ ποιητά μου ἡ παρθένος ἐβόα δακρύουσα.

Τὸ κοντάκιον καὶ τὸν οἶκον ζήτει Σεπτεμβρίῳ. εἰς ιδ'. φ. σγ.

ᾠδὴ ζ'. Εν τῇ καμίνῳ ἀβραμιαῖοι.

Σ ταυροῦσαι θέλων, ὅτι σταυρὸς γυμνός ἀθάνατε, μόνε ὁ ἐνδύων νέφεσιν οὐρανὸν, καὶ τὸν πάλαι τοὺς προπάτορας ἀπογυμνώσαντα ἐπενδύσῃς αἰσχύνην αἰώνιον. Σ ταυρῷ ὑψώθης, καὶ ὁ Αδὰμ πεσὼν ἀνίσταται, λόγχῃ ἐκεντήθης δέσποτα τὴν πλευρὰν, καὶ πηγὴν χαρίαν ἔλαβεν ὁ πολυμήχανος. εὐλογητὸν τὸ κράτος σου κύριε. μαρτυρικόν. Ω ραιωτάτως τῷ ὡραίῳ λόγῳ ἑνούμενοι, κόσμου παντελῶς πανεύφημοι ἀθληταὶ, ἐχωρίσθητε δεσμούμενοι καὶ σωματριβόμενοι, καὶ τὸν ἐχθρὸν ἀεὶ συμποδίζοντες. Τ εἰχη τῆς πλάνης ἀναμοχλεύσει θείῳ κατέαξαν, θείων παθημάτων ὄντως οἱ ἀθληταὶ, καὶ πεσοῖς τεῖχος ἐδείχθησαν, καὶ φυλακτήριον τοῖς εὐσεβῶς αὐτοῖς μακαρίζουσι. θ'. Τ ὸν ἐν καμίνῳ δροσον ὀφθέντα Χριστὸν, τὸν θεὸν κόρη μηδαμῶς ἡ φλέξαντα τὴν νηδὺν, τὴν σὴν βλέπουσα κρεμάμενον ξύλῳ ἐδόξαζες τὴν ὑπὲρ νοῦν αὐτοῦ συγκατάβασιν.

ᾠδὴ η'. χεῖρας ἐκ.

Η Πλωσας παλάμας ἐν σταυρῷ, χειρὸς ἁμάρτημα, ἀκρατοῦς δέσποτα θέλων ἰάσασθαι, ἥλοις δὲ προσηλώθης ἅπαν νόημα τοῦ πρωτοπλάστου ἐξελῶν, ἐμπαθὲς κύριε, μελῳδοῦντος πάντα τὰ ἔργα ὑμνεῖτε τὸν κύριον. Ρ ήγνυται χειρόγραφον τῆς σῆς, νυγείσης θείας πλευρᾶς· τοῦ πρωτοπλάστου Αδὰμ. ῥανίσιν αἵματος δέσποτα, ἁγιάζεται ἡ σύμπασα, δι' χαρισίας ἐν φωναῖς, ἀεὶ κραυγάζουσα. εὐλογεῖτε πάντα τὰ ἔργα κυρίου τὸν κύριον. μαρτυρικόν. Ι σταντο ἐν μέσῳ τοῦ πυρὸς, ὡς δροσιζόμενοι, οὐ φλογιζόμενοι οἱ πανασίδημοι μάρτυρες, καὶ τῶν παίδων ἀναμέλποντες ἐν συμφωνίᾳ μυστικῇ τὴν θείαν ὄντως ᾠδήν. εὐλογεῖτε πάντα τὰ ἔργα κυρίου τὸν κύριον. Α νύσαντον φέροντες πυρσὸν τῆς προαιρέσεως, σκότει κολάσεων, οὐ παρεβάπτετε μάρτυρες, ἀλλ' ἐν θείαις δυναμούμενοι ἐπαναδράμετε πρὸς φῶς, βοῶντες ἄδυτον. εὐλογεῖτε πάντα τὰ ἔργα κυρίου τὸν κύριον. θ'. Ν εκρούμενον βλέπουσα Χριστὸν, καὶ τὸν νεκρώσαντα βροτοὺς, νεκροῦντα ἐχθροὺς ἡ πολυύμνητος δέσποινα

 ὡς

σατε τὸν πολυμήχανον, διὰ Χριστὸν δεσμούμενοι σοφοὶ, τὸν δοθέντα θελήματι, καὶ πᾶσαν πλάνην λύσαντα· ὅθεν ἀξίως μακαρίζεσθε. Θ. Παρθένον μετὰ τὸν τόκον ἄφθορον διαμεμένηκας, τὸν ὑψωθέντα ἄχραντε σταυρῷ ὑπὲρ λόγον κυήσασα, ὅθεν πιστοί σε ἅπαντες μεγαλοφώνως μακαρίζομεν.

ᾠδὴ γ. Εὐφραίνεται ἐπὶ.

Υψούμενος ἐν σταυρῷ, τοὺς κατενεχθέντας εἰς φθορὰν ὕψωσας, καὶ τὸν ἐχθρὸν ἐνίκησας δέσποτα Χριστὲ ὁ θεὸς ἡμῶν. Ῥομφαῖαι τοῦ δυσμενοῦς, σοῦ λογχευθέντος τὴν πλευρὰν, ἠμβλύνωνται. καὶ ἡ Ἐδὲμ ἠνοίγεται, λόγε τοῦ πατρὸς ἐνστόσατε. Μαρτυρικόν. Οἱ πύρινοι παταμοὶ, τοὺς τῆς ἀπάτης ποταμοὺς ἔπαυσαν, καὶ τὴν πυρὰν ἔσβεσαν, τῆς πολυθεΐας οἱ μάρτυρες. Σταυρούμενοι καὶ εἰς γῆν, τυμπανιζόμενοι Χριστοῦ μάρτυρες, τὸν δυσμενῆ δράκοντα, ξίφει καρτερίας ἐσφάξατε. Θ. Ἡ ἄμωμος σὲ ἀμνὰς, ἀναρτηθέντα ἐν σταυρῷ βλέπουσα, ὀδυνηρῶς δέσποτα ἔκλαιεν, ὑμνοῦσα τὸ κράτος σου.

ᾠδὴ δ. Ἐπαρθέντα σε.

Ἐπαρθέντα σε ἐν ξύλῳ ἐθελουσίως, κατανοῶν ὁ ἥλιος, ἥλιε τῆς δόξης, σκότος ἐνεδύσατο, καὶ πέτραι ἐρρήγνυντο, καὶ τὸ τοῦ ναοῦ καταπέτασμα. Σταυρουμένου σου, καὶ λόγχῃ ἐκκεντουμένου, ἡ στρεφομένη κύριε ῥομφαία ἐδίδου νῶτα τῇ κελεύσει σου, λῃστῇ τῷ εὐγνώμονι, ἀνυμνολογοῦντι τὸ κράτος σου.

Μαρτυρικόν. Τειχιζόμενοι τῷ ὅπλῳ τῷ τοῦ σταυροῦ σου, οἱ ἀθλοφόροι κύριε, ἄτρωτοι τοῖς βέλεσι τῆς κακίας ὤφθησαν, καὶ τείχη κατέστρεψαν εἰδωλομανείας ἀνίδρυτα. Ἱερεῖα ὥσπερ ἄμωμα καὶ θυσίαι, καὶ προσφοραὶ ὁλόκληροι, τῷ δι' εὐσπλαγχνίαν μάρτυρες πτωχεύσαντι, κυρίῳ προσήχθητε, πόνων ἀμοιβὰς κομιζόμενοι. Θ. Ἡ τὸν ἄχρονον ἐν χρόνῳ ἀποτεκοῦσα καὶ παρθενίαν ἄμωμον, μόνη κεκτημένη, ξύλῳ ἀναρτώμενον, ὡς ἔγνως τὸν κύριον, πόνοις τὴν ψυχὴν κατεμέριζες.

ᾠδὴ ε. Σὺ κύριέ μου φῶς.

Νυγείσης σου πλευρᾶς, ἀφθαρσίας προχέεις μοι, ὦ δέσποτα θεῖα ῥεῖθρα, τῷ πλευρᾶς παραινέσει εἰς φθορὰν ὀλισθήσαντι. Ὁ τίμιος σταυρὸς, κατ' ἐχθρῶν ἐστὶ τρόπαιον. ὃν δέδωκας ἡμῖν λόγε, εἰς ψυχῶν σωτηρίαν, τοῖς πίστει ἀνυμνοῦσί σε. Μαρτυρικόν. Πύρινοι οἱ θνητοὶ λειτουργοῖς, νῷ συνήφθησαν, πῦρ ἔνυλον διελθόντες, τῶν μεγίστων βασάνων, ὡς μάρτυρες ὑπέρλαμπροι. Λυόμενον πολλοῖς, τὸ σαρκίον παθήμασι, τὴν ἄλυτον πρὸς τὸν κτίστην, τῆς ψυχῆς ἐβεβαίου τῶν μαρτύρων διάθεσιν. Θ. Ὁ μόνος ἀγαθὸς ὑπεδὺς μήτραν ἄφθορον, σαρκούμενος καθωράθη, καὶ σταυρούμενος, ὅπως φθορᾶς ἡμᾶς λυτρώσηται.

ᾠδὴ ϛ. Θύσω σοι μετὰ φωνῆς.

Ὁ πάσης ἀνωτάτω τιμῆς ὢν ἐπέκεινα, ἀτιμασθῆναι ἠνέσχου, ὅπως με κακίστως ἀτιμασθέντα, καὶ τιμήσῃς, καὶ σταυρῷ διασώσῃς φιλάνθρωπε.

πολλῶν ἄφεσιν πταισμάτων αἰτούμενοι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος. Δόξα καὶ νῦν θεοτοκίον σταυρώσιμον. ὡς γενναῖον.

Τὸν ἀμνὸν καὶ ποιμένα σε ἐπὶ ξύλου ὡς ἔβλεπεν, ἡ ἀμνὰς ἡ τεκοῦσα ἐποδύρετο, καὶ μητρικῶς σοι ἐφθέγγετο, υἱὲ ποθεινότατε, ταῦτά σοι ὁ ἀπειθὴς δῆμος ἀνταποδίδωσιν, ὁ θαυμάτων σου ἀπολαύσας μεγίστων, ἀλλὰ δόξα τῇ ἀῤῥήτῳ σου καὶ θείᾳ συγκαταβάσει φιλάνθρωπε. Εἰς τὸ ἀπόδειπνον ὁ κανὼν τῆς θεοτόκου ζήτει τῷ σαββάτῳ ἑσπέρας.



Τῇ δ΄. πρωῒ εἰς τὸν ὄρθρον καθίσματα σταυρώσιμα β΄. ἦχος δ΄.

Ἐξηγόρασας ἡμᾶς ἐκ τῆς κατάρας τοῦ νόμου τῷ τιμίῳ σου αἵματι, τῷ σταυρῷ προσηλωθείς, καὶ τῇ λόγχῃ κεντηθείς, τὴν ἀθανασίαν ἐπήγασας ἀνθρώποις, σωτὴρ ἡμῶν δόξα σοι. στίχος. Ὑψοῦτε κύριον τὸν θεὸν ἡμῶν καὶ προσκυνεῖτε. Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ ἑκουσίως, τῇ ἐπωνύμῳ σου καινῇ πολιτείᾳ, τοὺς οἰκτιρμούς σου δώρησαι Χριστὲ ὁ θεός, εὔφρανον ἐν τῇ δυνάμει σου τοὺς πιστοὺς βασιλεῖς ἡμῶν, νίκας χορηγῶν αὐτοῖς κατὰ τῶν πολεμίων τὴν συμμαχίαν ἔχοντες τὴν σήν, ὅπλον εἰρήνης ἀήττητον τρόπαιον. στίχος β΄. Θαυμαστὸς ὁ θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ ὁ θεός. μαρτυρικόν. Τῶν ἐν ὅλῳ τῷ κόσμῳ μαρτύρων σου, ὡς πορφύραν καὶ βύσσον τὰ αἵματα, ἡ ἐκκλησία στολισαμένη, δι' αὐτῶν Χριστὲ ὁ θεὸς βοᾷ σοι· τῷ λαῷ σου τοὺς οἰκτιρμούς σου κατάπεμψον, καὶ εἰρήνην τῇ πολιτείᾳ σου δώρησαι· καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος. Δόξα καὶ νῦν σταυροθεοτοκίον. Παρθένε παναμώμε, μήτηρ Χριστοῦ τοῦ θεοῦ, ῥομφαία διῆλθέ σου τὴν παναγίαν ψυχήν, ἡνίκα σταυρούμενον ἔβλεψας ἑκουσίως τὸν υἱὸν καὶ θεόν σου, ὅνπερ εὐλογημένη δυσωποῦσα μὴ παύσῃ, συγχώρησιν τῶν πταισμάτων ἡμῖν δωρήσασθαι. Τῇ δ΄. εἰς τὸν ὄρθρον ὁ κανὼν σταυρώσιμος, οὗ ἡ ἀκροστιχίς. Ὁ σταυρὸς ἐστὶν ὅπλον εἰς σωτηρίαν. ποίημα Ἰωσήφ. ᾠδὴ α΄. ἦχος δ΄. ὁ εἱρμός. Θαλάσσης τὸ ἐρυθραῖον πέλαγος ἀβρόχοις.

Ὁ τείνας τὸν οὐρανὸν ἐξέτεινας ἐπὶ σταυροῦ Ἰησοῦ τὰς σὰς παλάμας, ἔθνη τὰ μακρὰν ἀπὸ σοῦ χρηματίσαντα, ὡς ἀγαθὸς καὶ εὔσπλαγχνος περιφανῶς ἀγκαλιζόμενος. Σταυρῷ με, τῷ σῷ Χριστέ μου τεῖχισον, ὅπως μὴ γένωμαι θήραμα λύκου λόγῳ τὴν ἐμὴν ἐκζητοῦντος ἀπώλειαν, καὶ καθ' ἑκάστην λόχους μοι, καὶ τὰς ἐνέδρας ἑτοιμάζοντος. μαρτυρικόν. Τοῖς πόνοις, πόνου παντὸς τὸν πρόξενον κατεδαφίσαντες, καὶ νῦν κληροῦσθε ἄπονον ζωήν, πάντα πόνον κουφίζοντες, ἐκ τῶν ψυχῶν μακάριοι, καὶ τῶν σωμάτων ἡμῶν πάντοτε. Ἀλύτοις δεσμοῖς ὑμεῖς ἐλύ-

ῥαθυμίᾳ καὶ τυφλώττουσαν, μετανοίας πρὸς τρίβοις καθοδήγησόν με, βαπτιστὰ κυρίου πρόδρομε. Προστάτα τῆς ζωῆς μου, ἀυπλήπτως μου πρόδρομε, ἐξ ἐχθρῶν μου ἀφάτων ὁρωμένων τε, περιφύλαττε, σκέπε, καὶ βασιλείας οὐρανῶν μέτοχον ποίησον. θ'. Παρθένε θεοτόκε, τὸν υἱόν σου ἱκέτευε σὺν προφήταις, ἀποστόλοις τε, καὶ μάρτυσι τῆς μελλούσης ἀνάγκης ἀπολυτρώσασθαι ἡμᾶς, τοὺς σὲ τιμῶντας ἀεί.

ᾠδὴ η'. Ἀστέκτῳ πυρὶ ἑνωθέντες.

Ἀμνὸν τοῦ θεοῦ ὁ κηρύξας, τὸν τὰς ἁμαρτίας τῶν ἀνθρώπων ἀφαιροῦντα, Ἰωάννη θεῖε προφῆτα, τοῦτον ἐκδυσώπησον, τὸ φορτίον λῦσαι τῶν ἁμαρτημάτων μου. καὶ τῶν σωζομένων μερίδος ἀξιῶσαι. Καμίνου φλογὸς καιομένης, σκότους ἀφεγγοῦς τε, ἐξωτέρου λύτρωσαί με, τῆς ἐν σκότει πονηρῶν, ὅλον συνεχόμενον δυσωπῶ σε, λόγου τοῦ θεοῦ προανάρχε, διὰ τοῦ ἐνδόξου, καὶ θείου βαπτιστοῦ σου. θ'. Ὡς μήτηρ θεοῦ ἐκδυσώπει, μετὰ τῶν ἁγίων ἀγγέλων, προφητῶν τε ἀποστόλων, καὶ τῶν μαρτύρων, κινδύνων, καὶ θλίψεων, καὶ μελλούσης πάντας κολάσεως ῥύσασθαι τοὺς σὲ θεοτόκον ἀεὶ ὁμολογοῦντας.

ᾠδὴ θ'. Ἐν νόμῳ σκιᾷ καί.

Ὡς μάρτυς Χριστοῦ, ὡς θεῖος βαπτιστής, ὡς μετανοίας λαμπτήρ, ὡς ὄρθρος εὐσεβείας, παλαιᾶς μεσίτης καὶ καινῆς, παλαιωθεῖσαν κακίᾳ τὴν ταπεινήν μου ψυχὴν δι' ἐπιγνώσεως θείας καινουργήσας φωταγώγησον. Ἐν ὥρᾳ φρικτῇ, ἐν ὥρᾳ φοβερᾷ, ἐν ὥρᾳ δίκης σοφέ, κρινόμενόν με ῥῦσαι ἀπειλῆς, μενούσης με ἐκεῖ καθυπακούοντα, ἔχων τῶν σῶν δεήσεων, ὅσπερ φίλος, νυμφίον τὸν σωτῆρα τῶν ψυχῶν ἡμῶν. θ'. Ὡς μήτηρ θεοῦ, ὡς μήτηρ τοῦ ἐκ σοῦ τεχθέντος λόγου, μετὰ τῶν ἀσωμάτων, ἀποστόλων τε, καὶ προφητῶν, ἱεραρχῶν, καὶ μαρτύρων, τοῦτον δυσώπει ἀεί, τοῦ εἰρηνεῦσαι τὸν κόσμον παναγία μητροπάρθενε.



Τῇ γ'. εἰς τὸν ὄρθρον καθίσματα κατανυκτικὰ καὶ κανὼν κατανυκτικός, καθὼς προγεγράφηται.
Τῇ β'. εἰς τὸν ὄρθρον.



Τῇ γ'. ἑσπέρας στιχηρὰ σταυρώσιμα εἰς τὸ στίχον τοῦ ἑσπερινοῦ ἦχος δ'.

Ὅπλον ἀήττητον Χριστέ, τὸν σταυρόν σου ἡμῖν δέδωκας, καὶ ἐν τούτῳ νικῶμεν τὰς προσβολὰς τοῦ ἀλλοτρίου. στίχος α'. Πρὸς σὲ ἦρα τούς.

Πάντοτε ἔχοντες Χριστὲ τὸν σταυρόν σου εἰς βοήθειαν, τὰς παγίδας τοῦ ἐχθροῦ εὐχερῶς καταπατοῦμεν. στίχος β'. Ἐλέησον ἡμᾶς κύριε ἐλέησον ἡμᾶς. μαρτυρικόν.

Ἔχοντες παρρησίαν πρὸς τὸν σωτῆρα ἅγιοι μάρτυρες, πρεσβεύσατε ἀπαύστως ὑπὲρ ἡμῶν τῶν ἁμαρτωλῶν.

ζωή μου τοῖς ἐν ᾅδῃ, πνεύματι θείῳ ἐγγίζουσαν προμηνύσας προφῆτα, τὴν ἐμὴν ζώωσον, νενεκρωμένην ψυχὴν, σῇ ταῖς παρακλήσεσι, καὶ ἐκ τάφου πταισμάτων ἀνάστησον δέομαι, ἔνδοξε πρόδρομε. θ'. Μετὰ τῶν ἀγγέλων, μετὰ ἀρχαγγέλων παρθένε, μετὰ ἁγίων ἁπάντων, τῇ ἐκ σοῦ κυρίου ἐπιφανέντα ἡμῖν αἴτησαι, δεόμεθα τὴν ἀληθῆ θεοτόκον καθομολογούντων σε, κινδύνων ῥύσασθαι.

ᾠδὴ γ'. Ὁ ἐκ μὴ ὄντων τὰ πάντα.

Φωνὴ τοῦ λόγου γενόμενος βαπτιστά. φωνὰς τῶν τιμώντων σε, πρὸς αὐτὸν νῦν κατεύθυνον· καὶ πταισμάτων ἄφεσιν, τῇ μεσιτείᾳ ἡμῖν τῇ σῇ παράσχου. Ἡ μάρτυρα σοι, λελόμησαι, καὶ δεινῶς σωτὴρ ἐπλημμέλησα, καὶ ψυχὴν κατερρύπωσα. διὰ τοῦτο δέομαι, διὰ τοῦ σοῦ βαπτιστοῦ οἰκτείρησόν με. θ'. Σὺν ἀποστόλοις, προφήταις ἱεράρχαις, σὺν μάρτυσιν ἄχραντε, σὺν ταῖς ἄνω δυνάμεσι τῷ υἱῷ σου πρέσβευε τοῦ οἰκτειρῆσαι ἡμᾶς τοὺς σὲ ὑμνοῦντας.

ᾠδὴ δ'. ὁ εἱρμὸς Ἐξ ὄρους προσέ.

Λοὺς γοῦν σὲ φωνὴν, τῇ σαρκὶ φανέντος ὑπάρχουσαν, πρόδρομε κυρίου δυσωπῶ ἀλογωτάτων ῥῦσαί με πράξεων, τῇ λόγοις τιμῶντάς σε, καὶ καταξίως πίστει μακαρίζοντα. Στέναξον ψυχὴ, καὶ θεῷ τῷ κτίσῃ σου βόησον. ἥμαρτον ἱλάσθητι χριστὲ, καὶ φοβερᾶς με ῥῦσαι κολάσεως, κινδύνων καὶ θλίψεων, ταῖς τοῦ προδρόμου θείαις παρακλήσεσι. θ'. Μήτηρ τοῦ θεοῦ, στερρότερον ὄχημα, μετὰ τῶν ἀΰλων λειτουργῶν, μετὰ ἁγίων ἁπάντων ἱκέτευε, χριστὸν ὃν ἐκύησας, ἀπεγνωσμένον σῶσαί με πανάμωμε.

ᾠδὴ ε'. Ἐπὶ τῆς γῆς.

Τὸν εἰς βυθὸν ἁμαρτίας με πεσόντα, καὶ ἡδοναῖς τὴν ψυχὴν μολυνθέντα, καὶ κινδυνεύοντα. τοῦ κυρίου πρόδρομε προσφυγόντα σοι διάσωσον. Σὺ προφητῶν προφητικώτερος ὤφθης, καὶ γὰρ αὐτὸν ἐθεάσω προφῆτα τὸν κηρυττόμενον, ὃν ἀπαύστως αἴτησαι τοῦ φωτίσαι τὰς ψυχὰς ἡμῶν. θ'. Τῶν οὐρανῶν πλατυτέρα σὺ ὤφθης ὡς ἀληθῶς, θεοτόκε παρθένε θεοχαρίτωτε, τῆς στενοχωρούσης με ἁμαρτίας ἐλευθέρωσον.

ᾠδὴ ς'. Ἄβυσσος ἐσχάτη ἁμαρτιῶν.

Ἄβυσσον ἐλέους ἐν ποταμῷ, προφῆτα λοῦεις ὑπερῷα τοῖς ὕδασιν, οὐρανοὺς στεγάζοντα Ἰησοῦν τὸν φιλάνθρωπον. ὃν δυσώπησον ἐπομβρῆσαι μοι ἄφεσιν. Ἤγγισεν ἡ βασιλεία τῶν οὐρανῶν, μετανοεῖτε ἀνεκραύγαζες πρόδρομε, ἧς τυχεῖν ἀξίωσον τοὺς πόθῳ σε γεραίροντας, καὶ τῇ σκέπῃ σου τῇ σεπτῇ καταφεύγοντας. θ'. Ἄχραντε ἡ σάρκα πλαστουργῷ δανεισαμένη, σὺν ταῖς ἄνω δυνάμεσι, σὺν προφήταις ἅπασιν ἀποστόλοις, καὶ μάρτυσι, τοῦτον πρέσβευε, οἰκτειρῆσαι καὶ σῶσαί με.

Τὸ κοντάκιον καὶ τὸν οἶκον ζήτει εἰς τὸ γενέθλιον αὐτοῦ Ἰουνίῳ. κδ'. ᾠδὴ ζ'. Τρεῖς παῖδ.

Ὁ λύχνος τοῦ ἡλίου τὴν ψυχήν με καταύγασον. ἐσβεμμένην ῥᾳθυ-

μα φανεροῦν πᾶσαν πρᾶξιν, γυμνὴν ἐπὶ ἀγγέλων καὶ βροτῶν. ὢ πῶς δεινὴ ἡ ἀπόφασις, ἣν τοῖς πταίσασι μέλλεις διδόναι, ἐξ ἧς ῥῦσαί με Χριστέ. πρὸ τοῦ τέλους παρέχων ἐπιστροφῆς μοι δάκρυα. *μαρτυρικ.* Σημειωθέντες τῷ πόθῳ, τοῦ ἀμνοῦ καὶ ποιμένος, οἱ ἔνδοξοι καὶ θεῖοι ἀθληταί. αἵματι θύονται χαίροντες, ὥσπερ ἄκακοι ἄρνες, καὶ πᾶσαν πρωτοτόκων ἀληθῶς, ἐκκλησίαν ἁγίαν, ἐν οὐρανοῖς φαιδρυνοῦσιν. Ἡλιακῶς λαμπηδόσιν, ὡς φωστῆρες δειχθέντες, τῷ φέγγει τῆς ἀθλήσεως ὑμῶν. πᾶσαν ψυχὴν καταυγάζετε, πάντα ζόφον τῆς πλάνης διώκετε γενναῖοι ἀθληταί. διὰ τοῦτο ἐν πίστει ἀξίως μακαρίζεσθε. *θ'.* Φεῖσαί μου κύριε φεῖσαι, ὅταν μέλλῃς με κρῖναι, καὶ μὴ καταδικάσῃς με εἰς πῦρ, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, δυσωπεῖ σε παρθένος, ἡ σὲ κυοφορήσασα Χριστέ, τῶν ἀγγέλων τὰ πλήθη, καὶ τῶν μαρτύρων σύλλογος. *εἰς τὸν στίχον τῶν αἴνων στιχηρὰ κατανυκτικά. ἦχος β'.*

Τῶν πεπραγμένων μου δεινῶν. ἐννοῶν τὰ ἄτοπα, ἐπὶ τοὺς σοὺς καταφεύγω οἰκτιρμούς, τελώνην μιμούμενος, καὶ πόρνην τὴν δακρύσασαν, καὶ τὸν ἄσωτον υἱόν. διὸ καὶ προσπίπτω σοι ἐλεῆμον. πρίν με καταδικάσῃς φεῖσαί μου ὁ θεὸς καὶ ἐλέησόν με. *στίχος α'. Ἐνεπλήσθημεν τὸ πρωῒ τοῦ ἐλέους σου.* Τὰς ἀνομίας μου πάριδε κύριε ὁ ἐκ παρθένου τεχθείς, καὶ τὴν καρδίαν μου καθάρισον, ναὸν αὐτὴν ποιῶν τοῦ ἁγίου πνεύματος. μή με ἐξουδενώσῃς ἀπὸ τοῦ σοῦ προσώπου, ὁ ἀμέτρητον ἔχων τὸ ἔλεος. *στίχος β'. Καὶ ἔστω ἡ λαμπρότης κυρίου. μαρτυρικ.* Ὑπὲρ Χριστοῦ παθόντες, μέχρι θανάτου, ὢ ἀθλοφόροι μάρτυρες, ψυχὰς μὲν ἔχετε ἐν οὐρανοῖς ἐν χειρὶ θεοῦ, καὶ κατὰ κόσμον ὅλον δορυφορεῖται ὑμῶν τὰ λείψανα. ἱερεῖς καὶ βασιλεῖς προσκυνοῦσι, καὶ λαοὶ πάντες ἐπαγαλλόμενοι, συνήθως βοῶμεν. ὕπνος τίμιος ἐναντίον κυρίου ὁ θάνατος τῶν ὁσίων αὐτοῦ. *Δόξα τοῦ ἁγίου εἰ δ' οὐκ ἔχει, λέγε. δόξα καὶ νῦν. θ.* Ὡς ἐλαία κατάκαρπος, ἡ παρθένος ἐβλάστησε, σὲ τὸν καρπὸν τῆς ζωῆς καρποφορεῖν τῷ κόσμῳ, τὸ μέγα καὶ πλούσιον ἔλεος.

Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ κυρίῳ.



Τῇ β'. ἑσπέρας στιχηρὰ τὰ κατανυκτικὰ τοῦ στίχου, ἐχάραξαν τῇ κυριακῇ ἑσπέρας.

Τῇ β'. ὀψὲ εἰς τὸ ἀπόδειπνον. Κανὼν τοῦ προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου. ποίημα θεοφάνους. ἦχος γ'. ᾠδὴ α'. ὁ εἱρμός. Ὁ τὰ ὕδατα πάλαι.

Στειρευούσης νηδύος, βλάστημα θεῖον, καρποὺς μὲ τῶν ἀρετῶν ἐκβλαστάνειν, τῷ θεῷ πρέσβευε, τῆς ἁμαρτίας λύων τὴν κατήφειαν, καὶ ἀπελαύνων τὸν ζόφον, ἐκ τῆς διανοίας μου κυρίου πρόδρομε. Τὴν

ζωὴν

διὸ τὴν ὑπὲρ ἔννοιαν ἀγαθῶν ἠξιώθητε μάρτυρες. Ὡς καλοὶ, ὡς ὡραῖοι, ὡς ἄντιμοι, τῷ καλλοποιῷ καὶ ὡραίῳ συνήφθητε, ὑπὲρ ἡμῶν πρεσβεύοντες, πανάοιδιμοι πάντοτε μάρτυρες. Θ'. Ἐκ πασῶν γυναικῶν ἐξελέξατο, σὲ τὴν καλλονὴν Ἰακὼβ, ἣν ἠγάπησεν, ὁ ποιητὴς πανάμωμε, καὶ ἐκ σοῦ ἀνατείλας ἐπέφανεν.

ᾠδὴ ζ'. Εἰκόνος χρυσῆς.

Νόος ἐκτροπαῖς, καὶ δαιμόνων προσβολαῖς, μακρὰν γενόμενος, τῶν ἀγκαλῶν σου ὡς ἄσωτος, πάσης αἰσχύνης πληρούμενος. νῦν δὲ ἐπιστρέψας· κραυγάζω, ἅπερ ἐκεῖνος τὸ ἥμαρτον. μή με βδελύξῃ Ἰησοῦ ὁ σαρκωθεὶς δι' ἐμέ. Θεὲ τοῦ παντὸς, Νινευίτας ἀπειλῆς γενομένης θάνατον, μετανοήσαντας πάλαι ἔσωσας. ὡσαύτως μόνε φιλάνθρωπε, τὴν ὑπερβολῇ ἁμαρτίας μολυνθεῖσαν καρδίαν μου, νῦν ἐπιστρέψασαν, φρικτῆς ῥῦσαι κολάσεως. μαρτυρικ. Ἐπλήγη δεινῶς ὁ πληγῶσαι βουληθεὶς ὑμᾶς κακοῦργος, θεομακάριστοι θεῖοι μάρτυρες, καὶ ἀνίατος, ἔμεινε, πᾶσι δὲ πιστοῖς ἰατρεῖον, αἱ πληγαὶ ὑμῶν ὤφθησαν, τοῖς πληγωθεῖσι, προσβολαῖς τοῦ παλαιοῦ πτερνιστοῦ. Οὐ θῆρας πικροὺς, οὐ τυράννων ἀπειλὰς, οὐ ξίφη τέμνοντα, οὐ πυρισήρια κατεπτοήθητε ὄργανα. ὡς ἐν ἀλλοτρίῳ δὲ πάντα ὑπομείνατε σώματι μεγαλομάρτυρες. διὸ ἐστεφανώθητε. Θ'. Ἀΰλου φωτὸς, οἰκητήριον ἡ σὴ μήτρα γεγένηται, τοῦ φρικτωρίαις θείας γνώσεως, τὴν ἀθείαν μειώσαντος, ἄχραντε θεόνυμφε κόρη, ὃν ὑμνοῦντες κραυγάζομεν. εὐλογητὸς εἶ ὁ θεὸς ὁ τῶν πατέρων ἡμῶν.

ᾠδὴ η'. Τὸν ἐν καμίνῳ τοῦ.

Ὑποπεσὼν τῷ πονηρῷ, ταῖς ἐκείνου μηχαναῖς κατεδουλώθην, καὶ ὁρῶν με ὁ πλάνος ἐν ἀπωλείᾳ πολλῇ καυχᾶται, τούτου με ἐξάρπασον, ἡ τῶν πλανωμένων ἐπιστροφὴ οἰκτίρμον. Λῦσον ἀλύτοις με δεσμοῖς τῶν τοῦ σώματος παθῶν κεκρατημένον. ὁ τὰ ἄλυτα λύσας, τῶν ἀπ' αἰώνων δεσμά. καὶ βρέχειν πρὸς βίβοις δίδωσον τὰς σωτηριώδεις, Χριστὲ σωτὴρ τοῦ κόσμου. μαρτυρικόν. Οἱ τῶν παθῶν δημιουργοὶ, ἐπ' ἐμοὶ τῷ ταπεινῷ πᾶσαν κακίαν, ἐξετείναντο ὄντως, τῶν παθημάτων Χριστοῦ, ὡς ὄντες μιμηταὶ μακάριοι μάρτυρες, τῆς τούτου λυτρώσασθέ με βλάβης. Γόνυ μὴ κάμψαντες γλυπτοῖς, ἐν καμίνῳ αἰκισμῶν, ὥσπερ οἱ παῖδες, ἐνεβλήθητε πάλαι, καὶ δροσισμῷ θεϊκῷ, ὀφθέντες ἄφλεκτοι ἐμείνατε, μάρτυρες ὑμνοῦντες Χριστὸν εἰς τοὺς αἰῶνας. Θ'. Ἐξασθενήσασαν πολλαῖς, προσβολαῖς τοῦ πονηροῦ θεογεννῆτορ, τὴν ἀθλίαν ψυχήν μου. ταῖς ῥωστικαῖς λιταῖς παρθένε ὑγιῆ ἀπέργασαι. ἵνα σὲ δοξάζω εἰς πάντας τοὺς αἰῶνας.

ᾠδὴ θ'. Τὸν ἐκ θεοῦ θεὸν λόγον.

Ἰδοὺ καιρὸς ἐργασίας. τί καθεύδεις ἀφρόνως, ψυχὴ ἐν ῥαθυμίᾳ παντελεῖ, ἔγειρον, δάκρυσον, φαίδρυνον, τὴν λαμπάδα σκεύασον, ἐγγίζει ὁ νυμφίος τῶν ψυχῶν, μὴ βραδύνῃς καὶ μείνῃς τῆς θείας θύρας ἔξωθεν. Ὢ πῶς φρικτόν σου τὸ βῆμα

καὶ μάρτυρες τοῦ σωτῆρος, ὡς περτείχη κατηδάφισαν τὰ τῆς πλάνης γενναίως ὀχυρώματα. Δυνάμει θεϊκῇ τὸ ἀσθενὲς ὑμῶν γενναῖοι νευρώσαντες ἀθλοφόροι, τὴν ἰσχὺν τοῦ πολεμήτορος παντελεῖ ἀπωλείᾳ παρεδώκατε. θ'. Μαρία τὸ χρυσοῦν θυμιατήριον, παθῶν μου ἀπέλασον τὸ δυσῶδες. καὶ στερέωσον κλονούμενον, προσβολαῖς τοῦ δολίου πολεμήτορος. ᾠδὴ δ'. Ὑμνῶ σου ἀκοήν.

Ἰλύϊ ἁμαρτίας πέπτωκα. καὶ τὴν ἄνωθεν εὐμορφίαν ἀπώλεσα κύριε, καὶ δέδοικα τὴν τιμωρίαν. διὸ μετανοίας ὡραιότητι τὴν ταπεινὴν ψυχήν μου καταφαίδρυνον. Δολίαις λαλιαῖς ὁ δόλιος ἀπὸ σοῦ με ἀποσυλήσας, κατάβρωμα ἴδιον εἰργάσατο, θεὲ τῶν ὅλων, αὐτοῦ τῆς κακίας με ἐξάρπασον, καὶ μετανοίας τρόποις ἀνακάλεσαι. Ὁ χρόνος τῆς ζωῆς μου γέγονεν, ἐργασία μοι ἀπωλείας, μιαρὸν ταύτῃ σῶσόν με. ὡς ἔσωσας ποτὲ τὴν πόρνην, Χριστὲ μετανοοῦσαν, τῇ κελεύσει σου, ἵνα ὑμνῶ σε μόνε ἀναμάρτητε. μαρτυρικόν. Ὑπάρχων καινουργὸς ὁ ἄνομος τῆς κακίας ἐθελουσίως, τοὺς τοῦ Χριστοῦ μάρτυρας, ἠνάγκαζεν ἀψύχοις σέβας θεοῖς ἀπονέμειν, ἀλλ' ἠμαύρωται. θεὸν γὰρ μόνον εὗρον τὸν ποιήσαντα. Μονάδα τῇ οὐσίᾳ σέβοντες, καὶ τριάδα τοῖς χαρακτῆρσι θεότητα ἄκτιστον, τοῖς κτίσμασιν, οὐδ' ὅλως σέβας ὑμεῖς ἐνείματε. ὅθεν κολάσεις πάσας ὑπεμείνατε. θ'. Σαρκοῦται ἐξ ἁγνῶν αἱμάτων σου καὶ ἀνθρώποις ἑνοῦται, θέλων ὁ κύριος ἄχραντε, καὶ δέχεται μετανοοῦντας, πρὶν ὑπαχθέντας ἁμαρτήμασι, ταῖς λιταῖς ἀεὶ κατακαμπτόμενος.

ᾠδὴ ε'. Ὁ τοῦ φωτὸς χορηγός.

Ὁ ὀμματώσας τυφλούς, τὴν τυφλωθεῖσάν μου ψυχὴν φώτισον, ἐπαγρυπνεῖν, ταύτην ἐνισχύων, εἰς πράξεις ἀγαθάς, ὕπνον ἀμελείας τελείως μισήσασαν. Ἴασαι μόνε σωτὴρ τὴν πληγωθεῖσάν μου ψυχήν, δήγματι τῆς χαλεπῆς ὄντως ἁμαρτίας. ὁ πάλαι τὰς ψυχὰς τοῦ περιπεσόντος λῃσταῖς ἰασάμενος. μαρτυρικόν. Δῆμος στερρῶν ἀθλητῶν δήμιον ἀνόμων διωκτῶν ᾔσχυνε, πολυειδέσι πόνοις ὑπομείνας, καὶ νῦν τοῖς ἱεροῖς δήμοις τῶν ἀγγέλων ἀεὶ ἐπαγάλλονται. Ἄστρα πολύφωτα, μαρμαρυγὰς ὑπομονῆς πέμποντα, καὶ τῶν πιστῶν ἐν πνεύματι θείῳ, φωτίζοντα ψυχάς, οἱ πεφωτισμένοι ἐδείχθησαν μάρτυρες. θ'. Νέον ὡς βρέφος ἡμῖν τὸν προαιώνιον υἱὸν τέτοκας θελητικαῖς δυσὶν ἐνεργείαις, ὑπάρχοντα διπλοῦν, ὡς ἄνθρωπον ἅμα θεόν τε παναμώμε.

ᾠδὴ ϛ'. Ἐν ἀβύσσῳ.

Κατεβλύθην κακίᾳ τοῦ ὄφεως, καὶ ἐν ἀπογνώσεως κλίνῃ κατάκειμαι, ὁ παραλύτοις ῥήματι ἀνορθώσας Χριστέ με ἀνάστησον. Ῥιπιζόμενον αὔραις τοῦ δράκοντος, καὶ κλυδωνιζόμενον κύμασι πάντοθεν, τῆς ἁμαρτίας σῶσόν με, ὡς τὸν Πέτρον φιλάνθρωπε κύριε. μαρτυρικ. Ὑπερβάντες τοὺς ὅρους τῆς φύσεως. τὰς ὑπὲρ τὴν φύσιν βασάνους ὑπέστητε.

τόκον, ἀκαταπαύστως μεγαλύνουσι.



Τῇ β΄. εἰς τὸν ὄρθρον μετὰ τὴν συνήθη στιχολογίαν. καθίσματα κατανυκτικὰ δύο, ἦχος β΄. τὸ α΄.

Ἐλέησόν με εἶπεν ὁ Δαβὶδ, κἀγώ σοι κράζω, ἥμαρτον σωτήρ. τὰς ἐμὰς ἁμαρτίας διὰ τῆς μετανοίας ἐξαλείψας ἐλέησόν με. στίχος α΄. Κύριε μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με. τὸ β΄. Ἐλέησόν με ὁ θεὸς ἐλέησόν με, ἐπὶ δυσὶν ἁμαρτήμασιν ὁ Δαβὶδ ἐθρήνει, ἐπὶ μυρίοις ἐγὼ πλημμελήμασι βοῶ σοι, ἐκεῖνος τὴν στρωμνὴν τοῖς δάκρυσιν ἔβρεχεν. ἐγὼ δὲ ῥανίδα μίαν οὐ κέκτημαι, ἀπέγνωσμαι, καὶ δέομαι ἐλέησόν με ὁ θεὸς κατὰ τὸ μέγα σου ἔλεος. στίχος β΄. Θαυμαστὸς ὁ θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ ὁ θεὸς Ἰσραήλ. μαρτυρικόν. Ὁ φαιδρύνας τοὺς ἁγίους σου ὑπὲρ χρυσόν. καὶ δοξάσας τοὺς ὁσίους σου ὡς ἀγαθός, ὑπ' αὐτῶν δυσωπούμενος Χριστὲ ὁ θεὸς, τὴν ζωὴν ἡμῶν εἰρήνευσον ὡς φιλάνθρωπος, καὶ τὴν εὐχὴν κατεύθυνον ὡς θυμίαμα, ὁ μόνος ἐν ἁγίοις ἀναπαυόμενος. Δόξα καὶ νῦν. θεοτοκίον. Θεοτόκε μὴ παρίδῃς με δεόμενον ἀντιλήψεως, τῆς παρὰ σοῦ. ἐπὶ σοὶ γὰρ πέποιθεν ἡ ψυχή μου καὶ ἐλέησόν με.

Κανὼν κατανυκτικὸς, εἰς τὸν ὄρθρον. ἦχος β΄. ᾠδὴ α΄. οὗ ἡ ἀκροστιχίς. Ὄμβροις δίδου μοι δακρύων θεοῦ λόγε. ποίημα θεοφάνους. ὁ εἱρμός. Δεῦτε λαοί.

Ὁ σαρκωθεὶς, καὶ μὴ δικαίους ὡς ἔφησας. ἁμαρτωλοὺς καλέσαι δὲ, παραγενόμενος εἰς μετάνοιαν λόγε, πολλὰ ἡμαρτηκότα δέξαι, καὶ σῶσόν με. Μόνος ἐγὼ τῇ ἁμαρτίᾳ δεδούλωμαι. μόνος ἐγὼ τοῖς πάθεσι θύραν ἠνέῳξα. ἀδιάλλακτε μόνε, ἐπιστρέψαν με σῶσον, τῇ διαλλαγῇ νίᾳ σου. μαρτυρικόν. Βήματι σῷ, στεφηφοροῦντες παρίστανται οἱ ἀθλοφόροι κύριε, τὰ τοῦ ἀλάστορος ἐκνικήσαντες θράση, καὶ τὴν ἀθανασίαν καταπλουτίσαντες. Ῥεῖθρον ἡμῖν τῶν ἰαμάτων πηγάζοντες, οἱ ἀθλοφόροι μάρτυρες τὰ ἀναβλύζοντα τῆς σαρκὸς ἡμῶν πάθη ξηραίνουσι δυνάμει τοῦ θείου πνεύματος. θεοτοκίον. Ἡ τὴν πηγὴν τῆς ἀπαθείας κυήσασα, τραυματισθέντα πάθεσι κόρη θεράπευσον, καὶ πυρὸς αἰωνίου ἐξάρπασόν με μόνη θεοχαρίτωτε. ᾠδὴ γ΄. Στερέωσον ἡμᾶς ἐν σοὶ κύριε.

Ὁ μήτραν ὑποδὺς Χριστὲ ἄφθορον, φθαρεῖσαν τοῖς πάθεσι τὴν ψυχήν μου, μετανοίᾳ καινοποίησον, καὶ φωτὸς ἀιδίου δεῖξον ἔμπλεον. Ὑπήκουσα ἐχθροῦ παραπικραίνοντος, καὶ πᾶσαν ἐτέλεσα ἁμαρτίαν, καὶ ἀφρόνως παρεπίκρανα σὲ τὸν μόνον μακρόθυμον, φιλάνθρωπε. μαρτυρικόν. Σταυρῷ τειχιζόμενοι, οἱ ἀήττητοι ὁπλῖται,

των ποιητὴν συλλαβοῦσα καὶ κύριον. Θεομῆτορ ἄχραντε, ἐν τῇ γαστρί σου ἀσυγχύτως σωματωθέντα πανάμωμε. ᾠδὴ ς'. Ἐκύκλωσεν.

Τὰ τάγματα τῶν ἀσωμάτων κύκλῳ τοῦ θρόνου παριστάμενα, τοῦ τῆς δόξης σου, φωναῖς ἀγγελικαῖς, ταῖς ἀκαταπαύστοις σε γεραίρουσι, σὺ γὰρ ἰσχὺς τούτων ὑπάρχεις Χριστὲ καὶ ὕμνησις. Οἱ πρόσωπον, τὸ σὸν ὁρῶντες ἄγγελοι, τὸ κάλλος τὸ ἀμήχανον, τὴν ὑπέρθεον δὲ πρέπειαν τῆς σῆς, θείας ἀγλαΐας ἐκλαμπρύνονται. σὺ γὰρ αὐτῶν, καὶ φῶς ὑπάρχεις καὶ ἀγαλλίαμα. Σεσάρκωται, ὁ πρὶν ὑπάρχων ἄσαρκος, ὁ λόγος ἐκ σοῦ πάναγνε, ὁ τὰ σύμπαντα θελήματι ποιῶν. ὁ τῶν ἀσωμάτων τὰ στρατεύματα, παραγαγὼν, ἐκ τοῦ μὴ ὄντος ὡς παντοδύναμος. κοντάκιον ἦχος β'. Ἀρχιστράτηγοι Θεοῦ. καὶ τὸν οἶκον ζήτει Νοεμβρίῳ η'. φ. ρκζ. ᾠδὴ ζ'. Σὲ νοητὴν θεοτόκε κάμινον

Ἄναρχον φῶς, σὺ ὑπάρχεις δέσποτα. φωτὸς ἐκλάμψαν ἐκ πατρὸς, τῶν ἀγγέλων τὰς στρατιὰς, φῶτα κατεσκεύασας, ἔσοπτρα δεχόμενα, τὴν ἀστραπήν σου τὴν ἄδυτον, ὁ αἰνετὸς τῶν πατέρων θεὸς καὶ ὑπερένδοξος. Γένος βροτῶν ὁ τῶν ὅλων κύριος, ἐπισκιάσεις ἐμφανῶς, περισῴζεις ἀγγελικαῖς. τούτοις γὰρ ἐπέστησας, πᾶσι τοῖς πιστεύουσι, καὶ ὀρθοδόξως ὑμνοῦσί σε, τὸν αἰνετὸν τῶν πατέρων θεὸν καὶ ὑπερένδοξον. θ'. Ἐκ σοῦ σεμνὴ ὁ υἱὸς σεσάρκωται, ὁ πρὶν ἀμήτωρ ἐκ πατρὸς, καὶ ἀπάτωρ τὸ καθ' ἡμᾶς, δι' ἡμᾶς γενόμενος, ᾧ καὶ νῦν λατρεύουσι τῶν ἀσωμάτων αἱ φάλαγγες, ὡς αἰνετὸν τῶν πατέρων θεὸν καὶ ὑπερένδοξον.

ᾠδὴ η'. Ἐν καμίνῳ.

Ὦ σὺ πηγαία πάντων τῶν καλῶν, ἡ θεαρχικωτάτη, παράγει θεία δυνάμει. φῶτα δεύτερα τὸ φῶς, τὸ πρῶτον δεχόμενα, καὶ βοῶντα πάντα τὰ ἔργα τὸν κύριον ὑμνεῖτε καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας. Νοῦς ὁ πρῶτος καὶ δημιουργὸς, ὑπερκοσμίους νόας, ἀγγέλων ὑπερουσίως. ὑπεστήσατο αὐτῷ, σαφῶς πλησιάζοντας, καὶ βοῶντας. πάντα τὰ ἔργα τὸν κύριον. θ'. Ὑπὲρ λόγον, τὸν ἐκ τοῦ πατρὸς τεχθέντα πρὸ αἰώνων, ἀφράστως σεσαρκωμένον ἀπεκύησας ἡμῖν παρθένε πανάμωμε. ᾧ βοῶμεν. πάντα τὰ ἔργα.

ᾠδὴ θ'. Τύπον τῆς.

Μύστας τῆς ἀρρήτου δόξης σου, τοὺς ἀσωμάτους νόας, σῶτερ ὑπέστησας, καὶ νῦν δι' αὐτῶν τὸν σὸν λαὸν διαφύλαξον, τὸν πίστει, καὶ πόθῳ προστρέχοντα, ἵνα τὸν σὲ δεσπότην ἀκαταπαύστως μεγαλύνωμεν. Νέμεις τῆς εἰρήνης ἄγγελον, περιφρουροῦντα παντοκράτορ τὴν ποίμνην σου. Τῆς εἰρήνης γὰρ, καὶ τῆς ἀγάπης σὺ αἴτιος, καὶ τὴν ἔμφρονα πίστιν φυλάττοντα, καὶ πάσας τὰς αἱρέσεις. τῇ σῇ δυνάμει καταλύοντα. θ'. Στίφη τῶν ἀγγέλων πάναγνε, νῦν ἀσιγήτως τὸν σὸν τόκον γεραίρουσι ταῖς γὰρ τάξεσιν ἐπισκοποῦντα θεώμενοι, ταῖς αὐτῶν θυμηδίαις ἐμπίπλανται, καὶ σὲ τὴν θεο-

τόκον,

Εἰς τὸ ἀπόδειπνον. κανὼν τῶν ἀσωμάτων. οὗ ἡ ἀκροστιχίς.

Θ εοφάνης ὁ πρῶτος ἀγγέλων ὕμνος. ἦχος α΄. ᾠδὴ α΄. ὁ εἱρμὸς. Σοῦ ἡ τρόπαιοῦχος δεξιά.


Θ Ρόνῳ παριστάμενοι φαιδρῶς, τῷ τῷ δεσπότῃ πανάγιοι ἄγγελοι. τὸν πατρὶ συνάναρχον, καὶ τῆς αὐτοῦ μεγάλης βουλῆς ἄγγελον, λόγον μοι ἐμπνεῦσαι, ὑμᾶς ὑμνοῦντι πρεσβεύσατε. Ε σοπτρα φωτὸς θεαρχικοῦ, καὶ βισηλίου λαμπάδος, τὴν ἔλλαμψιν πᾶσαν εἰς δεχόμενα, ὡς ἐφικτὸν τὰ τῶν ἀγγέλων τάγματα. πρῶτος ἐννοήσας ὅνοις ὁ θεῖος ἀπέστησεν. Θ. Ο διακοσμήσας ὡς θεὸς, ταξιαρχίας τῶν ἄνω δυνάμεων, μήτραν ἀπειρόγαμον, τῶν σεραφὶμ ὑψηλοτέραν ᾤκησε, τὴν σὴν θεοτόκε. καὶ σὰρξ ἀτρέπτως ἐγένετο. ᾠδὴ γ΄. Ο μόνος εἰδὼς.

Φ ωτὶ θεουργῷ τὰ σεραφὶμ, ἀμέσως πλησιάζοντα, καὶ πολλαχῶς αὐτοῦ ἐμπιμπλάμενα, ταῖς πρωτοδότοις σαφῶς ἐλλάμψεσι, πρωτουργῶς λαμπρύνονται, καὶ ὡς φῶτα δεύτερα, χρηματίζουσι θέσει θεούμενα. Α γγέλων λαμπρότητας ὑμνεῖν, προθύμως ἐφιέμενοι, τὴν δι᾽ αὐτῶν θεόθεν βοήθειαν, χορηγουμένην πιστοὶ αἰτήσωμεν, νοὸς καθαρότητι, καὶ πανάγνοις σώμασι, καὶ τευξώμεθα τούτων ἐλλάμψεως. Ν οῦν τὸν ὑπερούσιον ἰδεῖν, ὡς θέμις ἀξιούμενος, ὁ Γαβριὴλ παρθένε πανάμωμε, προσεχαρίσατο σοι, τὴν ἐκόμισε, τὴν τοῦ λόγου σύλληψιν, ἐμφανῶς μηνύων σοι, καὶ τὸν ἄφραστον τόκον κηρύττων σου.

ᾠδὴ δ΄. Ορος σὲ τῇ χάριτι.

Ο Ι θρόνοι τὸν πρῶτον συμπληροῦντες διάκοσμον. καὶ χερουβὶμ καὶ σεραφὶμ, ταῖς τῆς θεότητος αὐγαῖς, ἀμέσως ἐλλάμπονται θεαρχικαῖς ἱεραρχίαις δεχόμενοι. νῦν μελῳδοῦσι. δόξα τῇ δυνάμει σου κύριε. Υ μνοῦσι τρισάριθμον μονάδα θεότητος, τριαδικοῖς ἁγιασμοῖς, ἀκαταπαύστως ἐν φωναῖς, τρανοῦντες τὸ ἄχραντον, οἱ σεραφὶμ θεολογίας μυστήριον, καὶ τὴν ὀρθόδοξον πίστιν διδάσκοντες. Σ οφίας τὴν χύσιν, καὶ τὸ πλάτος τῆς γνώσεως τῆς ἐνιαίας, καὶ ἁπλῆς, αὐτὸ σοφίας δὲ λαβῶν, χερουβὶμ δεχόμενα, τῆς ἐφεξῆς θεομιμήτως παρέχουσι, διαπορθμεύοντες τούτοις τὴν ἔλλαμψιν. Θεοτοκίον. Ο πάσης ἐπέκεινα νοούμενος κτίσεως, τῆς ὑπὲρ νοῦν ζωαρχικῆς, ζωοπλαστίας ἀληθῶς, ἐκτελῶν τεράστια, παρθενικαῖς ἠγλαϊσμένην φαιδρότησι, τὴν σὴν γαστέρα κατῴκησεν ἄχραντε. ᾠδὴ ε΄. Ο φωτίσας τῇ ἐλλάμψει.

Γ Ο Θῳ θείῳ, πυρπολούμεναι αἱ κυριότητες, ἐξουσίαι, αἱ δυνάμεις, αἱ τάξεις αἱ δεύτεραι, ἀσιγήτοις στόμασι θεαρχικὴν ὑμνολογοῦσι, μίαν οὐσίαν καὶ δύναμιν. Ρ υθμίζονται, ἀρχαγγέλων αἱ τάξεις τῷ νεύματι, καὶ ἀγγέλων, καὶ ἀρχῶν σὺν ἀπείροις στρατεύμασι, μίαν τρισυπόστατον φωτιστικὴν οὐσίαν σέβειν, προφανῶς διδασκόμεναι. Θ. Ω ραιώθης, ὑπὲρ πᾶσαν ἀγγέλων εὐπρέπειαν. τὸν γὰρ τούτων



ΑΚΟΛΟΥΘΙΑ ΤΗΣ ΟΛΗΣ ΕΒΔΟΜΑΔΟΣ ΨΑΛΛΟΜΕΝΗ ΑΝΤΙ ΤΗΣ ΠΑΡΑΚΛΗΤΙΚΗΣ.



Τῇ κυριακῇ ἑσπέρας εἰς τὸν στίχον στιχηρὰ κατανυκτικὰ δύο. ἦχος α'. καὶ μαρτυρικὸν ἕν, καὶ θεοτοκίον.



Ὅτι τὸ πέλαγος πολὺ τῶν παραπτωμάτων μου σωτήρ, καὶ δεινῶς βεβύθισμαι τῶν πλημμελείαις μου δός μοι χεῖρα, σῶσόν με, ὡς τὸν Πέτρον ὁ θεὸς καὶ ἐλέησόν με. Στίχος. Πρὸς σὲ ἦρα τοὺς ὀφθαλμούς μου.

Ὅτι ἐννοίαις πονηραῖς, καὶ ἔργοις καταδεδίκασμαι σωτήρ, λογισμόν μοι δώρησαι ἐπιστροφῆς ὁ θεός, ἵνα κράζω σῶσόν με. εὐεργέτα ἀγαθὲ καὶ ἐλέησόν με. Μαρτυρικόν. στίχος. Ἐλέησον ἡμᾶς κύριε.

Τῇ πρεσβείᾳ κύριε πάντων τῶν ἁγίων, καὶ τῆς θεοτόκου, τὴν σὴν εἰρήνην δὸς ἡμῖν, καὶ ἐλέησον ἡμᾶς ὡς μόνος οἰκτίρμων. Δόξα τῷ ἁγίῳ καὶ νῦν θ'. τὸ δὲ αὐτόμελον. Γερμανοῦ.

Τῶν οὐρανίων ταγμάτων, τὸ ἀγαλλίαμα, τῶν ἐπὶ γῆς ἀνθρώπων, κραταιὰ προστασία, ἄχραντε παρθένε σῶσον ἡμᾶς τοὺς εἰς σὲ καταφεύγοντας, ὅτι ἐν σοὶ τὰς ἐλπίδας μετὰ θεόν, θεοτόκε ἀνεθέμεθα.

ἦχος δʹ.

Ὅτι πάντων ὑπάρχεις τῶν ποιημάτων ὑπερτέρα, ἀνυμνεῖν σε ἐπαξίως μὴ εὐποροῦντες θεοτόκε δωρεὰν αἰτοῦμεν σε ἐλέησον ἡμᾶς.

ἦχος πλαγίου αʹ.

Ὁ ἐκ παρθένου ἀνατείλας τῷ κόσμῳ υἱοὺς φωτὸς ἀναδείξας δι᾽ αὐτῆς, Χριστὲ ὁ θεὸς ἡμῶν ἐλέησον ἡμᾶς.

ἦχος πλαγίου βʹ.

Θεοτόκε σὺ εἶ ἄμπελος ἡ ἀληθινὴ, ἡ βλαστήσασα τὸν καρπὸν τῆς ζωῆς, σὲ ἱκετεύομεν. πρέσβευε ἔνδοξε μετὰ τῶν ἁγίων ἀποστόλων ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

ἦχος βαρύς.

Ὑπερέβης τὰς δυνάμεις τῶν οὐρανῶν, ὅτι ναὸς ἐδείχθης θεϊκῶς, εὐλογημένη θεοτόκε, ὡς τεκοῦσα Χριστὸν τὸν σωτῆρα τῶν ψυχῶν ἡμῶν.


ἦχος πλαγίου δʹ.

Παρθένε ἄχραντε θεοτόκε σῶσον ἡμᾶς ταῖς πρεσβείαις σου, κινοῦσα σπλάγχνα μητρικὰ τῷ υἱῷ σου καὶ θεῷ ἡμῶν.

Τέλος τῆς ἀκολουθίας τοῦ ὡρολογίου,




τοκράτορ. δόξα σοι Ἰησοῦ Χριστέ. Δόξα καὶ νῦν. Εὐπρόσδεκτον καὶ ἀκαταίσχυντον ποιήσει κύριος ὁ θεὸς ἡμῶν τὴν προσταγὴν τῆς ἀποδημίας ἡμῶν τῶν ἁμαρτωλῶν δι' εὐχαῖς τῶν πατέρων ἡμῶν. ἐν ἀφέσει ἁμαρτιῶν σώσῃ, ἐλεήσῃ, καὶ διαφυλάξῃ πάντας ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.



Στιχηρὰ θεοτοκία τῶν η΄. ἤχων
ἦχος α΄. ἰδιόμ.

Τῶν οὐρανίων ταγμάτων τὸ ἀγαλλίαμα, τῶν ἐπὶ γῆς ἀνθρώπων κραταιὰ προστασία, ἄχραντε παρθένε, σῶσον ἡμᾶς τοὺς εἰς σὲ καταφεύγοντας· ὅτι ἐν σοὶ τὰς ἐλπίδας μετὰ θεὸν θεοτόκε ἀνεθέμεθα. ἦχος β΄. Τὴν πᾶσαν ἐλπίδα μου εἰς σὲ ἀνατίθημι. μήτηρ τοῦ θεοῦ φύλαξόν με ὑπὸ τὴν σκέπην σου. ἦχος γ΄. Ἄχραντε μήτηρ Χριστοῦ, μόνη εὐλογημένη, τοὺς ὁμολογοῦντάς σε θεοτόκον, σῶζε ἀπὸ πάσης ἀνάγκης. ἦχος δ΄. Ἡ μόνη ἁγνὴ, καὶ ἄχραντος παρθένος, ἡ θεὸν ἀσπόρως κυήσασα πρέσβευε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν. ἦχος πλαγίου α΄. Ἡ ἐλπὶς τῶν ἀπελπισμένων, ἡ ζωὴ τῶν ἀπεγνωσμένων, ἡ ἀντίληψις τῶν εἰς σὲ προστρεχόντων ἁγία δέσποινα θεοτόκε παρθένε, τὴν βοήθειάν σου κατάπεμψον ἡμῖν. ἦχος πλαγίου β΄. Μεταβολὴ τῶν θλιβομένων, ἀπαλλαγὴ τῶν ἀσθενούντων ὑπάρχουσα θεοτόκε παρθένε, σῶζε πόλιν, καὶ λαὸν, τῶν πολεμουμένων ἡ εἰρήνη, τῶν χειμαζομένων ἡ γαλήνη, ἡ μόνη προστασία τῶν πιστῶν. ἦχος βαρύς. Εἰρήνευσον πρεσβείαις τῆς θεοτόκου τὴν ζωὴν ἡμῶν, τῶν βοώντων σοι ἐλεῆμον κύριε δόξα σοι. πλαγίου δ΄. Ἐγὼ παρθένε ἁγία θεοτόκε τῇ σκέπῃ σου προστρέχω, οἶδα ὅτι τεύξομαι τῆς σωτηρίας. δύνασαι γὰρ ἁγνὴ βοηθῆσαί μοι.



Καθίσματα θεοτοκία τῶν η΄.
ἤχων. ἦχος α΄.

Ἄχραντε θεοτόκε, ἡ ἐν οὐρανοῖς εὐλογημένη, καὶ ἐπὶ γῆς δοξολογουμένη. χαῖρε νύμφη ἀνύμφευτε. ἦχος β΄. Μήτηρ ἁγία τοῦ ἀχράντου φωτὸς. ἀγγελικοῖς σε ὕμνοις τιμῶντες μεγαλύνομεν. ἦχος γ΄.
Καταφυγὴ καὶ δύναμις ἡμῶν θεοτόκε, ἡ κραταιὰ βοήθεια τοῦ κόσμου, τῇ πρεσβείᾳ σου σῶζε τοὺς δούλους σου ἀπὸ πάσης ἀνάγκης μόνη εὐλογημένη.

Τὸ πάτερ ἡμῶν. ὅτι σοῦ. κάθισμα ἦχος δ΄.

Η μόνη κυήσασα τὸν ποιητὴν τοῦ παντὸς, ἡ μόνη κοσμήσασα τὴν ἀνθρωπότητα τῷ τόκῳ σου πάναγνε, ῥῦσαί με τῶν παγίδων τοῦ δολίου βελίαρ, σῆσον με ἐπὶ πέτραν τῶν τοῦ Χριστοῦ θελημάτων, αὐτὸν ἐκδυσωποῦσα, ἐκτενῶς ῥῦσαι ἡμᾶς τοῦ αἰωνίου πυρός.

Επειτα τὸ τοῦ κατὰ τὴν ἡμέραν ἁγίου συναξάριον. εἶτα ᾠδὴ ζ΄.

Νέοι τρεῖς ἐν Βαβυλῶνι πρόσταγμα τυραννικὸν, εἰς φλὸγα φον θέμενοι. ἐν μέσῳ δὲ φλογὸς ἀνεβόων. εὐλογητὸς εἶ κύριε ὁ θεὸς τῶν πατέρων ἡμῶν. Υπερτέρα τῶν κτισμάτων ὤφθης, ὡς τὸν ποιητὴν τεκοῦσα καὶ κύριον. διόπερ βοῶμεν θεοτόκε εὐλογημένη, κύριος μετὰ σοῦ τῶν δυνάμεων. Κυριότητά σε μίαν σέβω, ἐν ἁγιασμοῖς τρισὶν ἀδιαίρετον, ὑμνῶ τρισυπόστατον φύσιν. εὐλογητὸς εἶ κύριε ὁ θεὸς τῶν πατέρων ἡμῶν. ᾠδὴ η΄. ὁ εἱρμός.

Λύτρωτὰ τοῦ παντὸς παντοδύναμε, τοὺς ἐν μέσῳ φλογὸς εὐσεβήσαντας, συγκαταβὰς ἐδρόσισας, καὶ ἐδίδαξας μέλπειν. πάντα τὰ ἔργα, εὐλογεῖτε ὑμνεῖτε τὸν κύριον. Εκ πλευρᾶς τοῦ Αδὰμ πλαστουργήσας σε, ἐκ τῆς σῆς παρθενίας σε σάρκωται, ὁ τῶν ἁπάντων κύριος. ὃν ὑμνοῦντες βοῶμεν πάντα τὰ ἔργα. εὐλογεῖτε, ὑμνεῖτε τὸν κύριον. Ιουδαϊσμοῖς τριάδος δίεσωσε, τὸ τῆς σῆς παρθενίας προχάραγμα. ἐν γὰρ παρθένοις σώμασι κατεπάτησαν φλόγα παῖδες βοῶντες. εὐλογεῖτε ὑμνεῖτε τὸν κύριον.

Σὲ τὴν θεοτόκον τὴν μητέρα τοῦ φωτὸς ἐν ὕμνοις μεγαλύνομεν. Μεγαλύνει ἡ ψυχή μου τὸν κύριον. ζήτει εἰς τὸ ψαλτήριον, φ. ριε΄. ᾠδὴ θ΄.

Κρυπτὸν θεῖον ἄχραντον ἐν σοὶ, τελεῖται ἐμφανῶς μυστήριον, παρθένε ἄχραντε, καὶ γὰρ θεὸς ἐκ σοῦ σεσωμάτωται δι᾽ ἀπαλλαγὴν. διόπερ ὡς θεοτόκον μεγαλύνομεν. Ράδιον προσλαβόμενος βροτείαν φύσιν ἐκ τῆς σῆς πανάμωμε γαστρὸς ἄφθαρτος, ἐν ἑαυτῷ ἀνέδειξεν ἄφθαρτον δι᾽ ἀπαλλαγήν. διόπερ ὡς θεοτόκον μεγαλύνομεν. Η πάντων διασώζουσα τῶν ποιημάτων, παρ᾽ λαοῦ σου δώρησαι τὰ τῆς νίκης τρόπαια, τὸν δυσμενῆ τιθεῖσα ὑποπόδιον τῇ ἐκκλησίᾳ, ἵνα σε ὡς θεοτόκον μεγαλύνομεν. εἶτα ψαλ. ξς΄. φ. μγ΄. Ο θεὸς οἰκτειρήσαι ἡμᾶς. εἶτα τὸ τρισάγιον. Τὸ παναγία τριάς. Τὸ πάτερ ἡμῶν. ὅτι σοῦ. τὸ ἀπολ. Τεῖχος ἀκαταμάχητον ἡμῶν τῶν χριστιανῶν ὑπάρχεις θεοτόκε παρθένε, πρὸς σὲ γὰρ καταφεύγοντες ἄτρωτοι διαμένομεν, καὶ πάλιν ἁμαρτάνοντες, ἔχομέν σε πρεσβεύουσαν. διὸ εὐχαριστοῦντες βοῶμεν σοι, χαῖρε κεχαριτωμένη, ὁ κύριος μετὰ σοῦ. Δόξα καὶ νῦν τὸ αὐτό. εἶτα ἡ εὐχή. Παντοκράτορ δέσποτα. ἐγράφη ὄπισθεν. φ. ρμβ΄. Τὴν τιμιωτέραν τῶν χερουβίμ. Ενδοξε θεοτόκε ἀειπάρθενε. Δέσποτα θεὲ πάτερ παντοκρά-

ἄσω μελώδημα. Δόξα. Ἐστάθησαν λαοί, ἐταράχθησαν ἔθνη, βασιλεῖαι κραταιαὶ δὲ ἔκλιναν ἁγνή, ἐκ τοῦ φόβου τοῦ τόκου σου. ἦλθε γὰρ ὁ βασιλεύς μου, καὶ καθεῖλε τὸν τύραννον, καὶ τὸν κόσμον φθορᾶς ἐλυτρώσατο. Καὶ νῦν. Τὸ σκήνωμα αὐτοῦ, ὁ οἰκῶν ἐν ὑψίστοις τοῖς βροτοῖς συγκαταβάς, ἡγίασε Χριστός, καὶ ἀσάλευτον ἔδειξε. μόνη γὰρ μετὰ τὸν τόκον παρθενίας κειμήλιον ἡ τὸν κτίστην τεκοῦσα διέμεινεν. ᾠδὴ γ΄. ὁ εἱρμός.

Ἀφ' ὕψους κατεῖλθες βουλήσει ἐπὶ γῆς, ὁ ὑπεράνω πάσης ἀρχῆς, καὶ ταπεινὴν ἀνύψωσας ἐξ ᾅδου κατωτάτου φύσιν βροτείαν, οὐ γὰρ ἔστιν ἅγιος πλήν σου φιλάνθρωπε. Δόξα. Ῥύπτεται βροτῶν ἡ οὐσία, διὰ σοῦ ὁμιλήσασα, ἀστέκτῳ θείῳ πυρί, ὡς ἐγκρυφίας πάναγνε ἐκ σοῦ, ἄρτος ἐξ ὀπτηθεῖσα, τῷ καὶ σὲ ἀλώβητον διαφυλάξαντι. Τίς αὕτη ἡ ὄντως πλησίον τοῦ θεοῦ, ὡς ὑπερβάσα ἅπαντα τὰ τῶν ἀγγέλων τάγματα, ἡ μόνη ἐν τῷ κάλλει τῆς παρθενίας, οἷα μήτηρ λάμπουσα τοῦ παντοκράτορος. ᾠδὴ δ΄. ὁ εἱρμός.

Ὁ καθήμενος ἐν δόξῃ ἐπὶ θρόνου θεότητος, ἐν νεφέλῃ κούφῃ, ἦλθεν Ἰησοῦς ὁ ὑπέρθεος, τῇ ἀκηράτῳ παρθένῳ, καὶ διέσωσε τοὺς κραυγάζοντας. δόξα Χριστὲ τῇ δυνάμει σου. Ὑπεδέξατο ἐν ὕλῃ, ἡ παρθένος τὸν ἄϋλον, ἐν μεθέξει ὕλης βρέφος ἐξ αὐτῆς χρηματίσαντα, ὅθεν ἐν δύο οὐσίαις νῦν γνωρίζεται, σαρκοφόρος θεός, καὶ βροτὸς ὑπερούσιος.

Θεοτοκίον. Μετὰ τόκον σε, παρθένον, ὁ παρθένος οἰκήσας σε, καὶ τεχθεὶς ἀσπόρως· λόγος καὶ θεὸς διεσώσατο, καὶ ἐν τῷ τίκτειν παρθένον διεφύλαξεν, ὡς δεσπότης καὶ δημιουργὸς πάσης κτίσεως. ᾠδὴ ε΄. ὁ εἱρμός.

Νῦν ἀναστήσομαι προφητικῶς ἔφη ὁ θεός, νῦν δοξασθήσομαι, νῦν ὑψωθήσομαι, τὸν πεσόντα προσλαβὼν ἐκ τῆς παρθένου καὶ πρὸς φῶς τὸ θαυμαστόν, ἀνυψῶν τῆς ἐμῆς θεότητος. Δόξα. Σάρκα ἐξ αἵματος παρθενικοῦ εἴληφας Χριστέ, ἄσπορον ἄχραντον, καὶ ἐνυπόστατον λογικήν, καὶ νοερὰν ἐμψυχωμένην, ἐνεργῆ θελητικήν, αὐτοδέσποτον καὶ αὐτεξούσιον. Καὶ νῦν. Τύραννον φρόνημα, παρθενικὴ ἤχλυνε γαστήρ, βρέφος ἀσπίδων γὰρ τρώγλην ψυχόλεθρον, ἐξηρεύνησε χειρί. καὶ ἀποστάτην ἀλαζόνα καθελών, τῶν πιστῶν τοῖς ποσὶν ὑπέταξεν.

ᾠδὴ ς΄. ὁ εἱρμός.

Ἦλθον εἰς τὰ βάθη τῆς θαλάσσης, καὶ κατεπόντισέ με καταιγὶς πολλῶν ἁμαρτημάτων, ἀλλ' ὡς θεός, ἐκ φθορᾶς ἀνάγαγε τὴν ζωήν μου ὡς φιλάνθρωπος. Δόξα. Πάλαι μὲν ἠπάτησεν ὁ ὄφις, καὶ ἐθανάτωσέ με, διὰ τῆς προμήτορός μου Εὔας· νῦν δὲ ἁγνή· διὰ σοῦ ὁ πλάσας με ἐκ φθορᾶς ἀνεκαλέσατο. Καὶ νῦν. Ἀβύσσος σε ἄβυσσον ἀρρήτως, τῆς δυσπλαγχνίας κόρη ἐκλεκτὴν ἀνέδειξε θαυμάτων, καὶ γὰρ ἐκ σοῦ ἀστραπῇ θεότητος, μαργαρίτης Χριστὸς ἔλαμψεν.

μεγαλοπρέπεια τῆς δόξης σου, καὶ ἀνυπόστατος ἡ ὀργὴ τῆς ἐπὶ ἁμαρτωλοὺς ἀπειλῆς σου. ἀμέτρητόν τε καὶ ἀνεξιχνίαστον τὸ ἔλεος τῆς ἐπαγγελίας σου. σὺ γὰρ εἶ κύριος ὕψιστος, εὔσπλαγχνος, μακρόθυμος, καὶ πολυέλεος, καὶ μετανοῶν ἐπὶ κακίαις ἀνθρώπων. σὺ κύριε κατὰ τὸ πλῆθος τῆς χρηστότητός σου ἐπηγγείλω μετάνοιαν, καὶ ἄφεσιν ἁμαρτιῶν τοῖς ἡμαρτηκόσι σοι. καὶ τῷ πλήθει τῶν οἰκτιρμῶν σου ὥρισας μετάνοιαν ἁμαρτωλοῖς εἰς σωτηρίαν. σὺ οὖν κύριε ὁ θεὸς τῶν δυνάμεων οὐκ ἔθου μετάνοιαν δικαίοις, τῷ Ἀβραάμ, καὶ Ἰσαάκ, καὶ Ἰακώβ, τοῖς οὐχ ἡμαρτηκόσι σοι. ἀλλ᾽ ἔθου μετάνοιαν ἐμοὶ τῷ ἁμαρτωλῷ. διότι ἥμαρτον ὑπὲρ ἀριθμὸν ψάμμου θαλάσσης. ἐπλήθυναν αἱ ἀνομίαι μου κύριε, ἐπλήθυναν αἱ ἀνομίαι μου, καὶ οὐκ εἰμὶ ἄξιος ἀτενίσαι, καὶ ἰδεῖν τὸ ὕψος τοῦ οὐρανοῦ ἀπὸ τοῦ πλήθους τῶν ἀδικιῶν, κατακαμπτόμενος πολλῷ δεσμῷ σιδήρῳ, εἰς τὸ μὴ ἀνανεῦσαι τὴν κεφαλήν μου. καὶ οὐκ ἔστι μοι ἄνεσις. διότι παρώργισα τὸν θυμόν σου, καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα. μὴ ποιήσας τὸ θέλημά σου, καὶ μὴ φυλάξας τὰ προστάγματά σου. στήσας βδελύγματα, καὶ πληθύνας προσοχθίσματα. καὶ νῦν κλίνω γόνυ καρδίας μου. δεόμενος τῆς παρὰ σοῦ χρηστότητος. ἡμάρτηκα κύριε ἡμάρτηκα, καὶ τὰς ἀνομίας μου ἐγὼ γινώσκω. ἀλλ᾽ αἰτοῦμαι δεόμενός σου. ἄνες μοι κύριε ἄνες μοι, καὶ μὴ συναπολέσῃς με ταῖς ἀνομίαις μου, μηδὲ εἰς τὸν αἰῶνα μηνύσας τηρήσῃς τὰ κακά μοι, μηδὲ καταδικάσῃς με ἐν τοῖς κατωτάτοις τῆς γῆς. διότι σὺ εἶ ὁ θεός μου, θεὸς τῶν μετανοούντων, καὶ ἐν ἐμοὶ δείξῃς πᾶσαν τὴν ἀγαθωσύνην σου, ὅτι ἀνάξιον ὄντα σώσῃς με κατὰ τὸ πολυέλεός σου, καὶ αἰνέσω σε διαπαντὸς πάσας τὰς ἡμέρας τῆς ζωῆς μου. ὅτι σὲ ὑμνεῖ πᾶσα ἡ δύναμις τῶν οὐρανῶν. καὶ σοῦ ἐστὶν ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν. Οὕτω μὲν πληροῦται τὸ μέγα ἀπόδειπνον ἐν τῇ μεγάλῃ μ´. κατὰ τὴν τάξιν. τοῦ παλαιοῦ καὶ καθολικοῦ τυπικοῦ, καθὼς γέγραπται. Τὸ δὲ μικρὸν ἀπόδειπνον. ὃ ψάλλεται ὅλῳ τῷ χρόνῳ παρεκτὸς τῆς μεγάλης μ´. ὑπὸ τῶν μοναχῶν τοῦ μεγάλου Βασιλείου κατὰ τάξιν τοῦ τυπικοῦ τῆς κρυπτοφέρρης ἐστὶ τόδε. Εὐλογητὸς ὁ θεὸς ἡμῶν πάντοτε νῦν. Τὸ τρισάγιον. τὸ παναγία τριάς. τὸ πάτερ ἡμῶν. ὅτι σοῦ. δεῦτε προσκυνήσωμεν γ´. καὶ τοὺς δὲ ψαλμούς. Κύριος φωτισμός μου. ψαλ. κς´. φ. ις. Ὁ θεὸς ἐν τῷ ὀνόματί σου σῶσόν με. ψαλ. ξθ´. φ. λέ. Ἐλέησόν με ὁ θεός. κατὰ τὸ μέγα. ψαλ. ν´. φ. λδ´.

Εἶτα κανὼν τῆς θεοτόκου. ἦχος δ´. ᾠδὴ α´. ὁ εἱρμός.

Τρισάτας κραταιούς, ὁ τεχθεὶς ἐκ παρθένου, ἀπαθείας ἐν βυθῷ, ψυχῆς τὸ τριμερὲς καταπόντισον δέομαι. ὅπως σοι ὡς ἐν τυμπάνῳ τῇ νεκρώσει τοῦ σώματος, ἐπινίκιον

ἀμὴν λέγω ὑμῖν, ὅτι περιζώσεται, καὶ ἀνακλινεῖ αὐτὸν, καὶ παρελθὼν διακονήσει αὐτῷ εἶπεν ὁ κύριος. στίχος. Ἐν ταῖς νυξὶν ἐπάρατε τὰς χεῖρας ὑμῶν εἰς τὰ ἅγια, καὶ εὐλογεῖτε τὸν κύριον. Γρηγορεῖτε, ὅτι οὐκ οἴδατε ποίᾳ ὥρᾳ ὁ κύριος ἡμῶν ἔρχεται. ἐκεῖνο δὲ γινώσκετε, ὅτι εἰ εἴδη ὁ οἰκοδεσπότης ποίᾳ φυλακῇ ὁ κλέπτης ἔρχεται ἐγρηγόρησεν ἂν, καὶ οὐκ ἂν εἴασε διορυγῆναι τὴν οἰκίαν αὐτοῦ, διὰ τοῦτο καὶ ὑμεῖς γίνεσθε ἕτοιμοι, ὅτι ἣ ὥρα οὐ δοκεῖτε ὁ υἱὸς τοῦ ἀνθρώπου ἔρχεται εἶπεν ὁ κύριος. Δόξα. Δάκρυά μοι δὸς ὁ θεὸς, ὡς ποτὲ τῇ γυναικὶ τῇ ἁμαρτωλῷ, καὶ ἀξίωσόν με βρέχειν τοὺς πόδας σου. τοὺς ἐμὲ ἐκ τῆς ὁδοῦ τῆς πλάνης ἐλευθερώσαντας. καὶ μῦρον εὐωδίας σοὶ προσφέρειν βίον καθαρὸν ἐν μετανοίᾳ μοι κτισθέντα. ἵνα ἀκούσω κἀγὼ τῆς εὐκταίας σου φωνῆς. ἡ πίστις σου σέσωκέ σε πορεύου εἰς εἰρήνην. καὶ νῦν θεοτοκ. Ἐγὼ παρθένε ἁγία θεοτόκε τῇ σκέπῃ σου προστρέχω. οἶδα ὅτι τεύξομαι τῆς σωτηρίας. δύνασαι γὰρ ἁγνὴ βοηθῆσαι μοι. Κύριε ἐλέησον μ. μετανοίας ιβ΄. Δόξα ἐν ὑψίστοις θεῷ. εἶτα τὰ στιχηρὰ ταῦτα μετὰ μέλους. ἦχος πλάγιος β΄. Κύριε τῶν δυνάμεων μεθ' ἡμῶν γενοῦ. ἄλλον γὰρ ἐκτός σου βοηθὸν ἐν θλίψεσιν οὐκ ἔχομεν. Κύριε τῶν δυνάμεων μεθ' ἡμῶν γενοῦ, καὶ ἐλέησον ἡμᾶς. Καὶ στιχολογοῦμεν τὸν ψαλμὸν ρν΄: καὶ μετὰ τοῦ στίχ. Ὁ ἱερεὺς στίχον α΄. Αἰνεῖτε τὸν θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ, αἰνεῖτε αὐτὸν ἐν στερεώματι δυνάμεως αὐτοῦ, αἰνεῖτε αὐτόν. ὁ λαός. Κύριε τῶν δυνάμεων. Ὁ ἱερεὺς, στίχον γ΄. Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος. αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ. αἰνεῖτε αὐτόν. ὁ λαός. Κύριε τῶν δυνάμεων. ὁ ἱερεὺς. στίχον δ΄. Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ. αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ. αἰνεῖτε αὐτόν. ὁ λαός. Κύριε τῶν δυνάμεων. ὁ ἱερεὺς. στίχον ε΄. Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ. πᾶσα πνοὴ αἰνεσάτω τὸν κύριον. ὁ λαός. Κύριε τῶν δυνάμεων. ὁ ἱερεὺς δόξα καὶ νῦν. ὁ λαός. Κύριε τῶν δυνάμεων. ὁ ἱερεὺς. Κύριε τῶν δυνάμεων μεθ' ἡμῶν γενοῦ. ἄλλον γὰρ ἐκτός σου βοηθὸν ἐν θλίψεσιν οὐκ ἔχομεν. ὁ λαός. Κύριε τῶν δυνάμεων μεθ' ἡμῶν γενοῦ καὶ ἐλέησον ἡμᾶς. ὁ ἱερεὺς. Μεθ' ἡμῶν γενοῦ καὶ ἐλέησον ἡμᾶς. Κύριε ἐλέησον μ. μετανοίας ιβ. καὶ τὴν εὐχὴν τοῦ Μανασσῆ βασιλέως τῆς Ἰουδαίας.

Τοῦ κυρίου δεηθῶμεν.

Κύριε παντοκράτορ ὁ θεὸς τῶν πατέρων ἡμῶν, τοῦ Ἀβραὰμ, καὶ Ἰσαὰκ, καὶ Ἰακὼβ, καὶ τοῦ σπέρματος αὐτῶν τοῦ δικαίου. ὁ ποιήσας τὸν οὐρανὸν, καὶ τὴν γῆν σὺν παντὶ τῷ κόσμῳ αὐτῶν. ὁ πεδήσας τὴν θάλασσαν τῷ λόγῳ τοῦ προστάγματός σου. ὁ κλείσας τὴν ἄβυσσον, καὶ σφραγισάμενος αὐτὴν, τῷ φοβερῷ καὶ ἐνδόξῳ ὀνόματί σου. ὃ πάντα φρίσσει καὶ τρέμει ἀπὸ προσώπου δυνάμεώς σου. ὅτι ἄστεκτος ἡ με-

Ἀρχὴ ὥρας ιά. σημαίνει τὸ ἀπόδειπνον. καὶ ἀρχόμεθα. Τὸ τρισάγιον. τὸ παναγία τριάς. τὸ πάτερ ἡμῶν. ὅτι σοῦ. Δεῦτε προσκυνήσωμεν. γ΄. τὸ ἑξάψαλμον. τὸ μεθ᾽ ἡμῶν ὁ θεὸς μετὰ μέλοις καὶ φωνῆς ὑψηλῆς. εἶτα ἡ ἀσώματος φύσις. τὸ ἅγιον σύμβολον. τὸ παναγία δέσποινα. γ΄. τὰ δὲ λοιπὰ πρὸς ἅπαξ. Τὸ ὁ θεὸς ἱλάσθητι. γ΄. τὸ τρισάγιον. τὸ παναγία τριάς. τὸ πάτερ ἡμῶν. ὅτι σοῦ. τροπ. ἦχος πλαγίου δ΄.

Τῶν ἀοράτων ἐχθρῶν μου τὸ ἄϋπνον ἐπίστασαι κύριε. καὶ τῆς ἀθλίας σαρκός μου τὸ ἄτοπον ἔγνως ὁ πλάσας με, διὸ εἰς χεῖράς σου παρατίθημι τὸ πνεῦμά μου. σκέπασόν με πτέρυξι τῆς σῆς ἀγαθότητος, ἵνα μὴ ὑπνώσω εἰς θάνατον, καὶ τοὺς νοεροὺς ὀφθαλμούς μου φώτισον ἐν τῇ τρυφῇ τῶν θείων σου λόγων, καὶ διέγειρόν με ἐν καιρῷ εὐθέτῳ, πρὸς σὴν δοξολογίαν, ὡς μόνος ἀγαθὸς καὶ φιλάνθρωπος. Δόξα. Ως φοβερὰ ἡ κρίσις σου κύριε, τῶν ἀγγέλων παρισταμένων, τῶν ἀνθρώπων εἰσαγομένων, τῶν βίβλων ἀνοιγομένων, τῶν ἔργων ἐρευνομένων, τῶν λογισμῶν ἀπολογουμένων, ποία κρίσις ἔσται ἐν ἐμοὶ τῷ συλληφθέντι ἐν ἁμαρτίαις; τίς με τὸ σκότος καταλάμψει; τίς μου τὴν φλόγα κατασβέσει; εἰ μὴ σὺ κύριε ἐλεήσῃς με ὡς φιλάνθρωπος. καὶ νῦν.

Τὴν ἀκαταίσχυντον θεοτόκε ἐλπίδα ἔχων σωθήσομαι, τὴν προστασίαν σου κεκτημένος πανάχραντε, οὐ φοβηθήσομαι, καταδιώξω τοὺς ἐχθρούς μου, καὶ τροπώσω αὐτούς. μόνην ἀπεκδεχόμενος ὡς θώρακα τὴν σκέπην σου, καὶ τὴν παντοδύναμον βοήθειάν σου. καὶ νῦν καθικετεύων βοῶ σοι δέσποινα, σῶσόν με ταῖς πρεσβείαις σου, καὶ διέγειρόν με ἐκ ζοφώδους ὕπνου πρὸς σὴν δοξολογίαν, δυνάμει τοῦ ἐκ σοῦ σαρκωθέντος Χριστοῦ. Κύριε ἐλέησον. μ΄. καὶ ὁ ἱερεὺς τὸν στίχον. Κύριε Ἰησοῦ Χριστὲ ἐλέησον ἡμᾶς. ἀμήν. Δεῦτε προσκυνήσωμεν. γ΄. ὁ. ν΄. ὁ κανὼν τοῦ ἁγίου, οὗ ἂν τύχῃ, ἀπὸ γ΄. κάθισμα καὶ θ΄. ἀπὸ ς΄. κοντάκιον, ἀπὸ θ΄. τὸ τρισάγιον. Κύριε ἐλέησον μ΄. στάσις μεγάλη. μετανοίας κδ΄. εἶθ᾽ οὕτως ὁ ἱερεύς. Δεῦτε προσκυνήσωμεν γ΄. καὶ ἀρχόμεθα τοὺς ιβ΄. ψαλμούς. λέγοντες κατὰ δύο ψαλμοὺς τὸ τρισάγιον. Τὸ παναγία τριάς. τὸ πάτερ ἡμῶν, ὅτι σοῦ. Κύριε ἐλέησον ιβ΄. καὶ πάλιν δεῦτε προσκυνήσωμεν γ΄. Οἱ ιβ΄. ψαλμοί εἰσιν οὗτοι. ψαλ. κθ΄. φ. ιζ΄. καὶ ψαλ. λ΄. φ. ιη΄. καὶ ψαλ. λα΄. λγ΄. φ. ιθ΄. κ΄. καὶ ψαλ. λζ΄. μ. φ. κε΄. κζ΄. ψ. νδ΄. ο΄. φ. λς΄. μζ΄. ψ. πε΄. πθ΄. φυλ. ξα΄. ξε΄. ψαλ. ρμ΄. ρμβ΄. φυλ. ρ΄. ρα΄. Τὸ τρισάγιον. τὸ παναγία τριάς. τὸ πάτερ ἡμῶν. ὅτι σοῦ. Κύριε ἐλέησον. μ΄. στάσις μεγάλη, μετανοίας κδ΄. εἶθ᾽ οὕτως ὁ ἄμωμος. ψ. ριη΄. φ. πς΄. καὶ μετὰ τὸν ἄμωμον τὰ τροπάρια ταῦτα. ἦχος πλαγίου δ΄. Μακάριος ὁ δοῦλος, ὃν ἐλθὼν ὁ κύριος εὑρήσει γρηγοροῦντα.

ϐάσατε ὑπὲρ.
Ὁσία Μαρία ἡ αἰγυπτία. πρέσϐ.
Ὁσία Θεοδώρα. π.
Ὁσία Πελαγία. π.
Ὁσία Εὐφημία. π.
Ὁσία Ἰουλιανή. π.
Ὁσία Εὐφροσύνη. π.
Ὁσία Μαρία Μαγδαληνή. π.
Ὁ χορὸς τῶν ὁσίων γυναικῶν τοῦ Χριστοῦ. πρέσϐ.
Ἰωακεὶμ καὶ Ἄννα οἱ θεοπάτορες.
Ἅγιοι τεσσαράκοντα μάρτυρες.
Ἅγιοι ἀπόστολοι, προφῆται, καὶ μάρτυρες, ὅσιοι, καὶ δίκαιοι, σὺν γυναιξὶν ἁγίαις, ὅσιοι πατέρες καὶ διδάσκαλοι τῆς οἰκουμένης, καὶ πάντες οἱ ἅγιοι καὶ ἄγγελοι τοῦ θεοῦ. πρεσϐεύσατε ὑπὲρ ἡμῶν τῶν ἁμαρτωλῶν.

Ἡ ἀήττητος, καὶ ἀκατάληπτος, καὶ θεία δύναμις, τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ μὴ ἐγκαταλίπῃς ἡμᾶς τοὺς ἁμαρτωλούς. Ὁ θεὸς ἱλάσθητι ἡμῖν τοῖς ἁμαρτωλοῖς, καὶ ἐλέησον ἡμᾶς. λέγεται γ. Τὸ τρισάγιον. Τὸ παναγία τριάς. Τὸ πάτερ ἡμῶν, ὅτι σοῦ. τροπ. ἦχος ϐ. Φώτισον τοὺς ὀφθαλμούς μου Χριστὲ ὁ θεὸς μήποτε ὑπνώσω εἰς θάνατον. μήποτε εἴπῃ ὁ ἐχθρός μου ἴσχυσα πρὸς αὐτόν. Δόξα. Ἀντιλήπτωρ τῆς ψυχῆς μου γενοῦ ὁ θεός. ὅτι μέσον διαϐαίνω παγίδων πολλῶν. ῥῦσαι με ἐξ αὐτῶν, καὶ σῶσον με ἀγαθὲ ὡς φιλάνθρωπος. καὶ νῦν. Ἔνδοξε ἀειπάρθενε, θεοτόκε μήτηρ Χριστοῦ τοῦ θεοῦ προσάγαγε τὴν ἡμετέραν πρεσϐείαν τῷ υἱῷ σου καὶ θεῷ ἡμῶν, ἵνα σώσῃ διὰ σοῦ τὰς ψυχὰς ἡμῶν. Κύριε ἐλέησον μ. εἶτα δ´ν. εἶτα ὁ κανών. μετὰ τὸν κανόνα δόξα ἐν ὑψίστοις θεῷ. εἶτα τὸ τρισάγιον. τὸ παναγία τριάς. τὸ πάτερ ἡμῶν. ὅτι σοῦ. τὸ τροπ. τῆς ἡμέρας καὶ θ´. ἡ δ´χ.

Τοῦ κυρίου δεηθῶμεν.

Π Αντοκράτορ δέσποτα ὁ τὸ μέτρον τῆς ἡμέρας συμπληρώσας, καὶ τὸ σκότος θέμενος, ἐπὶ συστάσει τῆς νυκτὸς, ἐν ᾗ τὴν τῆς σαρκὸς ἡμῶν ἐδωρήσω ἀνάπαυσιν. πάριδε καὶ συγχώρησον ἡμῖν τὰ πλημμελήματα ἡμῶν, τὰ ἑκούσιά τε, καὶ τὰ ἀκούσια, κατά τε νοῦν, καὶ λόγον, καὶ πρᾶξιν. καὶ μνήσθητι κύριε τῶν ἁπάντων ἀδελφῶν ἡμῶν, εὐχαῖς τῶν πατέρων ἡμῶν. χαριζόμενος ἡμῖν τὸν ὕπνον φαντασιῶν ἐλεύθερον, ἐννοιῶν ἀγαθῶν πεπληρωμένον, καὶ πεφωτισμένον τῇ θείᾳ σου χάριτι. ἵνα ὑπνώσαντες ἐν εἰρήνῃ, καὶ διαναστάντες ἐν ἀγαλλιάσει, τὴν ὀφειλομένην σοι εὐχαριστίαν, καὶ προσκύνησιν ἀναπέμπωμεν. τῷ πατρὶ, καὶ τῷ υἱῷ, καὶ τῷ ἁγίῳ πνεύματι. νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. καὶ ἀπόλυσις. Ὁ ὢν εὐλογητὸς θεὸς ἡμῶν, πάντοτε. νῦν καὶ ἀεὶ, καὶ. Δόξα σοι Ἰησοῦ Χριστὲ ὁ θεὸς ἡ ἐλπὶς ἡμῶν δόξα σοι. ὁ λαὸς τὸ δόξα πατρί. Ὁ εὔσπλαγχνος, καὶ ἐλεήμων θεὸς προσδέξῃ τὴν δέησιν τοῦ ἀποδειπνίου ἡμῶν τῶν ἁμαρτωλῶν διὰ πρεσϐειῶν.

Περὶ τοῦ μεγάλου ἀποδείπνου τῆς ἁγίας καὶ μεγάλης τεσσαρακοστῆς.

Α γιε Θωμᾶ ἀπόστολε. πρέσβ.
Α γιε Βαρθολομαῖε ἀπόστολε. πρέσβ.
Α γιε Σίμων ἀπόστολε. πρέσβ.
Α γιε Ματθία ἀπόστολε. πρέσβ.
Ο χορὸς τῶν ἁγίων ἀποστόλων καὶ διδασκάλων τοῦ Χριστοῦ. πρεσβεύσατε ὑπὲρ ἡμῶν τῶν ἁμαρτωλῶν.
Α γιε πρωτομάρτυς, καὶ πρωτοδιάκονε Στέφανε. πρέσβ.
Α γιε Λαυρέντιε ἱερομάρτυς. πρέσβ.
Α γιε Βικέντιε ἱερομάρτυς. πρέσβ.
Α γιε Παγκράτιε ἱερομάρ. πρέσβ.
Α γιε Υπάτιε ἱερομάρτυς. πρέσβ.
Α γιε Μαῦρε ἱερομάρτυς. πρέσβ.
Α γιε Βλάσιε ἱερομάρτυς. πρέσβ.
Α γιε Αντίπα ἱερομάρτυς. πρέσβ.
Α γιε Πέτρε ἱερομάρτυς. πρέσβ.
Ο χορὸς τῶν ἁγίων ἱερομαρτύρων τοῦ Χριστοῦ. πρεσβεύσατε ὑπὲρ ἡμῶν.
Α γιε Γεώργιε μεγαλομάρτ. πρέσβ.
Α γιε Δημήτριε μεγαλομάρτυς. π.
Α γιε Θεόδωρε μεγαλομ. πρέσβ.
Α γιε Μερκούριε μεγαλομ. πρέσβ.
Α γιε Εὐστάθιε μεγαλομ. πρέσβ.
Α γιε Σώζων μεγαλομ. πρέσβ.
Α γιε Νικήτα μεγαλομ. πρέσβ.
Α γιε Χριστοφόρε μεγαλομ. πρέσβ.
Α γιε Βίτε μεγαλομ. πρέσβ.
Ο χορὸς τῶν ἁγίων μεγαλομαρτύρων τοῦ Χριστοῦ. πρεσβεύσατε ὑπὲρ ἡμῶν.
Ο σιε πάτερ ἡμῶν Νικόλαε. πρέσ.
Ο σιε πάτερ ἡμῶν Βασίλειε. π.
Ο σιε πάτερ ἡμῶν Ιωάννη Χρυσόστομε. πρέσβ.
Ο σιε πάτερ ἡμῶν Γρηγόριε θεολόγε. πρέσβ.
Ο σιε πάτερ ἡμῶν Αθανάσιε. π.
Ο σιε πάτερ ἡμῶν Κύριλλε. π.
Ο σιε πάτερ ἡμῶν Σπυρίδων. π.
Ο σιε πάτερ ἡμῶν Μαρτῖνε. π.
Ο σιε πάτερ ἡμῶν Κατάλδε. π.
Ο σιε πάτερ ἡμῶν Λεόναρδε. π.
Ο σιε πάτερ ἡμῶν Αντώνιε. π.
Ο σιε πάτερ ἡμῶν Δονάτε. π.
Ο σιε πάτερ ἡμῶν Ονούφριε. π.
Ο σιε πάτερ ἡμῶν Ιλαρίων. π.
Ο σιε πάτερ ἡμῶν Ιωάννη Καλυβίτα. π.
Ο σιε πάτερ ἡμῶν Ιωάννη Δαμασκηνέ. π.
Ο σιε πάτερ ἡμῶν Παῦλε Θηβαῖε. π.
Ο χορὸς τῶν ὁσίων πατέρων, καὶ ἀσκητῶν τοῦ Χριστοῦ. πρεσβεύσατε ὑπέρ.
Α γιοι ἀνάργυροι Κοσμᾶ καὶ Δαμιανέ. πρέσβ.
Α γιοι ἀνάργυροι Σέργιε καὶ Βάκχε. πρέσβ.
Α γιοι ἀνάργυροι Κύρε καὶ Ιωάννη. πρέσβ.
Ο χορὸς τῶν ἁγίων ἀναργύρων τοῦ Χριστοῦ. πρεσβεύσατε ὑπὲρ ἡμῶν.
Α γία Θέκλα παρθενόμαρτυς.
Α γία αἰκατερίνα παρθενομάρτυς.
Α γία Χαριτίνη παρθενόμαρτυς.
Α γία Λουκία παρθενόμαρτυς.
Α γία Αγάθη παρθενομάρτυς.
Α γία Μαρίνα παρθενομάρτυς.
Α γία Βαρβάρα παρθενομάρτυς.
Α γία Αναστασία παρθενομάρτυς.
Α γία Κυριακὴ παρθενομάρτυς. πρέσβ.
Ο χορὸς τῶν ἁγίων παρθενομαρτύρων γυναικῶν τοῦ Χριστοῦ. πρεσβεύσατε

πάθε. ὅπ. γ΄. Τὴν ἡμέραν διελθὼν εὐχαριστῶ σοι κύριε, τὴν ἑσπέραν αἰτοῦμαι σὺν τῇ νυκτὶ ἀναμάρτητον παράσχου μοι σῶτερ, καὶ σῶσόν με. Δόξα. Τὴν ἡμέραν παρελθὼν δοξολογῶ σοι δέσποτα, τὴν ἑσπέραν αἰτοῦμεν σὺν τῇ νυκτὶ ἀσκανδάλιστον παράσχου μοι σῶτερ, καὶ σῶσόν με. καὶ νῦν. Τὴν ἡμέραν ἐξελθὼν δοξολογῶ σοι ἅγιε. Τὴν ἑσπέραν αἰτοῦμαι σὺν τῇ νυκτὶ ἀνεπίβουλον παράσχου μοι σῶτερ, καὶ σῶσόν με. Ἡ ἀσώματος φύσις τῶν χερουβὶμ, ἀσιγήτοις σε ὕμνοις δοξολογεῖ. Ἑξαπτέρυγα ζῶα τὰ σεραφὶμ, ταῖς ἀπαύστοις φωναῖς σε ὑπερυψοῖ. Ἡ τῶν ἀγγέλων τε πᾶσα ἡ στρατιὰ. τρισαγίοις σε ᾄσμασιν εὐφημεῖ. Πρὸ γὰρ πάντων ὑπάρχεις ὁ ὢν πατὴρ, καὶ συνάναρχον ἔχεις τὸν σὸν υἱόν. Καὶ ἰσότιμον φέρων πνεῦμα ζωῆς τῆς τριάδος δεικνύεις τὸ ἀμερές. Παναγία παρθένε μήτηρ Χριστοῦ οἱ τοῦ λόγου αὐτόπται, καὶ ὑπουργοί. Προφητῶν καὶ μαρτύρων πάντες χοροὶ, οἱ ἀθάνατον ἔχοντες τὴν ζωήν. Ὑπὲρ πάντων πρεσβεύσατε ἱλασμὸν, ὅτι πάντες ὑπάρχομεν ἐνδεεῖς. Ἱ πλάνης ῥυσθέντες τοῦ πονηροῦ τῶν ἀγγέλων βοήσωμεν τὴν ᾠδήν. Ἅγιε, ἅγιε, ἅγιε. τρισάγιε κύριε ἐλέησον καὶ σῶσον ἡμᾶς. εἶτα τό. Πιστεύω εἰς ἕνα θεὸν, πατέρα παντοκράτορα ποιητήν. ἐγράφη εἰς τὴν ς΄. ὥραν. εἶτα λέγε.

Παναγία δέσποινα θεοτόκε παρθένε.

Πρέσβευε ὑπὲρ ἡμῶν τῶν ἁμαρτωλῶν.

Πᾶσαι ἐπουράνιαι δυνάμεις τῶν ἁγίων ἀγγέλων, καὶ ἀρχαγγέλων τοῦ Χριστοῦ.

Πρεσβεύσατε ὑπὲρ ἡμῶν τῶν ἁμαρτωλῶν.

Ἅγιε Ἰωάννη προφῆτα, καὶ πρόδρομε, καὶ βαπτιστὰ τοῦ Χριστοῦ.

Πρέσβευε ὑπὲρ ἡμῶν τῶν ἁμαρτωλῶν.

Ἅγιε προφῆτα Ἠλία. πρέσβ.

Ἅγιε προφῆτα Ζαχαρία. πρέσβ.

Ἅγιε προφῆτα Ἡσαΐα. πρέσβ.

Ἅγιε προφῆτα Ἀμβακούμ. πρέσβ.

Ἅγιε προφῆτα Ἰωνᾶ. πρέσβ.

Ἅγιε προφῆτα Ἐλισσαῖε. πρέσβ.

Ἅγιε προφῆτα Ἱερεμία. πρέσβ.

Ἅγιε προφῆτα Ἰεζεκιήλ. πρέσβ.

Ἅγιε προφῆτα Δανιήλ. πρέσβ.

Ὁ χορὸς τῶν ἁγίων προφητῶν τοῦ Χριστοῦ. πρεσβεύσατε ὑπὲρ ἡμῶν τῶν ἁμαρ.

Ἅγιε Πέτρε ἀπόστολε. Ἅγιε Παῦλε ἀπόστολε.

Ἅγιε Ἰωάννη ἀπόστολε, καὶ εὐαγγελιστὰ τοῦ Χριστοῦ. πρέσβ.

Ἅγιε Ματθαῖε ἀπόστολε, καὶ εὐαγγελιστὰ τοῦ Χριστοῦ. πρέσβ.

Ἅγιε Λουκᾶ ἀπόστολε καὶ εὐαγγελιστὰ τοῦ Χριστοῦ. πρέσβ.

Ἅγιε Μάρκε ἀπόστολε, καὶ εὐαγγελιστὰ τοῦ Χριστοῦ. πρέσβ.

Ἅγιε Ἀνδρέα ἀπόστολε. πρέσβ.

Ἅγιε Ἰάκωβε ἀπόστολε. πρέσβ.


Ἅγιε Φίλιππε ἀπόστολε. πρέσβ.

Ἅγιε Ἰάκωβε ἀπόστολε. πρέσβ.

Ἅγιε Θαδδαῖε ἀπόστολε. πρέσβ.

Ἅγιε

ἀποσόλων. Τοῦ ὁσίου πατρὸς ἡμῶν ἱεράρχου, καὶ θαυματουργοῦ Νικολάου. Τῶν ἁγίων δικαίων Ιωακεὶμ, καὶ Αννης. καὶ τοῦ ἁγίου. Ν. οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν, καὶ πάντων τῶν ἁγίων, καὶ διὰ εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν σώσῃ, ἐλεήσῃ, καὶ διαφυλάξῃ πάντας ἡμᾶς ὡς ἀγαθὸς, καὶ φιλάνθρωπος. Μεθ' ἡμῶν ὁ θεός.



ΑΡΧΗ ΤΟΥ ΜΕΓΑΛΟΥ ΑΠΟΔΕΙΠΝΟΥ ΨΑΛΛΟΜΕΝΟΥ ΕΝ ΤΗΙ ΜΕΓΑΛΗΙ ΤΕΣΣΑΡΑΚΟΣΤΗΙ.

Μετὰ τὸ εὐλογῆσαι τὸν ἱερέα. Τὸ Τρισάγιον. τὸ παναγία τριάς τὸ πάτερ ἡμῶν. ὅτι σοῦ ἐστιν ἡ βασιλεία. Δεῦτε προσκυνήσωμεν. γ'. καὶ οἱ ψαλμοὶ οὗτοι.

Εν τῷ ἐπικαλεῖσθαί με. ψαλμ. δ'. φ β.

Κύριε μὴ τῷ θυμῷ σου. ψαλμ. ς φ. γ.

Εως πότε κύριε, ἐπιλ. ψαλ. ιβ'. φ. ζ.

Δόξα καὶ νῦν ἀλληλούϊα. Δόξα σοι ὁ θεὸς γ'. καὶ οὗτοι οἱ ψαλμοί.

Πρὸς σὲ κύριε ἦρα τὴν. ψαλμ. κδ'. φ. ιδ'.

Επὶ σοὶ κύριε ἤλπισα. ψ. λ'. φ. ιή.

Ο κατοικῶν ἐν βοηθείᾳ. ψ. ϟ. φ. ϛβ.

Δόξα καὶ νῦν ἀλληλούϊα. γ. εἶτα λέγε μετὰ μέλους τοῖς δὲ τοὺς στίχους.

Μεθ' ἡμῶν ὁ θεὸς, γνῶτε ἔθνη, καὶ ἡττᾶσθε. ὅτι μεθ' ἡμῶν ὁ θεός. γ. Επακούσατε ἕως ἐσχάτου τῆς γῆς. ὅτι μεθ' ἡμῶν ὁ θεός. Ισχυκότες ἡττᾶσθε. ὅτι μεθ' ἡμῶν ὁ θεός. Εὰν γὰρ πάλιν ἰσχύσητε, καὶ πάλιν ἡττηθήσεσθε. ὅτι. Καὶ ἣν ἂν βουλὴν βουλεύσησθε διασκεδάσει κύριος. ὅτι. Καὶ λόγον, ὃν ἂν λαλήσητε οὐ μὴ ἐμμείνῃ ἡμῖν. ὅτι. Τὸν δὲ φόβον ὑμῶν οὐ μὴ φοβηθῶμεν, οὐδ' οὐ μὴ ταραχθῶμεν. ὅτι. Κύριον δὲ τὸν θεὸν ἡμῶν αὐτὸν ἁγιάσωμεν καὶ αὐτὸς ἔσται ἡμῖν φόβος. ὅτι. Καὶ ἐὰν ἐπ' αὐτῷ πεποιθὼς, ὦ ἔσται μοι εἰς ἁγιασμόν. ὅτι. Καὶ πεποιθὼς ἔσομαι ἐπ' αὐτῷ, καὶ σωθήσομαι δι' αὐτοῦ. ὅτι μεθ'. Ιδοὺ ἐγὼ καὶ τὰ παιδία ἅμοι ἔδωκεν ὁ θεός. ὅτι. Ο λαὸς ὁ πορευόμενος ἐν σκότει, ἴδε φῶς μέγα τῆς ἐπιγνώσεως. ὅτι. Οἱ κατοικοῦντες ἐν χώρᾳ, καὶ σκιᾷ θανάτου φῶς λάμψει ἐφ' ἡμᾶς. ὅτι. Ο τι παιδίον ἐγεννήθη ἡμῖν υἱὸς, καὶ ἐδόθη ἡμῖν. ὅτι. Οὗ ἡ ἀρχὴ ἐγενήθη ἐπὶ τοῦ ὤμου αὐτοῦ. ὅτι. Καὶ τῆς εἰρήνης αὐτοῦ οὐκ ἔστιν ὅριον. ὅτι. Καὶ καλεῖται τὸ ὄνομα αὐτοῦ μεγάλης βουλῆς ἄγγελος. ὅτι. Θαυμαστὸς σύμβουλος. ὅτι. Θεὸς ἰσχυρὸς ἐξουσιαστής. ὅτι. Αρχων εἰρήνης, πατὴρ τοῦ μέλλοντος αἰῶνος. ὅτι. Μεθ' ἡμῶν ὁ θεὸς γνῶτε ἔθνη καὶ ἡττᾶσθε.

λείας σου εὐλογημένον, καὶ δεδοξασμένον τὸ ὄνομά σου, τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος. νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν. Ε. ἰρήνη πᾶσι. Καὶ εὐθέως τὰ στιχηρὰ τοῦ στίχου. Δεῖ εἰδέναι. ὅτι ἔστιν εἰσὶν οἱ καθημερινοὶ στίχοι. στίχος. πρῶτος.

Π ρὸς σὲ ἦρα τοὺς ὀφθαλμούς μου, τὸν κατοικοῦντα ἐν τῷ οὐρανῷ. ἰδοὺ ὡς ὀφθαλμοὶ δούλων εἰς χεῖρας τῶν κυρίων αὐτῶν, ὡς ὀφθαλμοὶ παιδίσκης εἰς χεῖρας τῆς κυρίας αὐτῆς, οὕτως οἱ ὀφθαλμοὶ ἡμῶν πρὸς κύριον τὸν θεὸν ἡμῶν ἕως οὗ οἰκτειρῆσαι ἡμᾶς. στίχος β. Ε λέησον ἡμᾶς κύριε ἐλέησον ἡμᾶς, ὅτι ἐπὶ πολὺ ἐπλήσθημεν ἐξουδενώσεως, ὅτι πλεῖον ἐπλήσθη ἡ ψυχὴ ἡμῶν τὸ ὄνειδος τοῖς εὐθηνοῦσι, καὶ ἡ ἐξουδένωσις τοῖς ὑπερηφάνοις. Δόξα καὶ νῦν θεοτοκίον. εἶτα τό. Ν ῦν ἀπολύεις τὸν δοῦλον σου δέσποτα κατὰ τὸ ῥῆμά σου ἐν εἰρήνῃ, ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου, ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν. φῶς εἰς ἀποκάλυψιν ἐθνῶν, καὶ δόξαν λαοῦ σου Ἰσραήλ. Τὸ τρισάγιον. Τὸ παναγία τριάς. Τὸ πάτερ ἡμῶν, ὅτι σοῦ. τὸ ἀπολυτίκιον κατὰ τὴν ἡμέραν, καὶ θεοτοκίον. εἶτα οὐκ ἔστι ἀπολυτίκιον λέγει. Θ εοτόκε παρθένε, χαῖρε κεχαριτωμένη Μαρία ὁ κύριος μετὰ σοῦ, εὐλογημένη σὺ ἐν γυναιξὶ, καὶ εὐλογημένος ὁ καρπὸς τῆς κοιλίας σου, ὅτι σωτῆρα ἔτεκες τῶν ψυχῶν ἡμῶν. δόξα. Β απτιστὰ τοῦ Χριστοῦ πάντων ἡμῶν μνήσθητι, ἵνα ῥυσθῶμεν κινδύνων, καὶ θλίψεων. σὲ γὰρ θερμὸν προστάτην πρὸς τὸν σωτῆρα κεκτήμεθα. καὶ νῦν. Τ ὴν σὴν ἀπολαγχνίαν καταφεύγομεν θεοτόκε παρθένε, τὰς ἡμῶν ἱκεσίας μὴ παρίδῃς ἐν περιστάσει. ἀλλ' ἐκ κινδύνων ῥῦσαι ἡμᾶς μόνη ἁγνὴ, μόνη εὐλογημένη. ὁ διάκ. Ε ν εἰρήνῃ προσέλθετε. ὁ λαός. Ε ν ὀνόματι κυρίου. ὁ διάκ. Σ οφία. ὁ λαός. Ε ὐλογητὰ ἅγιε εὐλόγησον. Ε λεον εἰρήνης, καὶ ἄφεσιν ἁμαρτιῶν παράσχου ἡμῖν Χριστὲ ὁ θεὸς ἡμῶν, διὰ πρεσβειῶν, καὶ ἱκεσιῶν τῆς παναχράντου σου μητρὸς, καὶ πάντων τῶν ἁγίων σου. Ο θεὸς οἰκτειρήσαι ἡμᾶς, καὶ εὐλογήσαι ἡμᾶς, ἐπιφάναι τὸ πρόσωπον αὐτοῦ ἐφ' ἡμᾶς, καὶ ἐλεήσαι ἡμᾶς. Στερεώσει ὁ θεὸς τὴν ἁγίαν ὀρθόδοξον πίστιν τῶν χριστιανῶν. ἡμᾶς δὲ πάντας ἐν εἰρήνῃ, καὶ ἀφέσει ἁμαρτιῶν, διατηρήσῃ καὶ σώσῃ, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος. ὁ ἱερεὺς εὐλογεῖ, λέγων. Ο ὢν εὐλογητὸς θεὸς ἡμῶν πάντοτε, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας, τῶν αἰώνων. Ἀμήν. Δ όξα σοι Ἰησοῦ Χριστὲ ὁ θεὸς ἡ ἐλπὶς ἡμῶν δόξα σοι. ὁ λαός. το. δόξα πατρὶ, καὶ υἱῷ, καὶ ἁγίῳ πνεύματι. ὁ ἱερεὺς τὴν ἀπόλυσιν.

Χ ριστὸς ὁ ἀληθινὸς θεὸς ἡμῶν, πρεσβείαις τῆς ὑπερυμνήτου δεσποίνης ἡμῶν θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας. Τῶν τιμίων ἀσωμάτων ἀρχαγγέλων ἐπουρανίων δυνάμεων, τοῦ τιμιωτάτου προφήτου προδρόμου, καὶ Βαπτιστοῦ Ἰωάννου, τῶν ἁγίων ἐνδόξων, καὶ πανευφήμων

ἀπο-

στίχος. Οἱ ἑστῶτες ἐν οἴκῳ κυρίου, ἐν αὐλαῖς οἴκου θεοῦ ἡμῶν. Τῇ β΄. ἑσπέρας προκείμενον. ἦχος α΄. Κύριος εἰσακούσεταί μου, ἐν τῷ κεκραγέναι με πρὸς αὐτόν. στίχος. Ἐν τῷ ἐπικαλεῖσθαί με, εἰσήκουσέ μου, ὁ θεὸς τῆς δικαιοσύνης μου. Τῇ γ΄. ἑσπέρας προκείμενον. ἦχος β΄. Τὸ ἔλεός σου κύριε καταδιώξει με πάσας τὰς ἡμέρας τῆς ζωῆς μου. στίχος. Κύριος ποιμαίνει με, καὶ οὐδέν με ὑστερήσει, εἰς τόπον χλόης ἐκεῖ με κατεσκήνωσε. Τῇ δ΄. ἑσπέρας προκείμενον. ἦχος γ΄. Ὁ θεὸς ἐν τῷ ὀνόματί σου σῶσόν με καὶ ἐν τῇ δυνάμει σου κρινεῖς με. στίχος. Ὁ θεὸς εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὰ ῥήματα τοῦ στόματός μου. Τῇ ε΄. ἑσπέρας προκείμενον πλαγ. β΄. Ἡ βοήθειά μου παρὰ κυρίου, τοῦ ποιήσαντος τὸν οὐρανὸν, καὶ τὴν γῆν. στίχος. Ἦρα τοὺς ὀφθαλμούς μου εἰς τὰ ὄρη, ὅθεν ἥξει ἡ βοήθειά μου. Τῇ παρασκευῇ ἑσπέρας προκείμενον. ἦχος βαρύς. Ὁ θεὸς ἀντιλήπτωρ μου εἶ. τὸ ἔλεός σου προφθάσει με. στίχος. Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου ὁ θεὸς, καὶ ἐκ τῶν ἐπανισταμένων ἐπ' ἐμὲ λύτρωσαί με. Τῷ Σαββάτῳ ἑσπέρας προκείμενον. πλαγίου δ΄. Ὁ κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο. στίχος. Ἐνεδύσατο κύριος δύναμιν, καὶ περιεζώσατο. Καὶ μετὰ τὰ προκείμενα. λέγει τὰ ἀναγνώσματα. ἐὰν ἔχῃς. εἶτα λέγει ὁ διάκ. Εἴπωμεν πάντες. Ἐξ ὅλης ψυχῆς, καὶ ἐξ ὅλης τῆς διανοίας εἴπωμεν πάντες. Κύριε παντοκράτορ ὁ θεὸς τῶν. Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου. Ὑπὲρ τοῦ ῥυσθῆναι. ὁ διάκονος. Τὴν ἐκτενῆ. ζήτ. εἰς τὸν ὄρθρον, καὶ ἔπειτα τὴν εὐχὴν ταύτην.

Καταξίωσον κύριε ἐν τῇ ἑσπέρᾳ ταύτῃ ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς. εὐλογητὸς εἶ κύριε ὁ θεὸς τῶν πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας ἀμήν. γένοιτο κύριε τὸ ἔλεός σου ἐφ' ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σοί. εὐλογητὸς εἶ κύριε δίδαξόν με τὰ δικαιώματά σου. Κύριε τὸ ἔλεός σου εἰς τὸν αἰῶνα μένει· τὰ ἔργα τῶν χειρῶν σου μὴ παρίδῃς. σοὶ πρέπει αἶνος, σοὶ πρέπει ὕμνος. σοὶ δόξα πρέπει, τιμὴ, καὶ προσκύνησις. τῷ πατρὶ, καὶ τῷ υἱῷ, καὶ τῷ ἁγίῳ πνεύματι. Τὰς αἰτήσεις. ζήτ. εἰς τὸν ὄρθρον. εἶτα τὴν εὐχὴν ταύτην.

Κύριε ὁ θεὸς ἡμῶν ὁ κλίνας οὐρανοὺς, καὶ καταβὰς ἐπὶ σωτηρίᾳ τοῦ γένους τῶν ἀνθρώπων, ἔπιδε ἐπὶ τοὺς δούλους σου, καὶ ἐπὶ τὰ ἔργα σου, καὶ ἐπὶ τὴν κληρονομίαν σου. σοὶ γὰρ τῷ φοβερῷ, καὶ φιλανθρώπῳ κριτῇ οἱ σοὶ δοῦλοι τὰς ἑαυτῶν ὑπέκλιναν κεφαλὰς, καὶ τοὺς ἐξ αὐτῶν ὑπέταξαν αὐχένας, οὐ τὴν ἐξ ἀνθρώπων ἀναμένοντες βοήθειαν, ἀλλὰ τὸ σὸν περιμένοντες ἔλεος, καὶ τὴν σὴν ἀπεκδεχόμενοι σωτηρίαν. οὓς διαφύλαξον ἐν παντὶ καιρῷ, κατὰ τὴν παροῦσαν ἑσπέραν, καὶ τὴν προσιοῦσαν νύκτα, ἀπὸ παντὸς κακοῦ, ἀπὸ πάσης ἀντικειμένης ἐνεργείας, διαλογισμῶν ματαίων, καὶ ἐνθυμήσεων πονηρῶν. Εἴη τὸ κράτος τῆς βασιλείας

τα. Καὶ ὁ ἱερεὺς διαλογεῖ οὕτως.

Εὐλογημένη ἡ βασιλεία τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος. νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ὁ λαός. Ἀμήν. Δεῦτε προσκυνήσωμεν, καὶ προσπέσωμεν Χριστῷ, τῷ θεῷ, καὶ βασιλεῖ ἡμῶν γ'. καὶ ὁ προοιμιακὸς ψαλμὸς ργ'. φ. ογ. Δόξα καὶ νῦν ἀλληλούϊα. δόξα σοι ὁ θεὸς γ'. εἶτα ὁ διάκονος. τὴν συναπτήν. Ἐν εἰρήνῃ τοῦ κυρίου δεηθῶμεν. καὶ τὰ εἰρηνικά. ζήτ. ἐν τῷ ὄρθρῳ. καὶ μετὰ τοῦ ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς. Τὴν εὐχὴν ταύτην.

Κύριε οἰκτίρμον, καὶ ἐλεῆμον, μακρόθυμε, καὶ πολυέλεε, ἐνώτισαι τὴν προσευχὴν ἡμῶν, καὶ πρόσχες τῇ φωνῇ τῆς δεήσεως ἡμῶν, ποίησον μεθ' ἡμῶν σημεῖον εἰς ἀγαθὸν, ὁδήγησον ἡμᾶς ἐν τῇ ὁδῷ σου τοῦ πορεύεσθαι ἐν τῇ ἀληθείᾳ σου, εὔφρανον τὰς καρδίας ἡμῶν εἰς τὸ φοβεῖσθαι τὸ ὄνομά σου τὸ ἅγιον. διότι μέγας εἶ σὺ, καὶ ποιῶν θαυμάσια. σὺ εἶ ὁ θεὸς μόνος, καὶ οὐκ ἔστιν ὅμοιός σοι ἐν θεοῖς κύριε, δυνατὸς ἐν ἰσχύϊ, καὶ ἀγαθὸς ἐν ἐλέει, εἰς τὸ βοηθεῖν, καὶ παρακαλεῖν, καὶ σώζειν πάντας τοὺς ἐλπίζοντας εἰς τὸ ὄνομά σου τὸ ἅγιον. ὁ διάκ. Ἀντιλαβοῦ. Τῆς παναγίας ἀχράντου. Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ, καὶ προσκύνησις. Εἰρήνη πᾶσι. Καὶ ὅταν ἐστὶ Σάββατον ἑσπέρας στιχολογοῦμεν τὸ μακάριος ἀνὴρ ὃς οὐκ ἐπορεύθη. ψαλμὸς α'. φ. α'. χωρὶς τοῦ μεγάλου σαββάτου. καὶ τοῦ σαββάτου τῆς ν'. καὶ τῶν παραμονῶν τῶν δεσποτικῶν ἑορτῶν, καὶ τῆς θεοτόκου ἐν σαββάτῳ τυχουσῶν. εἶτα τὸ κύριε ἐκέκραξα κατὰ τὸν ἦχον τοῦ προκειμένου.

Κύριε ἐκέκραξα πρὸς σέ. ψαλμ. ρμ. φ. ρ'.

Φωνῇ μου πρὸς κύριον. ψ. ρμα'. φ. ρα'.

Ἐκ βαθέων ἐκέκραξα. ψ. ρκθ'. φ. ϟς'.

Αἰνεῖτε τὸν κύριον πάντα τά. ψαλ. ριϛ'. φ. πε'.

Καὶ ψάλλομεν τὰ στιχηρὰ κατὰ τὸ τυπικόν. εἶτα γίνεται εἴσοδος. διὰ τῆς εἰσόδου. Τοῦ κυρίου δεηθῶμεν.

Ἑσπέρας, καὶ πρωῒ, καὶ μεσημβρίας αἰνοῦμεν, εὐλογοῦμεν, εὐχαριστοῦμεν, καὶ δεόμεθά σου δέσποτα φιλάνθρωπε, κατεύθυνον τὴν προσευχὴν ἡμῶν, ὡς θυμίαμα ἐνώπιόν σου, καὶ μὴ ἐκκλίνῃς τὰς καρδίας ἡμῶν εἰς λόγους πονηρίας, ἀλλὰ ῥῦσαι ἡμᾶς ἐκ πάντων τῶν θηρευόντων τὰς ψυχὰς ἡμῶν. ὅτι πρὸς σὲ κύριε κύριε οἱ ὀφθαλμοὶ ἡμῶν. καὶ ἐπὶ σοὶ ἠλπίσαμεν, μὴ καταισχύνῃς ἡμᾶς, ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ, καὶ προσκύνησις, τῷ πατρὶ, καὶ τῷ υἱῷ, καὶ τῷ ἁγίῳ πνεύματι. ὁ διάκονος. Σοφία ὀρθοί. ὁ λαός. Φῶς ἱλαρὸν ἁγίας δόξης ἀθανάτου πατρὸς, οὐρανίου ἁγίου μάκαρος Ἰησοῦ Χριστὲ, ἐλθόντες ἐπὶ τὴν ἡλίου δύσιν, ἰδόντες φῶς ἑσπερινὸν ὑμνοῦμεν πατέρα, υἱὸν, καὶ ἅγιον πνεῦμα θεόν. ἄξιος εἶ ἐν πᾶσι καιροῖς ὑμνεῖσθαι φωναῖς ὁσίαις υἱὲ θεοῦ, ζωὴν ὁ διδούς. διὸ ὁ κόσμος σὲ δοξάζει. Πρόσχωμεν. Εἰρήνη πᾶσι. Σοφία πρόσχωμεν. Καὶ ψάλλομεν τὰ προκείμενα τῆς ἡμέρας. Τῇ κυριακῇ ἑσπέρας προκείμενον πλαγίου δ'. Ἰδοὺ δὴ εὐλογεῖτε τὸν κύριον πάντες οἱ δοῦλοι κυρίου.

στίχος.

θήκlω σου, καὶ μὴ ἀποστήσῃς τὸ ἔλεός σου ἀφ᾽ ἡμῶν, διὰ Ἀβραὰμ τὸ ἠγαπημένον ὑπὸ σοῦ, καὶ διὰ Ἰσαὰκ τὸν δοῦλόν σου, καὶ Ἰσραὴλ τὸν ἅγιόν σου.

Τὸ τρισάγιον. καὶ τὰ λοιπά. τὰ εἰσοδ.

Κύριε τίς παροικήσει. ψαλ. ιδ´. φ. ζ´.


Φύλαξόν με κύριε. ψαλ. ιϛ´. φ. η´.

Ἐλέησόν με ὁ θεός. ψαλ. ν´. φ.

Τὸ τρισάγιον. καὶ τὰ λοιπά. τροπάριον. πλάγιος δ´. Βλέπων ὁ λῃστὴς τὸν ἀρχηγὸν τῆς ζωῆς ἐπὶ σταυροῦ κρεμάμενον, ἔλεγεν. εἰ μὴ θεὸς ὑπῆρχεν ἀληθὴς ὁ σὺν ἡμῖν σταυρωθεὶς, οὐκ ἂν ἥλιος τὰς ἀκτῖνας ἀπέκρυψεν, οὐδὲ ἡ γῆ σειομένη ἐκυμαίνετο, ἀλλ᾽ ὁ πάντων ἀντεχόμενος, μνήσθητί μου κύριε ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου. Τὸν ἀμνὸν καὶ ποιμένα, καὶ σωτῆρα τοῦ κόσμου ἐν τῷ σταυρῷ θεωροῦσα ἡ τεκοῦσα ἔλεγε δακρύουσα, ὁ μὲν κόσμος ἀγάλλεται δεχόμενος τὴν λύτρωσιν, τὰ δὲ σπλάγχνα μου φλέγονται ὁρώσης σου τὴν σταύρωσιν, ἣν ὑπὲρ πάντων ὑπομένεις ὁ υἱὸς καὶ θεός μου. Κύριε ἐλέησον ιβ´. Καὶ ἀλλ᾽. Τοῦ κυρίου.

Δέσποτα κύριε Ἰησοῦ Χριστὲ ὁ θεὸς ἡμῶν. ὁ τὴν ψυχὴν ἐπὶ σταυροῦ κρεμάμενος τῇ ἐννάτῃ ὥρᾳ παραδοὺς τῷ θεῷ καὶ πατρὶ, καὶ τῷ συσταυρωθέντι σοι λῃστῇ ὁδοποιήσας τὴν εἰς τὸν παράδεισον εἴσοδον, μή με παρίδῃς ἀγαθὲ, μήμε ἀποδοκιμάσῃς Χριστὲ, ἀλλ᾽ ἁγίασόν μου τὴν ψυχὴν, καὶ φώτισόν μου τὴν διάνοιαν, καὶ τῆς ἀθανάτου σου τρυφῆς κληρονόμον με ἀνάδειξον. ἵνα γευσάμενος τῆς χρηστότητός σου. ὕμνον ἀσίγήτως προσφέρω σοι. ὑπὲρ πάντων ποθήσας σου τὴν ὡραιότητα, Χριστὲ ὁ θεὸς ἡμῶν δόξα σοι. Ὁ ὢν εὐλογητὸς θεὸς ἡμῶν πάντοτε. Δόξα σοι Ἰησοῦ Χριστὲ ὁ θεὸς ἡμῶν, ἡ ἐλπὶς ἡμῶν δόξα σοι. Δόξα πατρὶ, καὶ υἱῷ, καὶ ἁγίῳ πνεύματι. νῦν καὶ ἀεὶ, καὶ ἀπόλυσις τῶν ὡρῶν.

Ὁ εὔσπλαγχνος, καὶ ἐλεήμων θεὸς, προσδέξῃ τὴν δέησιν ἡμῶν τῶν ἁμαρτωλῶν τῆς α´. γ´. ϛ´. καὶ θ´. ὥρας διὰ πρεσβειῶν καὶ ἱκεσιῶν τῆς παναχράντου αὐτοῦ μητρὸς δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου Μαρίας. καὶ τοῦ ἁγίου. Ν. καὶ πάντων τῶν ἁγίων. καὶ διὰ δὲ χῶν τῶν ἁγίων πατέρων ἡμῶν. σώσῃ, καὶ ἐλεήσῃ, καὶ διαφυλάξῃ πάντας ἡμᾶς ὡς ἀγαθὸς, καὶ φιλάνθρωπος.



ΑΡΧΗ ΤΟΥ ΕΣΠΕΡΙΝΟΥ.

Χρὴ γινώσκειν, ὅτι ἐὰν τύχῃ λιτὴ ἡμέρα ἄρχεται ὁ ἱερεὺς οὕτως.

Εὐλογητὸς ὁ θεὸς ἡμῶν πάντοτε νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας, τῶν αἰώνων. ὁ λαός. Ἀμήν. Τὸ τρισάγιον. Τὸ παναγία τριάς. Τὸ πάτερ ἡμῶν. ὅτι σοῦ ἐστιν. Δεῦτε προσκυνήσωμεν. γ´. καὶ ὁ ψαλμὸς ργ´. φ. ογ´. Εὐλόγει ἡ ψυχή μου τὸν κύριον, κύριε ὁ θεός μου. Ἰδὲ εἰ κυριακὴ, ἢ ἐπίσημος ἑορτὴ ἄρχεται οὕτως ὁ διάκονος. Εὐλόγησον δέσποτα.

Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ. Γεννηθέντα, οὐ ποιηθέντα, ὁμοούσιον τῷ πατρὶ, δι᾽ οὗ τὰ πάντα ἐγένετο. Τὸν δι᾽ ἡμᾶς τοὺς ἀνθρώπους, καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν. Κατελθόντα ἐκ τῶν οὐρανῶν, καὶ σαρκωθέντα ἐκ πνεύματος ἁγίου καὶ Μαρίας τῆς παρθένου. καὶ ἐνανθρωπήσαντα. Σταυρωθέντα τε ὑπὲρ ἡμῶν ἐπὶ Ποντίου Πιλάτου. Παθόντα, καὶ ταφέντα, καὶ ἀναστάντα ἐκ νεκρῶν, τῇ τρίτῃ ἡμέρᾳ κατὰ τὰς γραφάς. Καὶ ἀνελθόντα εἰς τοὺς οὐρανοὺς, καὶ καθεζόμενον ἐν δεξιᾷ τοῦ πατρὸς. Καὶ πάλιν ἐρχόμενον μετὰ δόξης κρῖναι ζῶντας, καὶ νεκροὺς, οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος. Καὶ εἰς τὸ πνεῦμα τὸ ἅγιον τὸ κύριον τὸ ζωοποιοῦν, τὸ ἐκ τοῦ πατρὸς, καὶ υἱοῦ ἐκπορευόμενον. Τὸ σὺν πατρὶ, καὶ υἱῷ συμπροσκυνούμενον, καὶ συνδοξαζόμενον, τὸ λαλῆσαν διὰ τῶν προφητῶν. Εἰς μίαν ἁγίαν καθολικὴν, καὶ ἀποστολικὴν ἐκκλησίαν. Ὁμολογῶ ἓν βάπτισμα εἰς ἄφεσιν ἁμαρτιῶν. Προσδοκῶ ἀνάστασιν νεκρῶν, καὶ ζωὴν τοῦ μέλλοντος αἰῶνας. Ἀμήν. ... ... Πάτερ ἡμῶν, ὅτι σοῦ. ... λέγε τὸ προσκαίριον κατὰ τὴν ἡμέραν καὶ ... κίον. εἶτα λέγε. Εἷς ἅγιος, εἷς κύριος Ἰησοῦς Χριστὸς, εἰς δόξαν Θεοῦ πατρὸς ἀμήν. τα. Εἴη τὸ ὄνομα κυρίου εὐλογημένον ἀπὸ τοῦ νῦν, καὶ ἕως τοῦ αἰῶνος. γ. Δόξα, καὶ νῦν. Κύριε ἐλέησον. β´. Κύριε εὐλόγησον α´. καὶ ἄρχεται ὁ ψαλμὸς οὗτος. Εὐλογήσω τὸν κύριον ἐν παντὶ.

ψαλ. λγ´. φ. ϗ´. Ὁ ψαλμὸς τῆς τραπέζης ἔτος. Γνώσω σε ὁ Θεός μου. ψαλμῷ. ρθγ´

Ὥρα ἐννάτη. Τὸ τρισάγιον. Τὸ παναγία τριάς. Τὸ πάτερ ἡμῶν. ὅτι σοῦ. Δεῦτε προσκυνήσωμεν. γ´. καὶ οἱ ψαλμοὶ οὗτοι.

Ὡς ἀγαπητὰ τὰ σκηνώματα. ψαλμ. πγ. φ. ξ´.

Εὐδόκησας κύριε τὴν. ψαλ. πδ´. φ. ξ´.

Κλῖνον κύριε τὸ οὖς σου. ψαλμ. πε. φ. ξα´.

Δόξα, καὶ νῦν ἀλληλούϊα. γ´. καὶ τὸ τροπάριον, εἰ οὐκ ἔχεις λέγε τὸ παρὸν. ἦχος. δ´. Ὁ ἐν τῇ ἐννάτῃ ὥρᾳ δι᾽ ἡμᾶς σαρκὶ θανάτου γευσάμενος νέκρωσον τὸ φρόνημα τῆς σαρκὸς ἡμῶν Χριστὲ ὁ Θεὸς καὶ σῶσον ἡμᾶς. ἦχος ε. Ἐγγισάτω ἡ δέησίς μου ἐνώπιόν σου κύριε. ἦχος. Εἰσέλθοι τὸ ἀξίωμά μου ἐνώπιόν σου κύριε. Δόξα καὶ νῦν θεοτοκίον. Ὁ δι᾽ ἡμᾶς γεννηθεὶς ἐκ παρθένου, καὶ σταύρωσιν ὑπομείνας ἀγαθέ, ὁ θανάτῳ τὸν θάνατον σκυλεύσας, καὶ ἔγερσιν δείξας ὡς Θεὸς, μὴ παρίδῃς οὓς ἔπλασας τῇ χειρί σου, δεῖξον τὴν φιλανθρωπίαν σου ἐλεῆμον, δέξαι τὴν τεκοῦσάν σε θεοτόκον, πρεσβεύουσαν ὑπὲρ ἡμῶν, καὶ σῶσον σωτὴρ ἡμῶν λαὸν ἀπεγνωσμένον. Μὴ δὴ παραδώσῃς ἡμᾶς εἰς τέλος διὰ τὸ ὄνομά σου, καὶ μὴ διασκεδάσῃς τὴν διαθήκην

Τὰ μεσώρια τῆς ϛ΄. ὥρας.

Μακάριος ὃς συνιῶν. ψαλ. μ΄. φ. κζ΄.

Ὁ νβόπον ἐπιποθεῖ. ψαλ. μά. φ. κή.

Ὁ θεὸς ἡμῶν καταφυγή. ψ. μέ. φ. λά.

Τὸ τρισάγιον· καὶ τὰ λοιπά. ἦχος β΄.

Σωτηρίαν εἰργάσω ἐν μέσῳ τῆς γῆς Χριστὲ ὁ θεὸς, ἐπὶ σταυροῦ τὰς ἀχράντους σου χεῖρας ἐξέτεινας, ἐπισυνάγων πάντα τὰ ἔθνη κράζοντα κύριε δόξα σοι. Θεοτοκ. Θείας γεγόναμεν κοινωνοὶ φύσεως, διὰ σοῦ θεοτόκε ἀειπάρθενε, θεὸν γὰρ ἡμῖν σεσαρκωμένον ἔτεκες, διό σε καταχρέως πάντες εὐσεβῶς μεγαλύνομεν. Κύριε ἐλέησον. ιβ΄. Τοῦ κυρίου δεηθῶμεν.

Δέσποτα κύριε Ἰησοῦ Χριστὲ παντοδύναμε, ὁ κατὰ τὴν ἕκτην ὥραν ἐν τῷ τιμίῳ καὶ ζωοποιῷ σου σταυρῷ θριαμβεύσας τὰς ἀντικειμένας δυνάμεις. ῥῦσαι ἡμᾶς ἀπὸ παντὸς συμπτώματος, καὶ δαιμονίου μεσημβρινοῦ, εὐχαῖς τῶν ἁγίων πατέρων ἡμῶν, καὶ καθήλωσον ἐκ τοῦ φόβου σου τὰς σάρκας ἡμῶν, ἐκκλινοῦσας ἀπὸ παντὸς κακοῦ, καὶ ἐνεργοῦσας ἡμῖν τὰς σωτηρίους σου ἐντολάς. πάντοτε, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Ἀρχὴ τῶν τυπικῶν. λέγε οὕτως. Εὐλογητὸς εἶ κύριε. Εὐλόγει ἡ ψυχή μου τὸν κύριον, καὶ πάντα τὰ ἐντός μου. ψαλ. ρβ΄. φ. οβ΄. εἶτα δόξα. Αἴνει ἡ ψυχή μου τὸν κύριον. ψαλ. ρμε΄. φ. ρ.. εἶτα λέγε καὶ νῦν. Ὁ μονογενὴς υἱὸς, καὶ λόγος τοῦ θεοῦ ἀθάνατος ὑπάρχων, καὶ καταδεξάμενος διὰ τὴν ἡμετέραν σωτηρίαν, σαρκωθῆναι ἐκ τῆς ἁγίας θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας, ἀτρέπτως ἐνανθρωπήσας σταυρωθείς τε Χριστὲ ὁ θεὸς, θανάτῳ θάνατον πατήσας. εἷς ὢν τῆς ἁγίας τριάδος συνδοξαζόμενος τῷ πατρὶ, καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, σῶσον ἡμᾶς. Ἐν τῇ βασιλείᾳ σου μνήσθητι ἡμῶν κύριε. Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι, ὅτι αὐτῶν ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν. Μακάριοι οἱ πενθοῦντες, ὅτι αὐτοὶ παρακληθήσονται. Μακάριοι οἱ πραεῖς, ὅτι αὐτοὶ κληρονομήσουσι τὴν γῆν. Μακάριοι οἱ πεινῶντες, καὶ διψῶντες τὴν δικαιοσύνην, ὅτι αὐτοὶ χορτασθήσονται. Μακάριοι οἱ ἐλεήμονες, ὅτι αὐτοὶ ἐλεηθήσονται. Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν θεὸν ὄψονται. Μακάριοι οἱ εἰρηνοποιοὶ, ὅτι αὐτῶν ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν. Μακάριοι ἐστὲ, ὅταν ὀνειδίσωσιν ὑμᾶς, καὶ διώξωσι, καὶ εἴπωσι πᾶν πονηρὸν ῥῆμα καθ' ὑμῶν ψευδόμενοι ἕνεκεν ἐμοῦ. Χαίρετε, καὶ ἀγαλλιᾶσθε, ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς. Μνήσθητι ἡμῶν κύριε, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου. Χορὸς ὁ ἐπουράνιος τῶν ἀγγέλων. καὶ ἀρχαγγέλων ὑμνεῖ σε, καὶ λέγει ἅγιος, ἅγιος, ἅγιος κύριος θεὸς σαβαὼθ πλήρης ὁ οὐρανὸς, καὶ ἡ γῆ τῆς δόξης σου, ὡς αννὰ ἐν τοῖς ὑψίστοις, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου, ὡς αννὰ ἐν τοῖς ὑψίστοις.

Πιστεύω εἰς ἕνα θεὸν πατέρα παντοκράτορα. ποιητὴν οὐρανοῦ, καὶ γῆς, ὁρατῶν τε, πάντων, καὶ ἀοράτων. Καὶ εἰς ἕνα κύριον, Ἰησοῦν Χριστὸν, τὸν υἱὸν τοῦ θεοῦ τὸν μονογενῆ. Τὸν ἐκ τοῦ πατρὸς γεννηθέντα πρὸ πάντων τῶν αἰώνων. Φῶς ἐκ φωτὸς

καθ' ἡμέραν, κατευοδώσαι ἡμῖν ὁ θεὸς τῶν σωτηρίων ἡμῶν, ὁ θεὸς ἡμῶν ὁ θεὸς τοῦ ἐλεεῖν καὶ σώζειν. Τὸ τρισάγιον. Τὸ παναγία τριάς. Τὸ πάτερ ἡμῶν. ὅτι σοῦ. καὶ ἐὰν ἐστὶ μ. λέγε. Κύριε ἐλέησον ιβʹ. Κύριε Ἰησοῦ Χριστὲ ὁ θεὸς ἡμῶν ἐλέησον ἡμᾶς. ἀμήν. Δεῦτε προσκυνήσωμεν. γʹ. Καὶ τὰ μεσώρια τῆς γʹ. ὥρας.

Κρῖνόν με κύριε. ψαλ. κέ. φ. ιζʹ.
Κύριος φωτισμός μου. ψαλ. κζʹ. φ. ιςʹ.
Ο θεὸς εἰς τὴν βοήθειάν μου. ψαλ. ξθʹ. φ. μζʹ.

Τὸ τρισάγιον. Τὸ παναγία τριάς. Τὸ πάτερ ἡμῶν. ὅτι σοῦ. Τροπ. πλάγιος βʹ.

Βασιλεῦ οὐράνιε παράκλητε, τὸ πνεῦμα τῆς ἀληθείας, ὁ πανταχοῦ παρὼν, καὶ τὰ πάντα πληρῶν, ὁ θησαυρὸς τῶν ἀγαθῶν, καὶ ζωῆς χορηγός. ἐλθὲ, καὶ σκήνωσον ἐν ἡμῖν, καὶ καθάρισον ἡμᾶς ἀπὸ πάσης κηλῖδος, καὶ σῶσον ἀγαθὲ τὰς ψυχὰς ἡμῶν. θεοτοκίον. Π ροστασία τῶν χριστιανῶν ἀκαταίσχυντε. μεσιτεία πρὸς τὸν ποιητὴν ἀμετάθετε, μὴ παρίδῃς ἁμαρτωλῶν δεήσεων φωνὰς, ἀλλὰ πρόφθασον ὡς ἀγαθὴ εἰς τὴν βοήθειαν ἡμῶν, τῶν πιστῶς κραυγαζόντων σοι, τάχυνον εἰς πρεσβείαν καὶ σπεῦσον εἰς ἱκεσίαν, ἡ προστατεύουσα ἀεὶ θεοτόκε τῶν τιμώντων σε. Τ ὸ κυρίε δεήθῶμεν. ἡ ᾠδή.

Δ Εσποτα κύριε ὁ θεὸς ἡμῶν, ὁ κατὰ τὴν τρίτην ὥραν, τὸ παράκλητον. καὶ ἅγιόν σου πνεῦμα τοῖς ἁγίοις σου μαθηταῖς, καὶ ἀποστόλοις ἐκπέμψας, καὶ ἡμᾶς τοὺς ἀναξίους δούλους σου. διὰ χάριν τῶν ἁγίων πατέρων ἡμῶν τῆς αὐτῆς σου δωρεᾶς, καὶ χρηστότητος μετόχους ἀνάδειξον. ἐν ὁμονοίᾳ, καὶ εἰρήνῃ συντηρῶν τὴν ζωὴν ἡμῶν, πάντοτε, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Ὥρα ἕκτη. τὸ τρισάγιον καὶ τὰ λοιπά.
Ο θεὸς ἐν τῷ ὀνόματί σου. ψαλ. νγʹ. φ. λϛʹ.
Ε νώτισαι ὁ θεός. ψαλ. νδʹ. φ. λςʹ.
Ο κατοικῶν ἐν βοηθείᾳ. ψαλ. ϟʹ. φ. ξζʹ.

Δόξα καὶ νῦν ἀλληλούϊα. γʹ. εἰ δὲ οὐκ ἔχεις τροπάριον λέγε τόδε ἦχος βʹ.

Ο ἐν ἕκτῃ ἡμέρᾳ τε, καὶ ὥρᾳ τῷ σταυρῷ προσηλώσας τὴν ἐν τῷ παραδείσῳ τολμηθεῖσαν ὑπὸ Ἀδὰμ ἁμαρτίαν, καὶ τῶν πταισμάτων ἡμῶν τὸ χειρόγραφον διάῤῥηξον Χριστὲ ὁ θεὸς ἡμῶν, καὶ σῶσον ἡμᾶς. στίχος αʹ. Ἐνώτισαι ὁ θεὸς τὴν προσευχήν. στίχος βʹ. Ἑσπέρας, καὶ πρωῒ, καὶ μεσημβρίας διηγήσ. Δόξα καὶ νῦν θεοτοκίον.

Ο Τι οὐκ ἔχομεν παῤῥησίαν διὰ τὰ πολλὰ ἡμῶν ἁμαρτήματα, σὺ τὸν ἐκ σοῦ γεννηθέντα δυσώπησον θεοτόκε παρθένε. πολλὰ γὰρ ἰσχύει δέησις μητρὸς πρὸς εὐμένειαν δεσπότου. μὴ παρίδῃς ἁμαρτωλῶν ἱκεσίας ἡ πάνσεμνος, ὅτι ἐλεήμων ἐστὶ, καὶ σώζειν δυνάμενος. ὁ καὶ παθεῖν ὑπὲρ ἡμῶν καταδεξάμενος. Ταχὺ προκαταλαβέτωσαν ἡμᾶς οἱ οἰκτιρμοί σου κύριε, ὅτι ἐπτωχεύσαμεν σφόδρα, βοήθησον ἡμῖν ὁ θεὸς ὁ σωτὴρ ἡμῶν, ἕνεκεν τῆς δόξης τοῦ ὀνόματός σου, κύριε ῥῦσαι ἡμᾶς, καὶ ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν ἕνεκεν τοῦ ὀνόματός σου. Τὸ τρισάγιον καὶ τὰ λοιπά.

Τὸ

τὸ πρόσωπόν σου ἐπίφανον ἐπὶ τὸν δοῦλόν σου, καὶ δίδαξόν με τὰ δικαιώματά σου. πληρωθήτω τὸ στόμα μου αἰνέσεως κύριε. ὅπως ἀνυμνήσω τὴν δόξαν σου· ὅλην τὴν ἡμέραν τὴν μεγαλοπρέπειάν σου. Τὸ τρισάγιον. τὸ παναγία τριάς. τὸ πάτερ ἡμῶν, ὅτι σοῦ. εἶτα τό. κύριε ἐλέησον. ιβ´. κύριε Ἰησοῦ Χριστὲ ὁ θεὸς ἡμῶν ἐλέησον ἡμᾶς. ἀμήν. δεῦτε προσκυνήσωμεν. γ´. καὶ τὰ μεσώρια τῆς. α´. ὥρας.

Υψώσω σε κύριε ὅτι. ψαλ. κθ´. φ. ιζ´.
Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι. ψ. ϟα´. φ. ξϛ´.
Ὁ κύριος ἐβασίλευσε. ψ. ϟϛ´. φ. ξζ´.

Τὸ τρισάγιον. Τὸ παναγία τριάς. Τό πάτερ ἡμῶν ὅτι σοῦ. τροπάριον ἦχος β´.

Τὴν ἄχραντον εἰκόνα σου προσκυνοῦμεν ἀγαθέ, αἰτούμενοι συγχώρησιν τῶν πταισμάτων ἡμῶν. Χριστὲ ὁ θεός. βουλήσει γὰρ ηὐδόκησας ἀνελθεῖν ἐν τῷ σταυρῷ, ἵνα ῥύσῃ οὓς ἔπλασας τῆς δουλείας τοῦ ἐχθροῦ. ὅθεν εὐχαρίστως βοῶμέν σοι, χαρᾶς ἐπλήρωσας τὰ πάντα ὁ σωτὴρ ἡμῶν παραγενόμενος εἰς τὸ σῶσαι τὸν κόσμον. Εὐσπλαγχνίας ὑπάρχουσα πηγή, συμπαθείας ἀξίωσον ἡμᾶς θεοτόκε, βλέψον εἰς λαὸν τὸν ἁμαρτήσαντα, δεῖξον ὡς ἀεὶ τὴν δυναστείαν σου. εἰς σὲ γὰρ ἐλπίζοντες τὸ χαῖρε βοῶμέν σοι, ὡς ποτὲ ὁ Γαβριήλ, ὁ τῶν ἀσωμάτων ἀρχιστράτηγος. κύριε ἐλέησον. ιε´. ἡ εὐχή. Τοῦ κυρίου δεηθῶμεν.

Δέσποτα κύριε ὁ θεὸς ἡμῶν τὸ ἀπρόσιτον φῶς, ὁ καταξιώσας ἡμᾶς τοὺς ἁμαρτωλούς, καὶ ἀναξίους δούλους σου πρὸς τὰς ἀρχὰς τῆς ἡμέρας ταύτης εἰσελθεῖν, συνανάτειλον ἐν ταῖς καρδίαις ἡμῶν τὸν τῆς δικαιοσύνης ἥλιον φωταγωγοῦντα ἡμᾶς τὴν ὁδὸν τῶν ἐντολῶν σου πορευθῆναι, εὐχαῖς τῶν ἁγίων πατέρων ἡμῶν πάντοτε νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.



Ὥρα τρίτη. Τὸ τρισάγιον, καὶ τὰ λοιπὰ ὡς ἐν τῇ α´. ὁ πρῶτος ψαλμός.

Εἰσάκουσον κύριε δικαιοσύνης. ψαλ. ις´. φ. ιι.

Πρὸς σὲ κύριε ἦρα τήν. ψαλ. κδ´. φ. ιδ´.

Ἐλέησόν με ὁ θεός. ψαλ. ν´. φ. λδ´.

Δόξα καὶ νῦν ἀλληλ. ὡς ἐν τῇ α´. ὥρᾳ. θεοτοκίον. Θεοτόκε σὺ εἶ ἡ ἄμπελος ἡ ἀληθινή, ἡ βλαστήσασα τὸν καρπὸν τῆς ζωῆς. σὲ ἱκετεύομεν· πρέσβευε δέσποινα μετὰ τῶν ἁγίων ἀποστόλων ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν. εἶτα εἰ οὐκ ἔχεις τροπάριον λέγε τοδί. τρ. ἀγίου β´. Κύριε ὁ τὸ πανάγιόν σου πνεῦμα ἐν τῇ τρίτῃ ὥρᾳ, τοῖς ἁγίοις σου μαθηταῖς καὶ ἀποστόλοις καταπέμψας, τοῦτο ἀγαθὲ μὴ ἀντανέλῃς ἀφ' ἡμῶν, ἀλλ' ἐγκαίνισον ἡμῖν τοῖς δεομένοις σου. στίχος α. Καρδίαν καθαράν. στίχος β´. Μὴ ἀπορρίψῃς με. δόξα καὶ νῦν θεοτοκίον. Θεοτόκε σὺ εἶ ἡ ἄμπελος· Κύριος ὁ θεὸς εὐλογητός, εὐλογητὸς κύριος ἡμέραν

ἀποστόλοις ἱεροῖς, μετὰ μαρτύρων, ὁσίων, καὶ προφητῶν τὸν σὸν τόκον. εἶτα τοῖς αἴνοις, καὶ ψάλλομεν στιχηρὰ μαρτυρικά. δ΄. Δόξα καὶ νῦν θεοτοκίον, καὶ μετὰ τὸ δόξα ἐν ὑψίστοις στιχηρὰ ἀναπαύσιμα. γ΄. κατὰ τὸν ἦχον τῆς ἡ. ἦχου. στίχος α΄. Ὡς ἀγαπητὰ τὰ σκηνώματά σου κύριε τῶν δυνάμεων.

στίχος β΄. Ἐπιποθεῖ καὶ ἐκλείπει ἡ ψυχή μου εἰς τὰς αὐλὰς τοῦ κυρίου. Δόξα τοῦ ἁγίου. εἰδ΄ οὐκ ἔχει λέγε Δόξα πλαγίου β΄.

Σὺ εἶ ὁ θεὸς ἡμῶν, ὁ ἐν σοφίᾳ τὰ πάντα δημιουργῶν, καὶ πληρῶν, προφήτας ἐξαπέστειλας Χριστὲ προφητεῦσαι σου τὴν παρουσίαν, καὶ ἀποστόλοις κηρύξαι σου τὰ μεγαλεῖα, καὶ οἱ μὲν προεφήτευον τὴν θείαν ἔλευσίν σου. οἱ δὲ τῷ βαπτίσματι ἐφώτισαν τὰ ἔθνη. μάρτυρες δὲ ἔτυχον, ὧν περ ἐπόθουν, καὶ πρεσβεύει σοι ὁ χορὸς τῶν ἁγίων σου σὺν τῇ τεκούσῃ σε. ἀνάπαυσον κύριε ψυχὰς ἃς προσελάβου, καὶ καταξίωσον αὐτὰς τυχεῖν τῆς οὐρανίου βασιλείας σου. ὁ σταυρὸν ὑπομείνας καὶ θάνατον δι᾽ ἐμὲ τὸν κατάκριτον ὁ λυτρωτής μου καὶ θεός. καὶ νῦν θεοτοκίον. Πρεσβείαις τῆς τεκούσης σε Χριστὲ σωτὴρ, καὶ τοῦ προδρόμου σου, ἀποστόλων, προφητῶν, ἱεραρχῶν, ὁσίων, καὶ δικαίων, καὶ πάντων τῶν ἁγίων, τοὺς κοιμηθέντας δούλους σου ἀνάπαυσον.



Ἀρχὴ τῶν καθ᾽ ἡμέραν ὡρῶν.

Ὥρα α΄. ὁ ἱερεύς. λέγει.

Εὐλογητὸς ὁ θεὸς ἡμῶν πάντοτε. Τὸ βασίλιον. Τὸ παναγία τριάς. Τὸ πάτερ ἡμῶν. ὅτι σοῦ ἐστιν ἡ. δεῦτε προσκυνήσωμεν. γ΄. ζήτει εἰς τὸ ψαλτήριον.

Τὰ ῥήματά μου ἐνώτ. ψαλ. ε. φ. ϛ΄. Κύριε καταφυγὴ ἐγενήθ. ψαλ. πθ΄. φ. ξϛ. Ἔλεος καὶ κρίσιν ᾄσομ. ψαλ. ρ΄ φ. οα. Δόξα καὶ νῦν ἀλληλούϊα. γ΄. δόξα σοι ὁ θεός. γ΄. εἶτα δόξα. τὸ βοτάριον, καὶ νῦν τὸ θεοτοκίον. εἰδ΄ οὐκ ἔχει βοτάριον λέγε τὸ δε. ἦχος β΄.

Τὸ πρωῒ εἰσάκουσον τῆς φωνῆς μου ὁ βασιλεύς μου, καὶ ὁ θεός μου. στίχος ϛ. Τὰ ῥήματά μου ἐνώτισαι κύριε. στίχος β. Ὅτι πρὸς σὲ προσεύξομαι κύριε τὸ πρωῒ εἰσακούσῃ τῆς φωνῆς μου, τὸ πρωῒ παρας. Δόξα καὶ νῦν θεοτοκίον ἦχος ϛ. Τί σε καλέσωμεν ὦ κεχαριτωμένη; οὐρανόν. ὅτι ἀνέτειλας τὸν ἥλιον τῆς δικαιοσύνης. παράδεισον; ὅτι ἐβλάστησας τὸ ἄνθος τῆς ἀφθαρσίας. παρθένον; ὅτι ἔμεινας ἄφθορος ἁγνή μητέρα; ὅτι ἔσχες ἐν ἀγκάλαις τὸν πάντων θεὸν, αὐτὸν ἱκέτευε σωθῆναι τὰς ψυχὰς ἡμῶν. εἶτα ἡ ἀνάγνωσις τῆς προφητείας. εἶτα λέγει.

Τὰ διαβήματά μου κατεύθυνον κατὰ τὸ λόγιόν σου, καὶ μὴ κατακυριευσάτω μου πᾶσα ἀνομία. λύτρωσαί με ἀπὸ συκοφαντίας ἀνθρώπων, καὶ φυλάξω τὰς ἐντολάς σου.

τὸ

σω, ὅπου χοροὶ τῶν ἁγίων κύριε, καὶ οἱ δίκαιοι ἐκλάμπουσιν ὡς ἄστρα, τοὺς κεκοιμημένους δούλους σου ἀνάπαυσον, συγχωρῶν αὐτοῖς πάντα τὰ ἐγκλήματα. Δόξα. Τὸ τριλαμπὲς τῆς μιᾶς θεότητος, εὐσεβῶς ὑμνήσωμεν βοῶντες, ἅγιος εἶ ὁ πατὴρ ὁ ἄναρχος, ὁ υἱὸς καὶ θεῖον πνεῦμα, φώτισον ἡμᾶς φόβῳ σὲ δοξάζοντας, καὶ τῆς σῆς βασιλείας μετόχους ποίησον. καὶ νῦν. Τὸν ἄναρχον καὶ υἱόν σου δέσποινα, καὶ θεὸν ἡμῶν ἀπαύστως, ὃν ἔτεκες ἐκδυσώπει πάναγνε, μητρικὴν σου παῤῥησίαν, τῆς ἐκ δεξιῶν αὐτοῦ στάσεως τυχεῖν ἡμᾶς, καὶ ζωῆς αἰωνίου ἀπολαύσεως. Καὶ εὐθέως καθίσματα μαρτυρικὰ δ΄. στίχος α΄. Θαυμαστὸς ὁ θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ, ὁ θεὸς Ἰσραήλ. στίχος β΄. Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ κύριος πάντα τὰ θελήματα αὐτοῦ ἐν αὐτοῖς. στίχος γ΄. Ἐξέχεαν τὸ αἷμα αὐτῶν ὡσεὶ ὕδωρ κύκλῳ Ἱερουσαλήμ, καὶ οὐκ ἦν ὁ θάπτων. στίχος δ΄. ἀναπαύσιμον. Μακάριοι οὓς ἐξελέξω, καὶ προσελάβου κατασκηνώσουσιν ἐν ταῖς αὐλαῖς σου κύριε.

Καὶ λέγομεν τὸ κάθισμα ἀναπαύσιμον. Δόξα καὶ νῦν θεοτοκίον. εἶτα τὸ συναξάριον. ἔπειτα ὁ ν΄. καὶ εἰ μὲν ἔστι. μ΄. λέγομεν τὸ παρὸν πεντηκοστάριον πλαγίου β΄. Δόξα. Πταισμάτων ἄφεσιν παράσχου σοῖς ὑμνηταῖς, καὶ τοῖς κοιμηθεῖσι τὴν ἀνάπαυσιν δώρησαι, ταῖς τῶν σῶν ἁγίων ἱκεσίαις ὁ θεός, καὶ τεκούσης σε ἱλεούμενος εὐχαῖς. Καὶ νῦν τὸ αὐτό. εἶτα οἱ κανόνες, καὶ μετὰ τὴν ϛ΄. ᾠδήν, Κοντάκιον ἀναπαύσιμον. ἦχος ϐ. Μετὰ τῶν ἁγίων ἀνάπαυσον Χριστὲ τὰς ψυχὰς τῶν δούλων σου. ἔνθα οὐκ ἔστι πόνος, οὐ λύπη, οὐ στεναγμός, ἀλλὰ ζωὴ ἀτελεύτητος. ὁ οἶκος. Αὐτὸς μόνος ὑπάρχεις ἀθάνατος, ὁ ποιήσας, καὶ πλάσας τὸν ἄνθρωπον, οἱ βροτοὶ δὲ ἐκ γῆς διεπλάσθημεν, καὶ εἰς γῆν τὴν αὐτὴν πορευόμεθα, καθὼς ἐκέλευσας ὁ πλάσας με, καὶ εἰπών μοι, ὅτι γῆ εἶ, καὶ εἰς γῆν πορεύσῃ, ὅπου πάντες βροτοὶ πορευσόμεθα, ἐπιτάφιον θρῆνον ποιοῦντες ᾠδὴν ἀλληλούϊα. θεοτοκίον ὅμοιον. Παναγία παρθένε ἀνύμφευτε, ἡ τεκοῦσα τὸ φῶς τὸ ἀπρόσιτον. δυσωπῶ, ἱκετεύω, καὶ δέομαι, δυσωποῦσα μὴ παύσῃ πρὸς κύριον, ὑπὲρ τῶν δούλων σου ὦ δέσποινα, ὅπως εὕρωσιν ἐκεῖ ἄφεσιν πταισμάτων, ἐν ἡμέρᾳ τῆς κρίσεως ἄχραντε, παῤῥησίαν γὰρ ἔχεις πρὸς τὸν σὸν υἱόν, καὶ θεὸν ἀλληλούϊα. Καὶ μετὰ τὴν θ΄. ᾠδὴν τοῦ κανόνος, ἐξαποστειλάριον. Ὁ οὐρανὸν τοῖς ἄστροις κατακοσμήσας ὡς θεός, καὶ διὰ τῶν ἀθλοφόρων πᾶσαν τὴν γῆν φωταγωγῶν, δημιουργὲ ἁπάντων τοὺς ἀνυμνοῦντάς σε σῶζε. Νεκρώσιμον. Ὁ καὶ νεκρῶν, καὶ ζώντων ἐξουσιάζων ὡς θεός, ἀνάπαυσον τοὺς σοὺς δούλους ἐν ταῖς σκηναῖς τῶν ἐκλεκτῶν, εἰ γὰρ καὶ ἥμαρτον λόγῳ, ἀλλ' οὐκ ἀπέστησαν ἐκ σοῦ. θεοτοκίον. Πάσης ἀνάγκης ἐλέους, ἡ ἄβυσσος θεοτόκε. ῥῦσαι ἡμᾶς ἱλεοῦσα σὺν

τάσατε· συνθῆναι δεόμεθα τὰς ψυχὰς ἡμῶν. Δόξα. Μ νήσθητι κύριε ὡς ἀγαθὸς τῶν δούλων σου, καὶ ὅσα ἐν βίῳ ἥμαρτον συγχώρησον, οὐδεὶς γὰρ ἀναμάρτητος εἰ μὴ σὺ εἶ ὁ δυνάμενος, καὶ τοῖς μεταστᾶσι δοῦναι τὴν ἀνάπαυσιν. καὶ νῦν θεοτοκίον. Η ἥπερ ἁγία τοῦ ἀχράντου φωτὸς ἀγγελικοῖς σε ὕμνοις τιμῶντες μεγαλύνωμεν. Καὶ ψάλλομεν τὸν ἄμωμον εἰς ἦχον πλάγιος α'. μετὰ τοῦ. Ε ὐλογητὸς εἶ κύριε δίδαξόν με τὰ δικαιώματά σου. Μ ακάριοι ἄμωμοι. ζήτει ψαλ. ριθ'. κάθισμα ις'. φ. πς'. καὶ εἰς τὸ μέσ. στασ. ἤγουν εἰς τό. Σ ός εἰμι ἐγὼ σῶσόν με. λέγομεν τροπάριον πλάγιος α'. Τ ὸν πολυτάραχον θάλασσαν τοῦ βίου διαδραμόντες, τῷ σωλιμένι προσώρμισαν οἱ πίστει μεταστάντες, ἀλλ' ἐν τῇ σῇ γαλήνῃ, καὶ ἀειζώῳ τρυφῇ μετὰ τῶν ἁγίων καθοδηγῶν αὐτοὺς ἀνάπαυσον κύριε τὰς ψυχὰς τῶν δούλων σου. Ε τι καὶ ἐπ' ἐκτενῶς τοῦ κυρίου δεηθῶμεν. Τ ὑπὲρ κοιμήσεως, ἀνέσεως, ἀφέσεως ἁμαρτιῶν καὶ μακαρίας μνήμης τῶν ψυχῶν τῶν δούλων τοῦ θεοῦ. τοῦ κυρίου δεηθῶμεν. Τ ὑπὲρ τοῦ συγχωρηθῆναι αὐτοῖς πᾶν πλημμέλημα ἑκούσιόν τε καὶ ἀκούσιον, καὶ εὕρωσιν ἔλεος ἐν ἡμέρᾳ κρίσεως. τοῦ κυρίου δεηθῶμεν. ἡ εὐχή.

Ο Θεὸς τῶν πνευμάτων, καὶ πάσης σαρκὸς, ὁ τὸν θάνατον καταργήσας, καὶ τὸν διάβολον καταπατήσας, καὶ ζωὴν τῷ κόσμῳ χαρισάμενος, ἀνάπαυσον τὰς ψυχὰς τῶν δούλων σου ἐν τόπῳ φωτεινῷ ἐν τόπῳ ἀναψύξεως, ἔνθα ἀπέδρα ὀδύνη, λύπη καὶ στεναγμὸς, πᾶν ἁμάρτημα παρ' αὐτῶν πραχθὲν ἐν λόγῳ ἢ ἔργῳ ἢ κατὰ διάνοιαν, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος· ὃς ζήσεται, καὶ οὐχ ἁμαρτήσει. σὺ γὰρ μόνος πάσης ἁμαρτίας ἐκτὸς ὑπάρχεις, καὶ ἡ δικαιοσύνη σου δικαιοσύνη εἰς τὸν αἰῶνα, καὶ ὁ λόγος σου ἀλήθεια. Τ ὰ ἐλέη τοῦ θεοῦ, καὶ τὴν βασιλείαν τῶν οὐρανῶν, καὶ τὴν ἄφεσιν τῶν ἁμαρτιῶν αὐτῶν αἰτησάμενοι ἑαυτοῖς, καὶ ἀλλήλοις, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ θεῷ παραθώμεθα. Ο τι σὺ εἶ ἡ ζωὴ, καὶ ἡ ἀνάπαυσις τῶν κεκοιμημένων δούλων σου Χριστὲ ὁ θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν. τῷ πατρὶ, καὶ τῷ υἱῷ, καὶ τῷ ἁγίῳ πνεύματι. νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν. καὶ τὸ λοιπὸν τοῦ ἀμώμου εἶτα λέγομεν τὰ εὐλογητάρια πλάγιος α'. Εὐλογητὸς εἶ κύριε δίδαξόν με τὰ δικαιώματά σου. Τ ῶν ἁγίων ὁ χορὸς εὗρε πηγὴν τῆς ζωῆς, καὶ θύραν παραδείσου. εὕρω κἀγὼ τὴν ὁδὸν διὰ τῆς μετανοίας. τὸ ἀπολωλὸς πρόβατον ἐγὼ εἰμι, ἀνακάλεσαί με σωτὴρ, καὶ σῶσόν με. Εὐλογητὸς εἶ κύριε δίδαξόν με τὰ δικαιώματά σου.

Ο ἱ τὴν ὁδὸν τὴν στενὴν βαδίσαντες τεθλιμμένοι πάντες οἱ ἐν βίῳ, οἱ τὸν σταυρὸν ὡς ζυγὸν ἀράμενοι, καὶ ἐμοὶ ἀκολουθήσαντες ἐν πίστει. δεῦτε ἀπολαύσατε, ἃ ἡτοίμασα ὑμῖν τὰ βραβεῖα, καὶ στέφη τὰ οὐράνια. Εὐλογητὸς εἶ κύριε δίδαξόν με τὰ δικαιώμ.

Α νάπαυσον ὁ θεὸς τοὺς δούλους σου, καὶ κατάταξον αὐτοὺς ἐν παραδείσῳ

ἐκ ἔχει προσάριον ὁ ἅγιος, λέγε ταῦ- τα κατὰ τὴν ἡμέραν τῆς ὅλης ἑβδο- μάδος. Τὸ β. προσάριον τῶν ἁγίων ἀγγέλων. ἦχος γ'. Ἀσώματοι ἅγιοι ἄγγελοι πρεσβεύσατε τῷ ἐλεήμο- νι Θεῷ, ἵνα πταισμάτων ἄφεσιν πα- ράσχῃ ταῖς ψυχαῖς ἡμῶν. Θεοτοκ. Καταφυγὴ καὶ δύναμις ἡμῶν Θεο- τόκε, ἡ κραταιὰ βοήθεια τοῦ κόσμου. τῇ πρεσβείᾳ σου σῶζε τοὺς δούλους σου ἀπὸ πάσης ἀνάγκης, μόνη ἁγνή, μόνη εὐλογημένη. Τῇ γ. προσάριον τοῦ προδρόμου ἦχος β'. Μνήμη δικαίου μετ' ἐγκωμίων. σοὶ δὲ ἀρκέσει ἡ μαρτυρία τοῦ κυρίου πρόδρομε. ἀνε- δείχθης γὰρ ὄντως καὶ προφητῶν σε- βασμιώτερος, ὅτι καὶ ἐν ῥείθροις βα- πτίσαι κατηξιώθης τὸν κηρυττόμενον. ὅθεν τῆς ἀληθείας ὑπεραθλήσας, χαί- ρων εὐηγγελίσω καὶ τοῖς ἐν ᾅδῃ Θεὸν φανερωθέντα ἐν σαρκί, τὸν αἴροντα τὴν ἁμαρτίαν τοῦ κόσμου. καὶ παρέ- χοντα ἡμῖν τὸ μέγα ἔλεος. Θεοτοκ. Σὲ μεγαλύνομεν Θεοτόκε βοῶντες. χαῖρε ἀδύτου φωτὸς νεφέλη. αὐτὸν βαστάσασα ἐν κόλποις τῆς δόξης τὸν κύριον. Τῇ δ'. καὶ τῇ ς'. προσάριον τοῦ σταυροῦ. ἦχος α'. Σῶσον κύριε τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρο- νομίαν σου, νίκας τοῖς βασιλεῦσι κατὰ βαρβάρων δωρούμενος, καὶ τὸ σὸν φυλάττων διὰ τοῦ σταυροῦ σου πο- λίτευμα. Δόξα καὶ νῦν Θεοτοκίον.

Οἱ τὴν σὴν προστασίαν κεκτημένοι ἄχραντε, καὶ ταῖς σαῖς ἱκεσίαις τῶν δεινῶν λυτρούμενοι, τῷ σταυρῷ τοῦ υἱοῦ σου ἐν παντὶ φρουρούμεθα. διόσε κατὰ χρέος πάντες εὐσεβῶς μεγα- λύνομεν. Τῇ ε'. Τῶν ἀποστόλων προσ- άριον ἦχος γ'. Ἀπόστολοι ἅγιοι πρεσβεύσατε τῷ ἐλεήμονι Θεῷ. ἵνα πταισμάτων ἄφεσιν παράσχῃ ταῖς ψυχαῖς ἡμῶν. Θεοκίον. Κα- ταφυγὴ καὶ δύναμις ἐζήτει. Τῇ ς'. Τῷ σαββάτῳ. ζήτει εἰς τὴν ἀκο- λουθίαν αὐτοῦ.

Καὶ μετὰ τὸ προσάριον καὶ τὸ Θεοτο- κίον. ὁ διάκονος λέγει τὴν ἐκτενῆ, τὰς αἰτήσεις, καὶ τὰ λοιπά. εἶμι ἀπολ.



Ἀκολουθία τοῦ Σαββάτου εἰς τὸν ὄρ- θρον. ὅταν οὐκ ἔστι μνήμη ἑορτασίμου ἁγίου, ἢ δοξολογίας οὐ ψάλλεται τὸ Θεὸς κύριος. ἀλλ' ἀντὶ τούτου ψάλλε- ται τό. Ἀλληλούϊα. γ'. ἦχος ς'. στί- χος α'. Ἄνθρωπος ὡσεὶ χόρτος αἱ ἡ- μέραι αὐτοῦ, ὡσεὶ ἄνθος τοῦ ἀγροῦ οὕ- τως ἐξανθήσει. Ἀλληλούϊα. γ'. στί- χος β'. Ὅτι πνεῦμα διῆλθεν ἐν αὐ- τῷ, καὶ οὐχ ὑπάρξει, καὶ οὐκ ἐπιγνώ- σεται ἔτι τὸν τόπον αὐτοῦ. Ἀλλη- λούϊα. γ'. στίχος γ'. Ἀναστήσονται οἱ νεκροί, καὶ ἐγερθήσονται οἱ ἐν τοῖς μνη- μείοις, καὶ εὐφρανθήσονται οἱ ἐν τῇ γῇ. Ἀλληλούϊα. γ'. Δ ιὰ τῆς Θεοτό- κου ἀνάπαυσον τὰς ψυχὰς τῶν δού- λων σου. Ἀλληλούϊα. γ'. τὸ προσ. β. ἦχος ς'. Ἀπόστολοι, μάρτυρες, καὶ προφῆται, ἱεράρχαι, ὅσιοι, καὶ δίκαιοι, σὺν γυναιξὶν ἁγίαις, οἱ καλῶς τὸν ἀγῶνα τελέσαντες, καὶ τὴν πίστιν τη- ρήσαντες, πρὸς τὸν σωτῆρα παῤῥη- σίαν ἔχοντες, αὐτὸν ὡς ἀγαθὸν ἱκε-

 τεύσατε

τὴν ἄμαχον, καὶ θραῦσον τοὺς ἐχθροὺς ἡμῶν, σοῖς ἐξαποστείλον δούλοις βοήθειαν ἐξ ἁγίου. Τῇ ε. ἐξαποστειλ. τῶν ἀποστολ. ὑπηκο... Τὸν δωδεκάριθμον χορὸν τῶν ἀποστόλων κύριε, ἀνευφημήσωμεν πάντες, ὡς στηριχθέντες ὑπ' αὐτοῦ, καὶ τῷ Χριστῷ βοήσωμεν. ταῖς δὲ χάρισιν αὐτοῦ σῶτερ τὸν κόσμον ἐλέησον. Θεοτοκίον. Ἀχραντε δέσποινα ἁγνή. Τῇ παρασκευῇ. ἐξαποστείλ. τοῦ σταυροῦ τῶν μαθητῶν. Σταυρὸς ὁ φύλαξ πάσης τῆς οἰκουμένης, σταυρὸς ἡ ὡραιότης τῆς ἐκκλησίας, σταυρὸς βασιλέων τὸ κραταίωμα, σταυρὸς πιστῶν τὸ στήριγμα, σταυρὸς ἀγγέλων ἡ δόξα, καὶ τῶν δαιμόνων τὸ τραῦμα. Θεοτοκίον ὅμοιον. Ἡμεῖς ἐν σοὶ καυχώμεθα θεοτόκε. Τῷ σαββάτῳ ἐγράφη εἰς τὴν ἀκολουθ. αὐτοῦ. Δεῖ εἰδέναι ὅτι εἰ μὲν ἐστὶ κυριακή, ἢ ἐπίσημος ἑορτή, ψάλλομεν τὰ στιχηρὰ εἰς τοὺς αἴνους, εἰ δὲ ἐστὶ λιτὴ ἡμέρα οὐ ψάλλομεν στιχηρὰ εἰς τοὺς αἴνους ἀλλὰ μετὰ τὸ τέλος τῶν αἴνων εὐθέως. λέγε. Σοὶ δόξα πρέπει κύριε ὁ θεὸς ἡμῶν, σοὶ δόξαν ἀναπέμπομεν, τῷ πατρί, καὶ τῷ υἱῷ, καὶ τῷ ἁγίῳ πνεύματι. νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν. Δόξα ἐν ὑψίστοις θεῷ καὶ ἐπὶ γῆς εἰρήνη, ἐγράφη ὄπισθεν. εἶτα λέγε τό Κύριε τὸ ἔλεός σου εἰς τὸν αἰῶνα μένει, τὰ ἔργα τῶν χειρῶν σου μὴ παρίδῃς σοὶ πρέπει αἶνος, σοὶ πρέπει ὕμνος, σοὶ δόξα πρέπει, τιμή, καὶ προσκύνησις, τῷ πατρί, καὶ τῷ υἱῷ, καὶ τῷ ἁγίῳ πνεύματι. νῦν, καὶ ἀεί, καὶ εἰς τούς. Καὶ ψάλλονται τὰ στιχηρὰ κατὰ τὴν ἡμέραν τῆς ὅλης ἑβδομάδος οὕτω. Τῇ β. καὶ τῇ γ. δύο κατανυκτικά, καὶ ἓν μαρτυρικόν. Δόξα τοῦ ἁγίου, καὶ νῦν θεοτοκίον κατὰ τὸν ἦχον τῆς δόξης. εἰ δ' οὐκ ἔχεις δόξαν τοῦ ἁγίου. λέγε δόξα, καὶ νῦν θεοτοκ. μόνον. Τῇ δ. καὶ ς. σταυρώσιμα δύο, καὶ μαρτυρικ. α. καὶ τὰ ἑξῆς. Τῇ ε. ἀποστολικ. β. καὶ μαρτυρικ. α. καὶ τὰ λοιπά. Τῷ σαββάτῳ ὡς διατέτακται εἰς τὴν ἀκολουθίαν αὐτοῦ. Καὶ μετὰ τὸ α. κατανυκτικ. ἢ σταυρώσιμον, ἢ ἀποστολικ. λέγε στίχον. α. Ἐνεπλήσθημεν τὸ πρωῒ τοῦ ἐλέους σου κύριε, καὶ ἠγαλλιασάμεθα, καὶ ηὐφράνθημεν, ἐν πάσαις ταῖς ἡμέραις ἡμῶν εὐφρανθείημεν, ἀνθ' ὧν ἡμερῶν ἐταπείνωσας ἡμᾶς, ἐτῶν ὧν εἴδομεν κακά. καὶ ἴδε ἐπὶ τοὺς δούλους σου, καὶ ἐπὶ τὰ ἔργα σου, καὶ ὁδήγησον τοὺς υἱοὺς αὐτῶν. καὶ λέγε τὸ β. στιχηρόν, κατανυκτικ. ἢ σταυρώσιμον, ἢ ἀποστολικ. στίχος. β. Καὶ ἔστω ἡ λαμπρότης κυρίου τοῦ θεοῦ ἡμῶν ἐφ' ἡμᾶς, καὶ τὰ ἔργα τῶν χειρῶν ἡμῶν κατεύθυνον ἐφ' ἡμᾶς. καὶ τὸ ἔργον τῶν χειρῶν ἡμῶν κατεύθυνον. καὶ λέγε τὸ μαρτυρικ. καὶ μετὰ τὸ θεοτοκ. λέγε. Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ κυρίῳ Καὶ ψάλλειν τῷ ὀνόματί σου ὕψιστε. τοῦ ἀναγγέλλειν τὸ πρωῒ τὸ ἔλεός σου, καὶ τὴν ἀλήθειάν σου κατὰ νύκτα. Τὸ τρισάγιον τὸ παναγία τριάς. τὸ πάτερ ἡμῶν. ὅτι σοῦ ἐστὶν ἡ βασιλεία. καὶ λέγε τὸ τροπάριον τοῦ κατὰ τὴν ἡμέραν ἁγίου καὶ θεοτοκίον κατὰ τὸν ἦχον αὐτοῦ, εἰ δ'

ματι ἐπιβλέπων ἐπὶ πᾶσαν τὴν κτίσιν σου. σοὶ ἐκλίναμεν τὸν αὐχένα τῆς ψυχῆς, καὶ τοῦ σώματος, καὶ δεόμεθά σου ἔκτεινον τὴν χεῖρά σου τὴν ἀόρατον ἐξ ἁγίου κατοικητηρίου σου, καὶ εὐλόγησον πάντας ἡμᾶς, καὶ εἴ τι ἡμάρτομεν ἑκουσίως, ἢ ἀκουσίως, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος συγχώρησον. δωρούμενος ἡμῖν, καὶ τὰ ἐγκόσμια ἀγαθά σου. Ἐκφώνει. Σὸν γάρ ἐστι τὸ ἐλεεῖν, καὶ σώζειν Χριστὲ ὁ θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ πατρὶ, καὶ τῷ υἱῷ, καὶ τῷ ἁγίῳ πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας, τῶν αἰώνων, ἀμήν. Ἐν εἰρήνῃ προέλθετε. ὁ λαός. Ἐν ὀνόματι κυρίου. ὁ διάκονος. Σοφία. ὁ λαός. Εὐλογητὰ ἅγιε κύριε εὐλόγησον. ὁ λαός. Ὄρθρον εἰρηνικὸν, καὶ ἡμέραν ἀναμάρτητον παράσχου ἡμῖν, Χριστὲ ὁ θεὸς ἡμῶν, διὰ πρεσβειῶν, καὶ ἱκεσιῶν τῆς παναχράντου σου μητρὸς καὶ πάντων τῶν ἁγίων σου. Ὁ θεὸς οἰκτειρήσαι ἡμᾶς, καὶ εὐλογήσαι ἡμᾶς, ἐπιφάναι τὸ πρόσωπον αὐτοῦ ἐφ᾽ ἡμᾶς, καὶ ἐλεήσαι ἡμᾶς. Στερεώσει ὁ θεὸς τὴν ἁγίαν ὀρθόδοξον πίστιν τῶν χριστιανῶν, ἡμᾶς δὲ πάντας ἐν εἰρήνῃ, καὶ ἀφέσει ἁμαρτιῶν διατηρήσει, καὶ σώσει, ὡς ἀγαθὸς θεὸς καὶ φιλάνθρωπος. ὁ ἱερεύς. Ὁ ὢν εὐλογητὸς θεὸς ἡμῶν, πάντοτε, νῦν καί. Δόξα σοι Ἰησοῦ Χριστὲ ὁ θεὸς ἡ ἐλπὶς ἡμῶν δόξα σοι. ὁ λαός. Τὸ Δόξα πατρὶ, καὶ υἱῷ, καὶ ἁγίῳ. ὁ ἱερεύς. ἀπολ. Ὁ ἀναστὰς ἐκ τῶν νεκρῶν, Χριστὸς ὁ ἀληθινὸς θεὸς ἡμῶν, πρεσβείαις. Δεῖ γινώσκειν, ὅτι εἰ μὲν ἐστιν ὁ ἅγιος ἑορτή. ψάλλεται τὸ ἐξαποστειλάριον αὐτῆς. εἰ δ᾽ οὐκ ἔχει ἐξαποστειλ. λέγονται τάδε κατὰ τὴν ἡμέραν τῆς ὅλης ἑβδομάδος. Τῇ β᾽. ἐξαποστειλάριον τῶν ἀγγέλων. Ὁ οὐρανὸν τοῖς ἄστροις. Τοὺς ὑπερτοὺς ἀγγέλοις, καὶ ἀσωμάτοις λειτουργοὺς, ὡς παρεστῶτας τῷ θρόνῳ, τοῦ βασιλέως, καὶ θεοῦ, εὐφημήσωμεν πάντες λύσιν εὑρεῖν ὀφλημάτων. θεοτοκίον ὅμοιον. Ὁ γλυκασμὸς ἀγγέλων, τῶν θλιβομένων ἡ χαρά. χριστιανῶν ἡ προστάτις, παρθένε μήτηρ κυρίου. ἀντιλαβοῦ ἡμῶν, ῥῦσαι τῶν αἰωνίων βασάνων. Τῇ γ᾽. ἐξαποστειλάριον τοῦ προδρόμου. ἐπεσκέψατο. Ἐν τῇ νηδύϊ τῆς μητρὸς, σὺ προσκιρτῶν ηὐλόγησας, τὴν τοῦ κυρίου μητέρα, μεθ᾽ ἧς ἱκέτευε ἀεὶ, σωθῆναι τὰς ψυχὰς ἡμῶν, πρόδρομε Ἰωάννη, τῶν πόθῳ τιμώντων σε. θεοτοκ. ὅμοιον. Ἄχραντε δέσποινα ἁγνὴ, καὶ μόνη ἀειπάρθενε ἡ βασιλὶς, καὶ κυρία, σὺ δυσώπει τὸν ἐκ σοῦ τεχθέντα, λυτρωτὴν ἡμῶν, σῶσαι κόσμον ἐκ πάντων κινδύνων καὶ θλίψεων. Τῇ δ᾽. ἐξαποστειλ. τοῦ σταυροῦ. τῶν μαθητῶν ὁρώντων. Χαίροις σταυρὲ τὸ κράτος τῶν ὀρθοδόξων, καὶ βασιλέων ὅπλον κατὰ βαρβάρων, χαίροις σταυρὲ τὸ σκῆπτρον τῆς οἰκουμένης, καὶ φύλαξ ἀκριβέστατε, ἁγίασον τοὺς ἐν πίστει σταυρὲ χριστοῦ προσκυνοῦντας. θεοτοκίον ὅμοιον. Ἡμεῖς ἐν σοὶ καυχώμεθα θεοτόκε, μετὰ θεὸν ἔχοντες προστασίαν, ἔκτεινον τὴν χεῖρά σου

τὴν

ῥώμης Ν. καὶ ἀρχιεπισκόπου ἡμῶν, καὶ ὑπὲρ τῶν ἀδελφῶν ἡμῶν τῶν ἱερέων, τῶν συνευχομένων ἡμῖν. καὶ παντὸς ἱερατικοῦ τάγματος, μοναζόντων, πατέρων τε, καὶ ἀδελφῶν ἡμῶν, ὑπὲρ ὑγείας, σωτηρίας, καὶ ἀφέσεως τῶν ἁμαρτιῶν αὐτῶν δεηθῶμεν. Ἔτι ὑπὲρ τῶν εὐσεβεστάτων, καὶ θεοφυλάκτων ἡμῶν βασιλέων, κράτους, νίκης, διαμονῆς, εἰρήνης, ὑγείας, σωτηρίας, καὶ τοῦ κύριον τὸν θεὸν ἡμῶν ἐπὶ πλεῖον συνεργῆσαι, καὶ κατευοδῶσαι αὐτοῖς, καὶ ὑποτάξαι ὑπὸ τοὺς πόδας αὐτῶν πάντα ἐχθρὸν, καὶ πολέμιον δεηθῶμεν. Ἔτι ὑπὲρ πάντων τῶν ὀρθοδόξων χριστιανῶν, τῶν καρποφορούντων, καὶ καλλιεργούντων ἐν ταῖς ἁγίαις τοῦ θεοῦ ἐκκλησίαις, καὶ ἐν τῷ ἁγίῳ ναῷ τούτῳ. ὑπὲρ ὑγείας, σωτηρίας, καὶ ἀφέσεως τῶν ἁμαρτιῶν αὐτῶν δεηθῶμεν. Ἔτι ὑπὲρ τῶν προσκοπιασάντων, καὶ ἀφιερωσάντων, τῶν διακονισάντων, καὶ διακονούντων, καὶ ἐντειλαμένων ἡμῖν δ᾽ εὔχεσθαι ὑπὲρ αὐτῶν δεηθῶμεν. καὶ σφραγίζων τὸν λαὸν λέγει. Ἐπιδεόμεθά σου κύριε ὁ θεὸς ἡμῶν ὑπὲρ παντὸς γένους χριστιανῶν, ὀρθοδόξων, καὶ ὑπὲρ τοῦ περιεστῶτος λαοῦ, καὶ ἀπεκδεχομένου τὸ παρὰ σοῦ πλούσιον ἔλεος δεηθῶμεν. Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν. τῷ πατρὶ καὶ τῷ υἱῷ, καὶ τῷ ἁγίῳ πνεύματι. νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας, τῶν αἰώνων. ἀμήν. ὁ διάκονος τὰς αἰτήσεις. Πληρώσωμεν τὴν ἑωθινὴν δέησιν ἡμῶν τῷ κυρίῳ. Ἀντιλαβοῦ σῶσον, ἐλέησον, καὶ διαφύ. Τὸν ὄρθρον, καὶ τὴν ἐπιφαύσασαν ἡμέραν πᾶσαν τελείαν, ἁγίαν, εἰρηνικὴν, καὶ ἀναμάρτητον παρὰ τοῦ κυρίου αἰτησώμεθα. Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγὸν, φύλακα τῶν ψυχῶν, καὶ τῶν σωμάτων ἡμῶν παρά. Συγγνώμην, καὶ ἄφεσιν τῶν ἁμαρτιῶν, καὶ συγχώρησιν τῶν πλημμελημάτων ἡμῶν. Τὰ καλὰ, καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν. καὶ εἰρήνην τῷ κόσμῳ. παρὰ τοῦ. Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ, καὶ ἐν μετανοίᾳ ἐκτελέσαι ἡμᾶς. παρὰ τοῦ κυρίου. Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, πιστὰ, ἀνώδυνα, ἀνεπαίσχυντα, ἀπολέμητα, εἰρηνεύοντα, καὶ καλὴν ἀπολογίαν, τὴν ἐπὶ τοῦ φοβεροῦ, καὶ φρικτοῦ βήματος τοῦ χριστοῦ. παρὰ τοῦ κυρίου αἰτησώμεθα. Τῆς παναγίας ἀχράντου, ὑπερευλογημένης ἐνδόξου, δεσποίνης ἡμῶν θεοτόκου, καὶ ἀειπαρθένου μαρίας, μετὰ πάντων τῶν ἁγίων μνημονεύοντες: ἑαυτοὺς, καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν χριστῷ τῷ θεῷ παραθώμεθα. ὁ ἱερεύς. Ὅτι θεὸς ἐλέους, οἰκτιρμῶν, καὶ φιλανθρωπίας ὑπάρχεις. καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ πατρὶ, καὶ τῷ υἱῷ, καὶ τῷ ἁγίῳ πνεύματι. νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν. καὶ σφραγίζων τὸν λαὸν λέγει. Εἰρήνη πᾶσιν. ὁ λαός. Καὶ τῷ πνεύματί σου. ὁ διάκονος. Τὰς κεφαλὰς ὑμῶν τῷ κυρίῳ κλίνατε. ὁ ἱερεύς. τὴν εὐχήν.

Κύριε ἅγιε ὁ ἐν ὑψηλοῖς κατοικῶν, καὶ τῷ παντεφόρῳ σου ὄμματι

Ἰησοῦς χριστὸς εἰς δόξαν θεοῦ πατρὸς ἀμήν. Καθ' ἑκάστην ἡμέραν εὐλογήσωσε, καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Καταξίωσον κύριε ἐν τῇ ἡμέρᾳ ταύτῃ ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς. Εὐλογητὸς εἶ κύριε ὁ θεὸς τῶν πατέρων ἡμῶν. καὶ αἰνετὸν, καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας Ἀμήν. Εὐλογητὸς εἶ κύριε, δίδαξόν με τὰ δικαιώματά σου. Εὐλογητὸς εἶ δέσποτα, φώτισόν με τὰ δικαιώματά σου. Εὐλογητὸς εἶ ἅγιε, συνέτισόν με τοῖς δικαιώμασί σου. Κύριε καταφυγὴ ἐγενήθης ἡμῖν ἐν γενεᾷ, καὶ γενεᾷ. ἐγὼ εἶπα κύριε ἐλέησόν με, ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι. Κύριε πρὸς σὲ κατέφυγον δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ θεός μου. Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς ἐν τῷ φωτί σου ὀψόμεθα φῶς. παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε. εἶτα λέγε γ'. τό. Ἅγιος ὁ θεὸς, ἅγιος ἰσχυρὸς, ἅγιος ἀθάνατος ἐλέησον ἡμᾶς. ὁ ἱερεὺς ἐκφωνεῖ. Ὅτι σοῦ ἐστὶν ἡ βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα, τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος, ἀμήν. καὶ εἰ μὲν ἐστὶν ἐπίσημος ἑορτὴ, ἔχουσα μεγάλην δοξολογίαν. λέγεται τὸ τροπάριον αὐτῆς. εἰ δὲ ἐστὶ κυριακὴ. εἰς ἦχον α'. γ'. πλαγίου α'. καὶ βαρὺ λέγε τό. Σήμερον σωτηρία τῷ κόσμῳ γέγονεν. ᾄσωμεν τῷ ἀναστάντι ἐκ τάφου, καὶ ἀρχηγῷ τῆς ζωῆς χριστῷ τῷ θεῷ ἡμῶν. καθελὼν γὰρ τὸν θάνατον, τὸ νῖκος ἔδωκεν ἡμῖν, καὶ τὸ μέγα ἔλεος. Δόξα. Καθελὼν γὰρ τὸν θάνατον, τὸ νῖκος ἔδωκεν ἡμῖν καὶ τὸ μέγα ἔλεος. καὶ νῦν. Σήμερον σωτηρία τῷ. Καὶ εἰς ἦχον β'. δ'. πλαγίου β'. καὶ πλαγίου δ'. λέγε τό. Ἀναστὰς ἐκ τοῦ μνήματος, καὶ τὰ δεσμὰ διαρρήξας, τοῦ ᾅδου ἔλυσας τὸ κατάκριμα τοῦ θανάτου κύριε. πάντας γὰρ ἐκ τῶν παγίδων τοῦ ἐχθροῦ ῥυσάμενος, ἐμφανίσας σεαυτὸν τοῖς ἀποστόλοις σου, ἐξαπέστειλας αὐτοὺς ἐπὶ τὸ κήρυγμα, καὶ δι' αὐτῶν τὴν εἰρήνην σου παρέχες τῇ οἰκουμένῃ, μόνε πολυέλεε. Δόξα. Καὶ δι' αὐτῶν τὴν εἰρήνην σου παρέχες τῇ οἰκουμένῃ μόνε πολυέλεε. καὶ νῦν. Ἀναστὰς ἐκ τοῦ μνήματος καὶ τά. ὁ διάκονος τὴν ἐκτενῆ. Ἐλέησον ἡμᾶς ὁ θεὸς κατὰ τὸ μέγα ἔλεός σου, δεομένων ἡμῶν ἐπάκουσον, καὶ ἐλέησον. ὁ λαὸς κύριε ἐλέησον γ'. εἶτα ὁ ἱερεὺς τὴν εὐχήν. Κύριε ὁ θεὸς ἡμῶν τὴν ἐκτενῆ ταύτην ἱκεσίαν πρόσδεξαι παρὰ τῶν σῶν δούλων. καὶ ἐλέησον ἡμᾶς, κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου, καὶ τοὺς οἰκτιρμούς σου κατάπεμψον ἐφ' ἡμᾶς, καὶ ἐπὶ πάντα τὸν λαόν σου, τὸν ἀπεκδεχόμενον τὸ παρὰ σοῦ πλούσιον ἔλεος. ὁ διάκονος. Ἔτι ὑπὲρ τοῦ ἵλεων, εὐμενῆ, καὶ εὐδιάλλακτον γενέσθαι τὸν ἀγαθὸν, καὶ φιλάνθρωπον θεὸν ἐπὶ ταῖς ἁμαρτίαις ἡμῶν, τοῦ ἐλεῆσαι ἡμᾶς, καὶ ὑπὲρ τοῦ ἀποστρέψαι ἀφ' ἡμῶν πᾶσαν ὀργὴν πονηρὰν κινουμένην καθ' ἡμῶν. καὶ εἰρηνεῦσαι τὸ λοιπὸν τῆς ζωῆς ἡμῶν δεηθῶμεν. Ἔτι ὑπὲρ τοῦ μακαριωτάτου πατρὸς ἡμῶν ΠΑΠΑ

ρώ-

αἱ δυνάμεις τῶν οὐρανῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπουσι. Εἰρήνη πᾶσι. καὶ εἰ μὲν ἐστὶ κυριακή, ψάλλομεν κατὰ τὸν ἦχον τοῦ ἤ. ἦχ. τό. Ἅγιος κύριος ὁ θεὸς ἡμῶν. στίχ. α΄. Ὁ κύριος ἐβασίλευσεν ὀργιζέσθωσαν λαοί· ὁ θεὸς ἡμῶν. στίχος β΄. Ὁ καθήμενος ἐπὶ τῶν χερουβὶμ σαλευθήτω ἡ γῆ· ὁ θεὸς ἡμῶν. στίχος γ΄. Κύριος ἐν Σιὼν μέγας, καὶ ὑψηλός ἐστιν ἐπὶ πάντας τοὺς λαούς· ὁ θεὸς ἡμῶν. Κύριε. εὐλόγησον· ὁ θεὸς ἡμῶν. Καὶ ἐπὶ πάντας τοὺς λαοὺς ὁ θεὸς ἡμῶν.

Καὶ λέγεται τὸ ἐξαποστειλάριον τοῦ κατὰ τὴν ἡμέραν ἁγίου. ζήτει αὐτὰ κατὰ τὴν τάξιν τῶν κοντακίων. εἰ δὲ ἐστὶ μ. λέγε τὰ φωταγωγικὰ ταῦτα κατὰ τὸν ἦχον. ἦχος α΄. Ὁ τὸ φῶς ἀνατέλλων κύριε, τὴν ψυχήν μου καθάρισον ἀπὸ πάσης ἁμαρτίας. ἦχος β΄. Τὸ φῶς σου τὸ ἀΐδιον ἐξαπόστειλον Χριστὲ ὁ θεός, καὶ φώτισον τὰ ὄμματα τὰ κρυπτὰ τῆς καρδίας μου. ἦχος γ΄. Ἐξαπόστειλον τὸ φῶς σου Χριστὲ ὁ θεός, καὶ φώτισον τὴν καρδίαν μου. ἦχος δ΄. Ὁ τὸ φῶς ἀνατέλλων τῷ κόσμῳ σου, τὴν ἐν σκότει ψυχήν μου ὑπάρχουσαν, ἀπὸ πάσης ἁμαρτίας καθάρισον. πλαγίου α΄. Φωτοδότα κύριε ἐξαπόστειλον τὸ φῶς σου, καὶ φώτισον τὴν καρδίαν μου. ἦχος πλαγίου β΄. Φῶς καταπέμψον ταῖς ψυχαῖς ἡμῶν καὶ τὸ μέγα ἔλεος. ἦχος βαρύς. Ἔγειρόν με κύριε πρὸς τὴν ὑμνῳδίαν, καὶ δίδαξόν με ποιεῖν τὸ θέλημά σου ἅγιε. ἦχος πλαγίου δ΄. Φῶς ὑπάρχων Χριστέ, φώτισόν με ἐν σοί. καὶ εἰς τὴν συμπλήρωσιν τῶν φωταγωγικῶν λέγει κατὰ τὴν ἡμέραν τῆς ἑβδομάδος. Τῇ β΄. Πρεσβείαις κύριε τῶν ἀσωμάτων σου, καὶ σῶσόν με. Τῇ γ΄. Πρεσβείαις κύριε τοῦ προδρόμου σου, καὶ σῶσόν με. Τῇ δ΄. καὶ τῇ ς΄. Δυνάμει τοῦ σταυροῦ σου κύριε, καὶ σῶσόν με. Τῇ ε΄. Πρεσβείαις κύριε τῶν ἀποστόλων σου, καὶ σῶσόν με. Τῷ Σα. Πρεσβείαις κύριε τῆς θεοτόκου, καὶ σῶσόν με. Εἶτα οἱ αἶνοι· ψαλμοὶ ρμη΄. ρμθ΄. ρν΄. καὶ λέγονται τὰ στιχηρὰ εἰς τοὺς αἴνους· Δόξα ἰδιόμ. καὶ νῦν θεοτοκίον. εἰ δὲ ἐστὶ κυριακή, λέγε τὸ παρὸν θεοτοκίον ἀναστάσιμον εἰς τὸ καὶ νῦν.

Ὑπερευλογημένη ὑπάρχεις θεοτόκε παρθένε. διὰ γὰρ τοῦ ἐκ σοῦ σαρκωθέντος ὁ ᾅδης ᾐχμαλώτισται. καὶ ὁ Ἀδὰμ ἀνακέκληται, ἡ κατάρα νενέκρωται, καὶ ἡ Εὔα ἠλευθέρωται. ὁ θάνατος τεθανάτωται, καὶ ἡμεῖς ἐζωοποιήθημεν. διὸ εὐχαριστοῦντες βοῶμεν, εὐλογητὸς Χριστὸς ὁ θεὸς ἡμῶν, ὁ οὕτως εὐδοκήσας δόξα σοι.

ὕμνος τῶν ἀγγέλ. Δόξα ἐν ὑψίστοις θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία. Αἰνοῦμέν σε, εὐλογοῦμέν σε, προσκυνοῦμέν σε, δοξολογοῦμέν σε, εὐχαριστοῦμέν σοι, διὰ τὴν μεγάλην σου δόξαν. Κύριε βασιλεῦ ἐπουράνιε θεὲ πάτερ παντοκράτορ. Κύριε μονογενὲς Ἰησοῦ Χριστέ, καὶ ἅγιον πνεῦμα. Κύριε ὁ ἀμνὸς τοῦ θεοῦ, ὁ υἱὸς τοῦ πατρός, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου ἐλέησον ἡμᾶς. Πρόσδεξαι τὴν δέησιν ἡμῶν ὁ καθήμενος ἐν δεξιᾷ τοῦ πατρός, καὶ ἐλέησον ἡμᾶς. Ὅτι σὺ εἶ μόνος ἅγιος, σὺ εἶ μόνος κύριος

Ἰησοῦς

σου· ναὸν φέρων τοῦ σώματος ὅλον ἐρρυπωμένον, ἀλλ' ὡς οἰκτίρμων καθάρον, εὔσπλαγχνε σῷ ἐλέει, ἐλέησον, ἀνάστησον, ἔγειρόν με πεσόντα, καὶ τοῦ πυρός με λύτρωσαι τῆς φοβερᾶς ἡμέρας. καὶ νῦν. Τῆς εὐσπλαγχνίας.

Τῇ δ΄ καὶ τῇ ς΄. πεντηκοστάριον πλαγίου δ΄. Δόξα. Γρηγορεῖτε, καὶ προσεύχεσθε· ἵνα μὴ πειρασθῆτε, εἶπεν ὁ κύριος. τὸ μὲν πνεῦμα πρόθυμον, ἡ δὲ σὰρξ ἀσθενής. διὰ τοῦτο γρηγορεῖτε. Καὶ νῦν. Τῆς εὐσπλαγχνίας.

Τῇ ε΄. πεντηκοστάριον. πλαγίου β΄. Δόξα. Πταισμάτων ζάλη με χειμάζει διὰ παντὸς, καὶ πρὸς τὸν βυθόν με ἀποπέμπει τῆς χαλεπῆς ἀπογνώσεως, ἔκτεινόν μοι χεῖρα Ἰησοῦ παμβασιλεῦ, ὡς τῷ Πέτρῳ, καὶ ἐλέησόν με. καὶ νῦν. Τῆς εὐσπλαγχνίας.

Τῷ Σαββάτῳ. ζήτει εἰς τὴν ἀκολουθίαν αὐτοῦ. Εἰ δὲ ἐστι λιτὴ ἡμέρα, μετὰ τὴν στιχολογίαν τοῦ ψαλτηρίου, καὶ τὰ καθίσματα, καὶ τὸ συναξάριον. λέγε τὸν ν΄. μόνον εἶτα λέγε· Δόξα σοι ὁ θεὸς ἡμῶν, δόξα σοι ἐλέησόν με ὁ θεὸς κατὰ τὸ μέγα ἔλεός σου. καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου ἐλέησόν με ὁ θεός. ὁ ἱερεὺς ἐκφωνεῖ. Ἐλέει, καὶ οἰκτιρμοῖς, καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας, τῶν αἰώνων. ἀμήν.

Καὶ ἄρχεται ἡ στιχολογία τῶν ᾠδῶν, καὶ οἱ κανόνες. τὰς μὲν ᾠδὰς ζήτει εἰς τὸ τέλος τοῦ ψαλτηρίου κατὰ τὴν τάξιν αὐτῶν. τοὺς δὲ κανόνας κατὰ τὴν ἡμέραν, καὶ μετὰ τὴν γ΄. ᾠδὴν συναπτὴ μικρά. Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ κυρίου δεηθῶμεν. Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον. Τῆς παναγίας. Ὅτι σὸν τὸ κράτος, καὶ σοῦ ἐστιν ἡ βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα, τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος. νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Εἰρήνη πᾶσι. καὶ λέγομεν τὸ κάθισμα τοῦ ἁγίου, καὶ θεοτοκίον κατὰ τὸν ἦχον αὐτοῦ, καὶ μετὰ τὴν ς΄. ᾠδὴν τοῦ κανόνος ὁ ἱερεὺς λέγει συναπτὴν μικράν. Ἔτι καὶ ἔτι. Ἀντιλαβοῦ. Τῆς παναγίας. Σὺ γὰρ εἶ ὁ βασιλεὺς τῆς εἰρήνης χριστὲ ὁ θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ πατρὶ. καί. Εἰρήνη πᾶσι. Καὶ λέγομεν τὸ κοντάκιον, καὶ τὸν οἶκον τοῦ ἁγίου. εἰ δ' οὐκ ἔχει κοντάκιον. λέγει κάθισμα μαρτυρικὸν, κατὰ τὸν ἦχον τῆς η΄. ἤχου. Τὰ δὲ κοντάκια καὶ οἱ οἶκοι τῆς ὅλης ἑβδομάδος εἰσὶ ταῦτα. Τῇ β΄. κοντάκιον τῶν ἀσωμάτων ζήτει νοεμβρίῳ η΄. φύλ. ρκζ΄.

Τῇ γ΄. κοντάκιον τοῦ προδρόμου. ζήτει Ἰουνίῳ κδ΄. φ. Τῇ δ΄. καὶ ς΄. κοντάκιον τοῦ σταυροῦ. ζήτει. Τῇ ε΄. ζήτει ἰουνίῳ κθ΄. Σεπτεμβρίῳ ιδ΄. φ οη΄.

Τῷ σαββάτῳ ζήτει εἰς τὴν ἀκολουθίαν αὐτοῦ, καὶ μετὰ τὸ τέλος τῆς η΄. ᾠδῆς τοῦ κανόνος λέγε ἕνα στίχον κατὰ τὸν ἦχον τοῦ κανόνος. ἐχάρησαν. γὰρ ἐν τοῖς κανόσι τῆς η΄. ἤχου. καὶ λέγ. τὴν θ΄. ᾠδὴν τοῦ ψαλτηρίου καὶ μετὰ τοὺς κανόνας ὁ ἱερεὺς. συναπτὴν. Ἔτι καὶ ἔτι. Ἀντιλαβοῦ. Τῆς παναγίας. Ὅτι σὲ αἰνοῦσι πᾶσαι.

αἱ δυ-

τῆς θείας ἀκροάσεως, τ͂ ἁγίε εὐαγγελίου, κύριον τὸν θεὸν ἡμῶν ἱκετεύσωμεν πάντες. ὁ λαὸς λ υειε ἐλέησον. γ΄. εἶτα ὁ ἱερεὺς ἐκφωνεῖ Σοφία ὀρθοὶ ἀκούσωμεν τοῦ ἁγίου εὐαγγελίε εἰρήνη πᾶσι. καὶ σφραγ... ὁ λαὸς λέγει. Κ αὶ τῷ πνεύματί σου. ὁ ἱερεὺς. Ε κ τοῦ κ(ατὰ) ἰωάννlω. ἢ ἄλλον. Α γίε εὐαγγελίε τὸ ἀνάγνωσμα. ὁ λαός. Δ όξα σοι κύριε. ὁ ἱερεὺς. Π ρόσχωμεν. καὶ εὐθέως τὸ εὐαγγέλιον. εἶτα ὁ χορός. ἐὰν δὲ κυριακὴ λέγει. Τό. Α νάστασιν χριστοῦ θεασάμενοι προσκυνήσωμεν ἅγιον κύριον Ιησοῦν Χριστὸν, τ͂ μόνον ἀναμάρτητον. Τ ὸν σταυρόν σε χριστὲ προσκυνοῦμεν. καὶ τlὼ ἁγίαν σε ἀνάστασιν ὑμνοῦμεν, καὶ δοξάζομεν. Σ ὺ γὰρ εἶ θεὸς ἡμῶν ἐκτός σε ἄλλον οὐκ οἴδαμεν, τὸ ὄνομά σε ὀνομάζομεν. Δ εῦτε πάντες πιστοὶ προσκυνήσωμεν τlὼ τοῦ χριστοῦ ἁγίαν ἀνάστασιν. Ι δοὺ γὰρ ἦλθε διὰ τοῦ σταυροῦ χαρὰ ἐν ὅλῳ τῷ κόσμῳ, διὰ παντὸς εὐλογοῦντες τ͂ κύριον. ὑμνοῦμεν τlὼ ἀνάστασιν αὐτοῦ. Σ ταυρὸν γὰρ ὑπομείνας διὰ θανάτου θάνατον ὤλεσε. καὶ νῦν. Ε λέησόν με ὁ θεός. ζήτει ψαλ. ν΄. φ. λδ΄. καὶ εἰς τό. Α γάθυνον κύριε ἐν τῇ εὐδοκίᾳ σε τlὼ Σιὼν, καὶ οἰκοδομηθήτω τὰ τείχη ἱερουσαλὴμ τὰ σύμπαντα σήμερον ἀγαλλιῶνται. τῆ τοῦ κυρίε. ὁμοίως καὶ εἰς τό. Τ ότε εὐδοκήσεις θυσίαν δικαιοσύνης ἀναφορὰν, καὶ ὁλοκαυτώματα. τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σε μόσχους, τὰ σύμπαντα σήμερον χαρᾶς πληροῦνται ἐν τῇ ἐγέρσει τοῦ ζωοδότου. Δόξα. Τὸ πεντηκοστάριον τῆς ν΄ τ͂ ἤχου κ(ατὰ) τ͂ ἦχον. καὶ νῦν. τὸ ἀκόλουθον. καὶ τοῦτο μὲν γίνεται ἐὰν δὲ κυριακὴ ὡς προγέγραπται. Εἰ δὲ ὀπισθιως ἑορτὴ οὐ λέγεται πεντηκοστάριον, ἀλλὰ ταῦτα οὗτω. Δόξα. Α ἰνέσωμεν πατέρα, υἱὸν, καὶ θεῖον πνεῦμα, τριάδα τlὼ ἁγίαν. καὶ νῦν. Α γία θεοτόκε. ἡ τ͂ χριστὸν τεκοῦσα δὸς ὑμῖν βοήθειαν. εἶτα λέγει. Τ αῖς τοῦ σοῦ ἁγίε. Ν. πρεσβείαις ἐλεῆμον. ἐξάλειψον τὰ πλήθη τ͂ ἐμῶν ἐγκλημάτων. καὶ ἐὰν δέῃ, μ΄. μετὰ τὸ τέλος τοῦ ν΄. λέγονται τὰ πεντηκοστάρια ταῦτα κ(ατὰ) τlὼ ἡμέραν τῆς οὔσης ἑβδομάδος. Τῇ. β΄. πεντηκοστάριον, πλαγίε β΄. Δόξα. Τὰ πλήθη τ͂ πεπραγμένων με δεινῶν ἐννοῶν ὁ τάλας. τρέμω τlὼ φοβερὰν ἡμέραν ἐκείνlω τῆς κρίσεως, ἀλλὰ θαῤῥῶν εἰς τὸ πέλαγος τῆς εὐσπλαγχνίας σου σωτὴρ, ὡς ὁ Δαβὶδ, βοῶσοι. ἐλέησόν με ὁ θεὸς κ(ατὰ) τὸ μέγα ἔλεός σε. καὶ νῦν. Τ ῆς εὐσπλαγχνίας ἄνοιξόν μοι πύλας θεοτόκε, ὀρθρίζει γὰρ, τὸ πνεῦμα με πρὸς ναὸν ἅγιόν σε, ναὸν φέρων τοῦ σώματος ὅλον ἐσπιλωμένον, ἀλλ᾽ ὡς ἁγνὴ πανάσπιλος, κάθαρον σαῖς πρεσβείαις, ἐλέησον, οἰκτείρησον, ἔγειρόν με πεσόντα, καὶ τ͂ πυρός με λύτρωσαι τῆς φοβερᾶς ἡμᾶς, πρεσβείαις τ͂ τεκούσης σε σωτὴρ ἐλέησον ἡμᾶς. Τῇ. γ΄. πεντηκοστάριον πλαγίε β΄. Δόξα. Τ ῆς μετανοίας ἄνοιξόν μοι θύρας ζωοδότα. ὀρθρίζει γὰρ τὸ πνεῦμά μου, πρὸς ναὸν ἅγιον σε.

καὶ τῶν ἀγγέλων τὸν ὕμνον βοῶμεν σοι. ἅγιος, ἅγιος, ἅγιος εἶ. Ὕμνοι τριαδικοί. ἦχος βαρύς. Ο ὑψίστω δυνάμει χερουβικῶς ἀνυμνούμενος, καὶ θεϊκῇ τῇ δόξῃ ἀγγελικῶς προσκυνούμενος, πρόσδεξαι καὶ ἡμᾶς τοὺς ἁμαρτωλοὺς ἐν κατανύξει βοῶν τάς σοι. ἅγιος, ἅγιος, ἅγιος, εἶ ὁ θεὸς διά. Δόξα. Ως ὕπνον τὸν ὄκνον ἀποθεμένη ψυχή, διόρθωσιν πρὸς ἔγερσιν δεῖξον τῷ κριτῇ, καὶ ἐν φόβῳ βόησον. ἅγιος, ἅγιος, ἅγιος, εἶ ὁ θεὸς διὰ τῆς θεοτόκου. καὶ νῦν. Τῇ ἀπροσίτῳ θεότητι, τῇ ἐν μονάδι τριάδι τῶν χερουβὶμ τὸν τρισάγιον ἀνακράξωμεν αἶνον. ἅγιος, ἅγιος, ἅγιος, εἶ ὁ θεὸς διὰ τῆς. Ὕμνοι τριαδικοί. ἦχος πλάγιος δ. Κατακαμπτόμενοι τῷ πλήθει τῶν πταισμάτων ἡμῶν, καὶ μὴ τολμῶντες ἀτενίσαι τῷ ὕψει σου, τὴν ψυχὴν σὺν τῷ σώματι κλίναντες, μετ' ἀγγέλων τὸν ὕμνον βοῶμεν σοι. ἅγιος, ἅγιος, ἅγιος, εἶ ὁ θεὸς διά. Δόξα. Εἰς οὐρανὸν τὰς καρδίας ἔχοντες ἀγγελικὴν μιμησώμεθα τάξιν, καὶ ἐν φόβῳ τῷ ἀδεκάστῳ προσπέσωμεν, τὸν ἐπινίκιον ἀνακράζοντες αἶνον. ἅγιος, ἅγιος, ἅγιος, εἶ ὁ θεὸς διὰ τῆς θεοτόκου. καὶ νῦν. Ορᾶν σε μὴ τολμῶντα τὰ χερουβὶμ ἱπτάμενα κραυγάζει ἀλαλαγμῷ, τὸ ἔνθεον μέλος τὸν τρισαγίας φωνῆς, μεθ' ὧν καὶ ἡμεῖς βοῶμεν οἱ ἁμαρτωλοί. ἅγιος, ἅγιος, ἅγιος, εἶ ὁ θεὸς διὰ τῆς θεοτόκου. καὶ ἡ συνήθης τριχολογία τοῦ ψαλτηρίου, εἶτα συναπτὴ μικρά. Ετι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ κυρίου δεηθῶμεν. Υπεράγιε, σῶσον, ἐλέησον, καὶ διαφύλαξον. Τῆς παναγίας ἀχράντου. Οτι εὐλόγηταί καὶ δεδόξασται τὸ πάντιμον, καὶ μεγαλοπρεπὲς ὄνομά σου. τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος. νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Αμήν. Καὶ εἰ μὲν ἐστὶ δεσποτική ἑορτή, ἢ τῆς θεοτόκου λέγει τὴν ὑπακοήν, καὶ τὸ κάθισμα αὐτῆς. εἶτα δέξα, καὶ νῦν τὸ αὐτό. εἰ δὲ ἐστὶ κυριακή λέγει τὴν ἀναστάσιμον ὑπακοὴν τῆς ἤ. ἤχου κατὰ τὸν ἦχον. οἱ δὲ αὐτῶν στίχοι εἰσὶν γεγραμμένοι ἐν τῷ ἰδίῳ τόπῳ. ἤγουν τε καὶ τὸν ἑβδομάδες. Καὶ μετὰ τὸ εἰπεῖν τὰ καθίσματα κατὰ τὴν τάξιν αὐτῶν. λέγει τὸ συναξάριον. Καὶ μετὰ τὴν ἀνάγνωσιν, καὶ τοὺς ἀναβαθμοὺς καὶ τὰ ἀντίφωνα. ὁ ἱερεὺς σφραγίζων τὸν λαόν. λέγει. Πρόσχωμεν. Εἰρήνη πᾶσιν. ὁ λαός. καὶ τῷ πνεύματί σου. ὁ ἱερεύς. Σοφία. ὁ λαός. Ψαλμὸς τῷ Δαβίδ. ὁ ἱερεὺς Πρόσχωμεν. καὶ λοιπῶς τὸ προκείμενον τοῦ εὐαγγελίου, εἶτα ἱερεὺς ἐκφωνεῖ. Οτι ἅγιος εἶ ὁ θεὸς ἡμῶν, καὶ ἐν ἁγίοις ἀναπαύῃ, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ πατρὶ, καὶ τῷ υἱῷ, καὶ τῷ ἁγίῳ πνεύματι νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν. ὁ λαός. Πᾶσα πνοὴ αἰνεσάτω τὸν κύριον. στίχος. Αἰνεῖτε τὸν θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ, αἰνεῖτε αὐτὸν ἐν στερεώματι δυνάμεως αὐτοῦ, αἰνεῖτε αὐτόν. Πᾶσα πνοὴ αἰνεσάτω τὸν κύριον. Πᾶσα πνοὴ αἰνεσάτω τὸν κύριον. ὁ ἱερεὺς ἐκφωνεῖ. Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς

δυνατέ. ἅγιος, ἅγιος, ἅγιος, εἶ ὁ θεὸς διὰ τῆς θεοτόκου ἐλέησον ἡμᾶς. καὶ νῦν. Μετὰ πασῶν τῶν οὐρανίων δυνάμεων. χερουβικῶς τῷ ἐν ὑψίστοις βοήσωμεν, τὸν τρισάγιον αἶνα μέλποντες αἶνον. ἅγιος, ἅγιος, ἅγιος, εἶ ὁ θεὸς διὰ τῆς. Ὕμνοι τριαδικοὶ ἦχος β΄. Τὰς ἄνω δυνάμεις μιμούμενοι, οἱ ἐπὶ γῆς ἐπινίκιον ὕμνον προσφέρομέν σοι ἀγαθέ. ἅγιος, ἅγιος, ἅγιος, εἶ ὁ θεὸς διὰ τῆς θεοτόκου ἐλέησον ἡμᾶς. Δόξα. Τῆς κλίνης καὶ τοῦ ὕπνου ἐξηγειράς με κύριε, τὸν νοῦν μου φώτισον, καὶ τὴν καρδίαν μου, καὶ τὰ χείλη μου ἄνοιξον εἰς τὸ ὑμνεῖν σε ἁγία τριάς. ἅγιος, ἅγιος, ἅγιος, εἶ ὁ θεὸς διὰ τῆς θεοτόκου ἐλέησον ἡμᾶς. καὶ νῦν. Ἄκτιστε φύσις, ἡ τῶν ὅλων δημιουργὸς, τὰ χείλη ἡμῶν ἄνοιξον, ὅπως ἀναγγέλλωμεν τὴν αἴνεσίν σου βοῶντες. ἅγιος, ἅγιος, ἅγιος, εἶ ὁ θεὸς διὰ τῆς. Ὕμνοι τριαδικοὶ. ἦχος γ΄. Πατέρα ἄναρχον, υἱὸν συνάναρχον, πνεῦμα συναΐδιον, θεότητα μίαν, χερουβικῶς δοξολογεῖν τολμῶντες, λέγομεν. ἅγιος, ἅγιος, ἅγιος, εἶ ὁ θεὸς διά. Δόξα. Τριὰς ὁμοούσιε, καὶ ἀδιαίρετε μονὰς τρισυπόστατε, καὶ συναΐδιε. σοὶ ὡς θεῷ τὸν ὕμνον βοῶμεν. ἅγιος, ἅγιος. ἅγιος, εἶ ὁ θεὸς διὰ τῆς θεοτόκου. καὶ νῦν. Ἀθρόον ὁ κριτὴς ἐπελεύσεται, καὶ ἑκάστου αἱ πράξεις γυμνωθήσονται. ἀλλὰ φόβῳ κράξωμεν αὐτῷ, τὸ μέσον τῆς νυκτός. ἅγιος, ἅγιος, ἅγιος, εἶ ὁ θεὸς διὰ τῆς θεοτόκου ἐλέησον. Ὕμνοι τριαδικοὶ. ἦχος δ΄. Ὡς αἱ τάξεις νῦν τῶν ἀγγέλων ἐν οὐρανῷ, καὶ στάσεις φόβῳ ἀνθρώπων ἐπὶ τῆς γῆς. ἐπινίκιον ἀνακράξωμεν αἶνον. ἅγιος. Δόξα. Τὸν ἄναρχόν σου πατέρα, καὶ σὲ χριστὲ ὁ θεὸς, καὶ τὸ πανάγιόν σου πνεῦμα, μαχερουβικῶς δοξολογεῖν τολμῶντες λέγομεν. ἅγιος, ἅγιος, ἅγιος, εἶ ὁ θεὸς διὰ τῆς θεοτόκου ἐλέησον ἡμᾶς. καὶ νῦν. Τῶν νοερῶν σου λειτουργῶν προσφέρειν οἱ θνητοὶ τὸν ὕμνον τολμῶντες λέγομεν. ἅγιος, ἅγιος, ἅγιος. Ὕμνοι τριαδικοὶ πλαγίου α΄. Ὑμνῳδίας ὁ καιρὸς, καὶ δεήσεως ὥρα. ἐκτενῶς βοῶμεν τῷ μόνῳ θεῷ. ἅγιος, ἅγιος, ἅγιος. Δόξα. Ὁ ἐν μήτρα παρθενικῇ χωρηθεὶς, καὶ τῶν κόλπων τοῦ πατρὸς μὴ χωρισθεὶς, σὺν ἀγγέλοις, καὶ ἡμᾶς πρόσδεξαι βοῶντάς σοι. ἅγιος, ἅγιος, ἅγιος, εἶ ὁ θεός. καὶ νῦν. Εἰκονίζειν τολμῶντες τὰ νοερά σου στρατεύματα. τριὰς ἄναρχε χείλεσιν ἀναξίοις βοῶμεν σοι. ἅγιος, ἅγιος, ἅγιος, εἶ. Ὕμνοι τριαδικοὶ. ἦχος πλαγίου β΄. Ἀσωμάτοις στόμασιν ἀσιγήτοις δοξολογίαις. τὰ ἑξαπτέρυγα ᾄδουσί σοι τὸν τρισάγιον ὕμνον ὁ θεὸς ἡμῶν. καὶ ἡμεῖς οἱ ἐπὶ γῆς ἀναξίοις χείλεσιν ὕμνον σοι ἀναπέμπομεν, ἅγιος, ἅγιος, ἅγιος εἶ. Δόξα. Παρειστάμενα φόβῳ τὰ χερουβίμ. ἐξιστάμενα τρόμῳ τὰ σεραφίμ, τὸν τρισάγιον ὕμνον προσφέρει ἀσιγήτῳ φωνῇ. μεθ' ὧν καὶ ἡμεῖς βοῶμεν οἱ ἁμαρτωλοί. ἅγιος, ἅγιος, ἅγιος, εἶ ὁ θεὸς διὰ τῆς θεοτόκου ἐλέησον ἡμᾶς. καὶ νῦν. Τριαδικῆς μονάδος θεότητα, ἀσυγχύτῳ ἑνώσει δοξάζομεν,

πάντοτε ἐγρήσω περὶ τὴν ἡμετέραν ζωήν. καὶ νῦν ἐξαπόστειλον τὴν βοήθειάν σου ἐπὶ τοὺς ἑστῶτας πρὸ προσώπου τῆς ἁγίας δόξης σου, καὶ ἀπεκδεχομένοις τὸ παρὰ σοῦ πλούσιον ἔλεος. καὶ δὸς αὐτοῖς μετὰ φόβου, καὶ ἀγάπης, πάντοτε σοὶ λατρεύειν, αἰνεῖν, ὑμνεῖν, προσκυνεῖν καὶ μεγαλύνειν τὴν ἀνεκδιήγητόν σου ἀγαθότητα. ὁ διάκονος. Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς ὁ θεὸς τῇ σῇ χάριτι. ὁ λαός. τὸ κύριε ἐλέησον. Τῆς παναγίας ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου δεσποίνης ἡμῶν θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας μετὰ πάντων τῶν ἁγίων μνημονεύοντες ἑαυτοὺς, καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν χριστῷ τῷ θεῷ παραθώμεθα. ὁ ἱερεύς. Ὅτι πρέπει σοὶ πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ πατρὶ, καὶ τῷ υἱῷ, καὶ τῷ ἁγίῳ πνεύματι. νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. καὶ σφραγίζων τὸν λαὸν λέγει. Εἰρήνη πᾶσιν. ὁ λαός. Καὶ τῷ πνεύματί σου. Καὶ εἰ μὲν ἐστὶ κυριακή, ἢ ἐπίσημος ἑορτή. ψάλλομεν τὸ θεὸς κύριος, κατὰ τὸν ἦχον τοῦ τροπαρίου αὐτῆς. Θεὸς κύριος, καὶ ἐπέφανεν ἡμῖν. εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου. ὁ λαός, θεὸς, κύριος. καὶ ἐπέφανεν. στίχος α΄. Ἐξομολογεῖσθε τῷ κυρίῳ, ὅτι ἀγαθὸς, ὅτι εἰς τὸν αἰῶνα, τὸ ἔλεος αὐτοῦ. εὐλογημένος. ὁ λαός, θεὸς κύριος. στίχος β΄. Κυκλώσαντες ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι κυρίου ἠμυνάμην αὐτούς. εὐλογημένος. ὁ λαός, θεὸς κύριος. στίχος γ΄. Παρὰ κυρίου ἐγένετο αὕτη, καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν. εὐλογημένος. ὁ λαός. Θεὸς κύριος καί. ὁ ἱερεύς. Κύριε εὐλόγησον. θεὸς κύριος. καὶ ἐπέφανεν. καὶ ψάλλομεν τὸ τροπάριον, δίς. Δόξα καὶ νῦν θεοτοκίον, κατὰ τὸν ἦχον τοῦ τροπαρίου. Εἰ δὲ ἐστὶ λιτὴ ἡμέρα, οὐ ψάλλομεν τὸ θεὸς κύριος, ἀλλ᾽ ἀντὶ τούτου ψάλλομεν τὸ ἀλληλούϊα γ΄. Κατὰ τὸν ἦχον τῆς η΄. ἤχου. στίχος α΄. Ἐκ νυκτὸς ὀρθρίζει τὸ πνεῦμά μου πρὸς σὲ ὁ θεὸς, διότι φῶς τὰ προστάγματά σου ἐπὶ τῆς γῆς. ὁ λαός. ἀλληλούϊα. γ΄. στίχος β΄. Δικαιοσύνην μάθετε οἱ ἐνοικοῦντες ἐπὶ τῆς γῆς. πέπαυται γὰρ ὁ ἀσεβὴς οὐ μὴ μάθῃ δικαιοσύνην, ἐπὶ τῆς γῆς ἀλήθειαν οὐ μὴ ποιήσῃ. ὁ λαός ἀλληλούϊα γ΄. στίχος γ΄. Ἀρθήτω ὁ ἀσεβὴς, ἵνα μὴ ἴδῃ τὴν δόξαν κυρίου. κύριε ὑψηλός σου ὁ βραχίων. καὶ οὐκ ᾔδεισαν. γνόντες δὲ αἰσχυνθήτωσαν. Ἀλληλούϊα γ΄. Διὰ τῆς θεοτόκου ἐλέησον ἡμᾶς. Ἀλληλούϊα γ΄. καὶ ψάλλομεν τοὺς ὕμνους τοὺς τριαδικοὺς κατὰ τὸν ἦχον τῆς η΄. ἤχου. ἦχος. α΄. Σωματικῶς μορφώσει τῶν ἀσωμάτων δυνάμεων, πρὸς νοερὰν, καὶ ἄϋλον ἀναγόμενοι ἔννοιαν. καὶ τρισαγίῳ μελῳδήματι τρισυποστάτου θεότητος, δεχόμενοι ἔλλαμψιν. χερουβικῶς βοήσωμεν τῷ μόνῳ θεῷ. ἅγιος, ἅγιος, ἅγιος, εἶ ὁ θεὸς, διὰ τῆς θεοτόκου ἐλέησον ἡμᾶς. δόξα Ἐξεγερθέντες τοῦ ὕπνου προσπίπτομέν σοι ἀγαθὲ, καὶ τῶν ἀγγέλων τὸν ὕμνον βοῶμέν σοι.


πειρασμόν. ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ. ὁ ἱερεύς. Ὅτι σοῦ ἐστὶν ἡ βασιλεία, ἡ δύναμις, καὶ ἡ δόξα, τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος. νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ὁ λαός ἀμήν. καὶ ἀναγνώστης. Δόξα ἐν ὑψίστοις θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη. ἐν ἀνθρώποις εὐδοκία. καὶ τὰ λοιπά. Εἰ δὲ ἐστι κυριακὴ, ἢ ἐπίσημος ἑορτή. ὁ διάκονος λέγει. Εὐλόγησον δέσποτα. ὁ ἱερεὺς ἀπολογεῖ λέγων, οὕτως.

Εὐλογημένη ἡ βασιλεία τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος. νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ὁ λαός Ἀμήν. καὶ ὁ ἀναγνώστης ἄρχεται. Δόξα ἐν ὑψίστοις θεῷ. Κύριε τὰ χείλη μου ἀνοίξεις. καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου. β΄. Κύριε τί ἐπληθύνθησαν οἱ θλίβοντές με. ψαλ. γ΄. φ. β΄. Κύριε μὴ τῷ θυμῷ σου ἐλέγ. ψαλ. λζ΄. φ. κε. Ὁ θεὸς ὁ θεός μου, πρὸς σὲ. ψαλ. ξβ΄. φ. μα. Δόξα, καὶ νῦν ἀλληλούϊα, δόξα σοι ὁ θεὸς γ΄. Κύριε ἐλέησον. ϛ΄. Κύριε εὐλόγησον. ε΄. Κύριε ὁ θεὸς τῆς σωτηρίας μου. ψαλ. πζ΄. φ. ξγ΄. Εὐλόγει ἡ ψυχή μου τὸν κύριον. ψαλ. ρβ΄. φ. ϙβ΄. Κύριε εἰσάκουσον τῆς προσ. ψαλ. ρμβ΄. φ. ρα΄. Δόξα καὶ νῦν ἀλληλούϊα. δόξα σοι ὁ θεός. γ΄. εἶτα ὁ διάκονος, τὴν συναπτὴν μεγάλην. Ἐν εἰρήνῃ τοῦ κυρίου δεηθῶμεν. Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης, καὶ τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν. τοῦ κυρίου δεηθῶμεν. Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, εὐσταθείας τῶν ἁγίων τοῦ θεοῦ ἐκκλησιῶν, καὶ τῆς τῶν πάντων ἑνώσεως. τοῦ κυρίου δεηθῶμεν. Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου, καὶ τῶν μετὰ πίστεως, εὐλαβείας, καὶ φόβου θεοῦ εἰσιόντων ἐν αὐτῷ. τοῦ κυρίου δεηθῶμεν. Ὑπὲρ τοῦ μακαριωτάτου ἄκρου ἡμῶν ἀρχιερέως ΠΑΠΑ ΡΩΜΗΣ Ν. καὶ ὑπερασπισμοῦ ἡμῶν. Ν. καὶ ἀρχιεπισκόπου ἡμῶν, τοῦ τιμίου πρεσβυτερίου, τῆς ἐν χριστῷ διακονίας, παντὸς τοῦ κλήρου, καὶ τοῦ λαοῦ. τοῦ κυρίου δεηθῶμεν. Ὑπὲρ τῶν εὐσεβεστάτων, καὶ θεοφιλάκτων ἡμῶν βασιλέων, παντὸς τοῦ παλατίου, καὶ τοῦ στρατοπέδου αὐτῶν. τοῦ κυρίου δεηθῶμεν. Ὑπὲρ τοῦ συμπολεμῆσαι καὶ ὑποτάξαι ὑπὸ τοὺς πόδας αὐτῶν πάντα ἐχθρὸν, καὶ πολέμιον τῆς πίστεως. τοῦ κυρίου δεηθῶμεν. Ὑπὲρ τῆς πόλεως ἡμῶν ταύτης, πάσης πόλεως, καὶ χώρας, καὶ τῶν ἐν πίστει χριστοῦ οἰκούντων ἐν αὐταῖς. τοῦ κυρίου δεηθῶμεν. Ὑπὲρ εὐκρασίας ἀέρων, εὐφορίας τῶν καρπῶν τῆς γῆς, καὶ καιρῶν εἰρηνικῶν. τοῦ κυρίου δεηθῶμεν. Ὑπὲρ πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων, καὶ τῆς σωτηρίας αὐτῶν. τοῦ κυρίου δεηθῶμεν. Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου, καὶ ἀνάγκης. τοῦ κυρίου δεηθῶμεν.

Εὐχὴ καθημερινή.

Εὐχαριστοῦμέν σοι κύριε ὁ θεὸς ἡμῶν, τῷ ἐξαναστήσαντι ἡμᾶς ἐκ τῶν κοιτῶν ἡμῶν, καὶ ἐμβαλόντι εἰς τὸ στόμα ἡμῶν λόγον αἰνέσεως τοῦ προσκυνεῖν, καὶ ἐπικαλεῖσθαι τὸ ὄνομά σου τὸ ἅγιον, καὶ δεόμεθα τοῖς σοῖς οἰκτιρμοῖς, καὶ τῇ σῇ χρηστότητι, ὃ

παν-




ΩΡΟΛΟΓΙΟΝ

ΣΥΝ ΘΕΩι ΑΓΙΩι

ΠΕΡΙΕΧΟΝ

ΤΑΣ ΠΡΕΠΟΥΣΑΣ ΑΥΤΩι ΑΚΟΛΟΥΘΙΑΣ.



Δεῖ εἰδέναι, ὅτι εἰς τὴν ἀρχὴν τοῦ ὄρθρου, ὅτι ἐστὶ λιτὴ ἡμέρα, ὁ ἱερεὺς εὐλογεῖ οὕτως.



Εὐλογητὸς ὁ θεὸς ἡμῶν πάντοτε. νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Ἅγιος ὁ θεὸς, ἅγιος ἰσχυρὸς, ἅγιος ἀθάνατος ἐλέησον ἡμᾶς. γ. εἶτα. Δόξα πατρὶ, καὶ υἱῷ, καὶ ἁγίῳ πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν. Παναγία τριὰς ἐλέησον ἡμᾶς. Κύριε ἱλάσθητι ταῖς ἀνομίαις ἡμῶν. Δέσποτα συγχώρησον τὰς ἁμαρτίας ἡμῶν. Ἅγιε κύριε ἐπίσκεψαι, καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν. Ἕνεκεν τοῦ δόξης τοῦ ὀνόματός σου. Κύριε ἐλέησον. β´. Κύριε εὐλόγησον. α. Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς. ἁγιασθήτω τὸ ὄνομά σου. ἐλθέτω ἡ βασιλεία σου. γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον. καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν. καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πει-

Ποιῆσαι ἔλεος μετὰ τῶν πατέρων ἡμῶν, καὶ μνησθῆναι διαθήκης ἁγίας αὐτοῦ.

Ὅρκον ὃν ὤμοσε πρὸς Ἀβραὰμ τὸν πατέρα ἡμῶν, τοῦ δοῦναι ἡμῖν ἀφόβως ἐκ χειρὸς τῶν ἐχθρῶν ἡμῶν ῥυσθέντας.

Λατρεύειν αὐτῷ ἐν ὁσιότητι, καὶ δικαιοσύνῃ ἐνώπιον αὐτοῦ πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν.


Καὶ σὺ παιδίον, προφήτης ὑψίστου κληθήσῃ. προπορεύσῃ γὰρ πρὸ προσώπου κυρίου, ἑτοιμάσαι ὁδοὺς αὐτοῦ.

Τοῦ δοῦναι γνῶσιν σωτηρίας τῷ λαῷ αὐτοῦ, ἐν ἀφέσει ἁμαρτιῶν αὐτῶν, διὰ σπλάγχνα ἐλέους θεοῦ ἡμῶν.

Ἐν οἷς ἐπεσκέψατο ἡμᾶς ἀνατολὴ ἐξ ὕψους, ἐπιφᾶναι τοῖς ἐν σκότει καὶ σκιᾷ θανάτου καθημένοις.

Τοῦ κατευθῦναι τοὺς πόδας ἡμῶν εἰς ὁδὸν εἰρήνης.

Τέλος τοῦ ψαλτηρίου, καὶ τῶν ᾠδῶν.



ΩΡΟ-

κύριον. ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν τοὺς αἰῶνας.

Εὐλογεῖτε πηγαὶ, θάλασσαι, καὶ ποταμοὶ, κήτη, καὶ πάντα τὰ κινούμενα ἐν τοῖς ὕδασι τὸν κύριον. ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εὐλογεῖτε πάντα τὰ πετεινὰ τοῦ οὐρανοῦ, τὰ θηρία, καὶ πάντα τὰ κτήνη. τὸν κύριον. ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εὐλογεῖτε υἱοὶ τῶν ἀνθρώπων εὐλογείτω Ἰσραήλ. τὸν κύριον ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εὐλογεῖτε ἱερεῖς κυρίου, δοῦλοι κυρίου. τὸν κύριον ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εὐλογεῖτε πνεύματα, καὶ ψυχαὶ δικαίων, ὅσιοι καὶ ταπεινοὶ τῇ καρδίᾳ τὸν κύριον. ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εὐλογεῖτε Ἀνανία, Ἀζαρία, Μισαὴλ τὸν κύριον. ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εὐλογεῖτε ἀπόστολοι, προφῆται, καὶ μάρτυρες κυρίου. τὸν κύριον. ὑμνεῖται καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εὐλογοῦμεν πατέρα, καὶ υἱὸν, καὶ ἅγιον πνεῦμα τὸν κύριον. ὑμνοῦμεν καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Αἰνοῦμεν, εὐλογοῦμεν, προσκυνοῦμεν τὸν κύριον. ὑμνοῦντες, καὶ ὑπερυψοῦντες αὐτὸν εἰς τοὺς αἰῶνας.

Αἴνεσις ἁγνῆς μητρὸς παρθένου κόρης. Ὠιδὴ θ´.

ΜΕγαλύνει ἡ ψυχή μου τὸν κύριον, καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ θεῷ τῷ σωτῆρι μου.

Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ, ἰδοὺ γὰρ ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί.

Ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ δυνατὸς, καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ, καὶ τὸ ἔλεος αὐτοῦ εἰς γενεὰν καὶ γενεὰν τοῖς φοβουμένοις αὐτόν.

Ἐποίησε κράτος ἐν βραχίονι αὐτοῦ, διεσκόρπισεν ὑπερηφάνους διανοίᾳ καρδίας αὐτῶν.

Καθεῖλε δυνάστας ἀπὸ θρόνων, καὶ ὕψωσε ταπεινούς. πεινῶντας ἐνέπλησεν ἀγαθῶν, καὶ πλουτοῦντας ἐξαπέστειλε κενούς.

Ἀντελάβετο Ἰσραὴλ παιδὸς αὐτοῦ, μνησθῆναι ἐλέους καθὼς ἐλάλησε πρὸς τοὺς πατέρας ἡμῶν, τῷ Ἀβραὰμ καὶ τῷ σπέρματι αὐτοῦ ἕως αἰῶνος.

Προσευχὴ τοῦ προφήτου Ζαχαρίου.

ΕΥλογητὸς κύριος ὁ θεὸς τοῦ Ἰσραὴλ, ὅτι ἐπεσκέψατο καὶ ἐποίησε λύτρωσιν τῷ λαῷ αὐτοῦ.

Καὶ ἤγειρε κέρας σωτηρίας ἡμῖν, ἐν τῷ οἴκῳ Δαβὶδ τοῦ παιδὸς αὐτοῦ.

Καθὼς ἐλάλησε διὰ στόματος τῶν ἁγίων, τῶν ἀπ᾽ αἰῶνος προφητῶν.

Σωτηρίαν ἐξ ἐχθρῶν ἡμῶν, καὶ ἐκ χειρὸς πάντων τῶν μισούντων ἡμᾶς.

Ὁ δὲ ἄγγελος κυρίου συγκατέβη ἅμα τοῖς περὶ τὸν Ἀζαρίαν εἰς τὴν κάμινον.

Καὶ ἐξετίναξε τὴν φλόγα τοῦ πυρὸς ἐκ τῆς καμίνου.

Καὶ ἐποίησε τὸ μέσον τῆς καμίνου ὡς πνεῦμα δρόσου διασυρίζον.

Καὶ οὐχ ἥψατο αὐτῶν καθόλου τὸ πῦρ, οὐδὲ ἐλύπησεν, οὐδὲ παρηνώχλησεν αὐτοῖς.

Τότε οἱ τρεῖς ὡς ἐξ ἑνὸς στόματος ὕμνουν, καὶ εὐλόγουν καὶ ἐδόξαζον τὸν θεὸν ἐν τῇ καμίνῳ λέγοντες.

Ἡ τῶν τριῶν ὕμνησις, ἣν ᾖδον νέοι.

Εὐλογητὸς εἶ κύριε ὁ θεὸς τῶν πατέρων ἡμῶν, καὶ ὑπερύμνητος καὶ ὑπερυψούμενος εἰς τοὺς αἰῶνας.

Καὶ εὐλογημένον τὸ ὄνομα τῆς δόξης σου τὸ ἅγιον, τὸ ὑπερύμνητον καὶ ὑπερυψούμενον εἰς τοὺς αἰῶνας.

Εὐλογημένος εἶ ἐν τῷ ναῷ τῆς ἁγίας δόξης σου, ὁ ὑπερύμνητος καὶ ὑπερυψούμενος εἰς τοὺς αἰῶνας.

Εὐλογημένος εἶ ὁ βλέπων ἀβύσσους, καθήμενος ἐπὶ τῶν χερουβίμ. ὁ ὑπερύμνητος καὶ ὑπερυψούμενος εἰς τοὺς αἰῶνας.

Εὐλογημένος εἶ ἐπὶ θρόνου δόξης τῆς βασιλείας σου. ὁ ὑπερύμνητος καὶ ὑπερυψούμενος εἰς τοὺς αἰῶνας.

Εὐλογημένος εἶ ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ. ὁ ὑπερύμνητος καὶ ὑπερυψούμενος εἰς τοὺς αἰῶνας.

Ὕμνος τῶν ἁγίων τριῶν παίδων.

Ὠιδὴ ηʹ.

Εὐλογεῖτε πάντα τὰ ἔργα κυρίου τὸν κύριον. ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εὐλογεῖτε ἄγγελοι κυρίου, οὐρανοὶ κυρίου τὸν κύριον: ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εὐλογεῖτε ὕδατα πάντα τὰ ὑπεράνω τῶν οὐρανῶν, πᾶσαι αἱ δυνάμεις κυρίου τὸν κύριον. ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εὐλογεῖτε ἥλιος καὶ σελήνη, ἄστρα τοῦ οὐρανοῦ τὸν κύριον. ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εὐλογεῖτε πᾶς ὄμβρος καὶ δρόσος, πάντα τὰ πνεύματα τὸν κύριον. ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εὐλογεῖτε πῦρ, καὶ καῦμα, ψῦχος, καὶ καύσων τὸν κύριον. ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εὐλογεῖτε δρόσοι καὶ νιφετοὶ. πάγοι, καὶ ψῦχος τὸν κύριον. ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εὐλογεῖτε πάχναι καὶ χιόνες, ἀστραπαὶ, καὶ νεφέλαι τὸν κύριον. ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν τοὺς αἰῶνας.

Εὐλογεῖτε φῶς, καὶ σκότος, νύκτες καὶ ἡμέραι, τὸν κύριον. ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εὐλογεῖτε ἡ γῆ, ὄρη, καὶ βουνοὶ, πάντα τὰ φυόμενα ἐν αὐτῇ, τὸν κύ-

Κατὰ πάντα ἃ ἐπήγαγες ἡμῖν, καὶ ἐπὶ τὴν πόλιν τὴν ἁγίαν τῶν πατέρων ἡμῶν Ἱερουσαλήμ.

Ὅτι ἐν ἀληθείᾳ καὶ κρίσει ἐπήγαγες ταῦτα πάντα ἐφ' ἡμᾶς, διὰ τὰς ἁμαρτίας ἡμῶν.

Ὅτι ἡμάρτομεν, καὶ ἠνομήσαμεν, ἀποστῆναι ἀπὸ σοῦ. καὶ ἐξημάρτομεν, ἐν πᾶσι, καὶ τῶν ἐντολῶν σου οὐκ ἠκούσαμεν.

Οὐδὲ συνετηρήσαμεν οὐδὲ ἐποιήσαμεν καθὼς ἐνετείλω ἡμῖν, ἵνα εὖ ἡμῖν γένηται.

Καὶ πάντα ὅσα ἐποίησας ἡμῖν, καὶ πάντα ὅσα ἐπήγαγες ἐν ἡμῖν, ἀληθινῇ κρίσει ἐποίησας.

Καὶ παρέδωκας ἡμᾶς εἰς χεῖρας ἐχθρῶν ἀνόμων, ἐχθίστων ἀποστατῶν. καὶ βασιλεῖ ἀδίκῳ καὶ πονηροτάτῳ, παρὰ πᾶσαν τὴν γῆν.

Καὶ νῦν οὐκ ἔστιν ἡμῖν ἀνοῖξαι τὸ στόμα. αἰσχύνη καὶ ὄνειδος ἐγενήθημεν τοῖς δούλοις σου, καὶ τοῖς σεβομένοις σε.

Μὴ δὴ παραδώῃς ἡμᾶς εἰς τέλος, διὰ τὸ ὄνομά σου, καὶ μὴ διασκεδάσῃς τὴν διαθήκην σου, καὶ μὴ ἀποστήσῃς τὸ ἔλεός σου ἀφ' ἡμῶν.

Διὰ Ἀβραὰμ τὸν ἠγαπημένον ὑπὸ σοῦ, καὶ διὰ Ἰσαὰκ τὸν δοῦλόν σου, καὶ Ἰσραὴλ τὸν ἅγιόν σου.

Οἷς ἐλάλησας πληθῦναι τὸ σπέρμα αὐτῶν, ὡς τὰ ἄστρα τοῦ οὐρανοῦ, καὶ ὡς τὴν ἄμμον τὴν παρὰ τὸ χεῖλος τῆς θαλάσσης.

Ὅτι δέσποτα ἐσμικρύνθημεν παρὰ πάντα τὰ ἔθνη, καὶ ἐσμὲν ταπεινοὶ ἐν πάσῃ τῇ γῇ σήμερον διὰ τὰς ἁμαρτίας ἡμῶν.

Καὶ οὐκ ἔστιν ἐν τῷ καιρῷ τούτῳ ἄρχων καὶ προφήτης καὶ ἡγούμενος. οὐδὲ ὁλοκαύτωσις. οὐδὲ θυσία, οὐδὲ προσφορὰ οὐδὲ θυμίαμα. οὐ τόπος τοῦ καρπῶσαι ἐνώπιόν σου, καὶ εὑρεῖν ἔλεος.

Ἀλλ' ἐν ψυχῇ συντετριμμένῃ, καὶ πνεύματι ταπεινώσεως, προσδεχθείημεν ὡς ἐν ὁλοκαυτώμασι κριῶν καὶ ταύρων, καὶ ὡς ἐν μυριάσιν ἀρνῶν πιόνων.

Οὕτω γενέσθω ἡ θυσία ἡμῶν, ἐνώπιόν σου σήμερον. καὶ ἐκτελείσθω ὄπισθέν σου, ὅτι οὐκ ἔστιν αἰσχύνη τοῖς πεποιθόσιν ἐπὶ σοί.

Καὶ νῦν ἐξακολουθοῦμεν ἐν ὅλῃ καρδίᾳ, καὶ φοβούμεθά σε, καὶ ζητοῦμεν τὸ πρόσωπόν σου, μὴ καταισχύνῃς ἡμᾶς.

Ἀλλὰ ποίησον μεθ' ἡμῶν, κατὰ τὴν ἐπιείκειάν σου, καὶ κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου. ἐξελοῦ ἡμᾶς κατὰ θαυμάσιά σου, καὶ δὸς δόξαν τῷ ὀνόματί σου κύριε.

Καὶ ἐντραπείησαν πάντες οἱ ἐνδεικνύμενοι τοῖς δούλοις σου κακά.

Καὶ καταισχυνθείησαν ἀπὸ πάσης δυναστείας.

Καὶ ἡ ἰσχὺς αὐτῶν συντριβείη, καὶ γνώτωσαν ὅτι σὺ εἶ κύριος ὁ θεὸς μόνος, καὶ ἔνδοξος ἐφ' ὅλην τὴν οἰκουμένην.

Καὶ οὐ διέλιπον οἱ ἐμβάλλοντες αὐτοὺς ὑπηρέται τοῦ βασιλέως, καίοντες τὴν κάμινον νάφθῃ, πίσσῃ, καὶ στυππίῳ καὶ κληματίδι.

Καὶ διεχεῖτο ἡ φλὸξ ἐπάνω τῆς καμίνου, ἐπὶ πήχεις τεσσαράκοντα ἐννέα.

Καὶ διώδευσε καὶ ἐνεπύρισεν οὓς εὗρε περὶ τὴν κάμινον τῶν χαλδαίων.

Κύριε ὁ θεὸς ἡμῶν, εἰρήνην δὸς ἡμῖν. πάντα γὰρ ἀπέδωκας ἡμῖν.
Κύριε ὁ θεὸς ἡμῶν, κτῆσαι ἡμᾶς. κύριε ἐκτός σου ἄλλον οὐκ οἴδαμεν, τὸ ὄνομά σου ὀνομάζομεν.
Οἱ δὲ νεκροὶ ζωὴν οὐ μὴ ἴδωσιν, οὐδὲ ἰατροὶ οὐ μὴ ἀναστήσωσι.
Διὰ τοῦτο ἐπήγαγες καὶ ἀπώλεσας, καὶ ἦρας πᾶν ἄρσεν αὐτῶν.
Πρόσθες αὐτοῖς κακὰ κύριε, πρόσθες κακὰ τοῖς ἐνδόξοις τῆς γῆς.
Κύριε ἐν θλίψει ἐμνήσθημέν σου, ἐν θλίψει μικρᾷ ἡ παιδεία σου ἡμῖν.
Καὶ ὡς ἡ ὠδίνουσα ἐγγίζει τοῦ τεκεῖν. καὶ ἐπὶ τῇ ὠδῖνι αὐτῆς ἐκέκραξεν, οὕτως ἐγενήθημεν τῷ ἀγαπητῷ σου.
Διὰ τὸν φόβον σου κύριε ἐν γαστρὶ ἐλάβομεν, καὶ ὠδινήσαμεν καὶ ἐτέκομεν πνεῦμα σωτηρίας, ὃ ἐποιήσαμεν ἐπὶ τῆς γῆς.
Οὐ πεσούμεθα, ἀλλὰ πεσοῦνται οἱ ἐνοικοῦντες ἐπὶ τῆς γῆς.
Αναστήσονται οἱ νεκροί, καὶ ἐγερθήσονται οἱ ἐν τοῖς μνημείοις, καὶ εὐφρανθήσονται οἱ ἐν τῇ γῇ.
Ἡ γὰρ δρόσος ἡ παρὰ σου, ἴαμα αὐτοῖς ἐστιν, ἡ δὲ γῆ τῶν ἀσεβῶν πεσεῖται.
Βάδιζε λαός μου, εἴσελθε εἰς τὸ ταμεῖόν σου, ἀπόκλεισον τὴν θύραν σου, ἀποκρύβηθι μικρὸν ὅσον ὅσον, ἕως ἂν παρέλθοι ἡ ὀργὴ κυρίου.

Εκ θηρὸς ἐκραύγασεν Ιωνᾶς λέγων. Ωιδὴ ς'.

Εβόησα ἐν θλίψει μου πρὸς κύριον τὸν θεόν μου, καὶ εἰσήκουσέ μου.
Εκ κοιλίας ᾅδου, κραυγῆς μου ἤκουσας φωνῆς μου, ἀπέρριψάς με εἰς βάθη καρδίας θαλάσσης, καὶ ποταμοὶ ἐκύκλωσάν με.
Πάντες οἱ μετεωρισμοί σου, καὶ τὰ κύματά σου ἐπ' ἐμὲ διῆλθον.
Κἀγὼ εἶπον ἀπῶσμαι ἐξ ὀφθαλμῶν σου, ἆρα προσθήσω τοῦ ἐπιβλέψαι με πρὸς ναὸν τὸν ἅγιόν σου.
Περιεχύθη μοι ὕδωρ, ἕως ψυχῆς μου, ἄβυσσος ἐκύκλωσέ με ἐσχάτη.
Εδυ ἡ κεφαλή μου εἰς σχισμὰς ὀρέων. κατέβην εἰς γῆν, ἧς οἱ μοχλοὶ αὐτῆς κάτοχοι αἰώνιοι.
Καὶ ἀναβήτω ἐκ φθορᾶς ἡ ζωή μου, πρὸς σὲ κύριε ὁ θεός μου.
Εν τῷ ἐκλείπειν ἐξ ἐμοῦ τὴν ψυχήν μου, τοῦ κυρίου ἐμνήσθην.
Καὶ ἔλθοι πρὸς σὲ ἡ προσευχή μου, πρὸς ναὸν τὸν ἅγιόν σου.
Φυλασσόμενοι μάταια καὶ ψευδῆ, ἔλεον αὐτοῖς ἐγκατέλιπον.
Εγὼ δὲ μετὰ φωνῆς αἰνέσεως καὶ ἐξομολογήσεως θύσω σοι. ὅσα ηὐξάμην ἀποδώσω εἰς σωτηρίαν μου τῷ κυρίῳ.

Αἶνος φλόγα σβέννυσι τῶν τριῶν παίδων. Προσευχὴ τῶν ἁγίων τριῶν παίδων. Ωιδὴ ζ'.

Ευλογητὸς εἶ κύριε ὁ θεὸς τῶν πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας.
Ὅτι δίκαιος εἶ ἐπὶ πᾶσιν οἷς ἐποίησας ἡμῖν. καὶ πάντα τὰ ἔργα σου ἀληθινά, καὶ εὐθεῖαι αἱ ὁδοί σου.
Καὶ πᾶσαι αἱ κρίσεις σου ἀληθεῖς καὶ κρίματα ἀληθείας ἐποίησας.

Ὅτι

ψει καὶ ἐτάκη ἔθνη·

Διεθρύβη τὰ ὄρη βίᾳ. ἐτάκησαν βουνοὶ αἰώνιοι, πορείας αἰωνίους αὐτῶν ἀντὶ κόπων εἶδον.

Σκηνώματα αἰθιόπων πτοηθήσονται, καὶ σκηναὶ γῆς Μαδιάμ.

Μὴ ἐν ποταμοῖς ὠργίσθης κύριε, μὴ ἐν ποταμοῖς ὁ θυμός σου; ἢ ἐν θαλάσσῃ τὸ ὅρμημά σου;

Ὅτι ἐπιβήσῃ ἐπὶ τοὺς ἵππους σου, καὶ ἡ ἱππασία σου σωτηρία.

Ἐντείνων ἐντενεῖς τὸ τόξον σου, ἐπὶ σκῆπτρα λέγει κύριος.

Ποταμῶν ῥαγήσεται γῆ, ὄψονταί σε καὶ ὠδινήσουσι λαοί.

Σκορπίζων ὕδατα πορείας, ἔδωκεν ἡ ἄβυσσος φωνὴν αὐτῆς, ὕψος φαντασίας αὐτῆς.

Ἐπήρθη ὁ ἥλιος, καὶ ἡ σελήνη ἔστη ἐν τῇ τάξει αὐτῆς.

Εἰς φῶς βολίδες σου πορεύσονται, εἰς φέγγος ἀστραπῆς ὅπλων σου.

Ἐν ἀπειλῇ ὀλιγώσεις γῆν, καὶ ἐν θυμῷ κατάξεις ἔθνη.

Ἐξῆλθες εἰς σωτηρίαν λαοῦ σου, τοῦ σῶσαι τοὺς χριστούς σου ἐλήλυθας.

Ἔβαλες εἰς κεφαλὰς ἀνόμων θάνατον, ἐξήγειρας δεσμοὺς ἕως τραχήλου εἰς τέλος.

Διέκοψας ἐν ἐκστάσει κεφαλὰς δυναστῶν, σεισθήσονται ἐν αὐτοῖς, διανοίξουσι χαλινοὺς αὐτῶν ὡς ὁ ἐσθίων πτωχὸς λάθρα.

Καὶ ἐπεβίβασας εἰς θάλασσαν τοὺς ἵππους σου ταράσσοντας ὕδατα πολλά.

Ἐφυλαξάμην καὶ ἐπτοήθη ἡ καρδία μου, ἀπὸ φωνῆς προσευχῆς χειλέων μου.

Καὶ εἰσῆλθε τρόμος εἰς τὰ ὀστᾶ μου, καὶ ἐν ἐμοὶ ἐταράχθη ἡ ἰσχύς μου.

Ἀναπαύσομαι ἐν ἡμέρᾳ θλίψεώς μου, τοῦ ἀναβῆναί με εἰς λαὸν παροικίας μου.

Διότι συκῆ οὐ καρποφορήσει, καὶ οὐκ ἔσται γεννήματα ἐν ταῖς ἀμπέλοις.

Ψεύσεται ἔργον ἐλαίας, καὶ τὰ πεδία οὐ ποιήσει βρῶσιν.

Ἐξέλιπον ἀπὸ βρώσεως πρόβατα, καὶ οὐχ ὑπάρξουσι βόες ἐπὶ φάτναις.

Ἐγὼ δὲ ἐν τῷ κυρίῳ ἀγαλλιάσομαι, χαρήσομαι ἐπὶ τῷ θεῷ τῷ σωτῆρί μου.

Κύριος ὁ θεός μου δύναμίς μου, καὶ τάξει τοὺς πόδας μου εἰς συντέλειαν.

Καὶ ἐπὶ τὰ ὑψηλὰ ἐπιβιβᾷ με, τοῦ νικῆσαί με ἐν τῇ ᾠδῇ αὐτοῦ.

Ἡσαΐου πρόρρησις, ἀρχὴ τὸ πλέον.

Προσευχὴ Ἡσαΐου τοῦ προφήτου.

ᾠδὴ ς'.

Ἐκ νυκτὸς ὀρθρίζει τὸ πνεῦμά μου πρὸς σὲ ὁ θεός, διότι φῶς τὰ προστάγματά σου ἐπὶ τῆς γῆς.

Δικαιοσύνην μάθετε οἱ ἐνοικοῦντες ἐπὶ τῆς γῆς, πέπαυται γὰρ ὁ ἀσεβής· οὐ μὴ μάθῃ δικαιοσύνην, ἐπὶ τῆς γῆς ἀλήθειαν οὐ μὴ ποιήσει.

Ἀρθήτω ὁ ἀσεβής, ἵνα μὴ ἴδῃ τὴν δόξαν κυρίου, κύριε ὑψηλός σου ὁ βραχίων, καὶ οὐκ ᾔδεισαν, γνόντες δὲ αἰσχυνθήτωσαν.

Ζῆλος λήψεται λαὸν ἀπαίδευτον, καὶ νῦν πῦρ τοὺς ὑπεναντίους ἔδεται.

Θεὸν μεγάλης στείρας τίκτουσα ξένως.

Προσευχὴ Ἄννης μητρὸς Σαμουὴλ τοῦ προφήτου.

Ὠιδὴ γ΄.

ΕΣτερεώθη ἡ καρδία μου ἐν κυρίῳ. ὑψώθη κέρας μου ἐν θεῷ μου, ἐπλατύνθη στόμα μου ἐπ' ἐχθρούς μου, ηὐφράνθην ἐν σωτηρίᾳ σου.

Ὅτι οὐκ ἔστιν ἅγιος ὡς ὁ κύριος, καὶ οὐκ ἔστι δίκαιος, ὡς ὁ θεὸς ἡμῶν. καὶ οὐκ ἔστιν ἅγιος πλὴν σοῦ.

Μὴ καυχᾶσθε, καὶ μὴ λαλεῖτε ὑψηλὰ εἰς ὑπεροχήν. μὴ ἐξελθέτω μεγαλορρημοσύνη ἐκ τοῦ στόματος ὑμῶν.

Ὅτι θεὸς γνώσεων κύριος, καὶ θεὸς ἑτοιμάζων ἐπιτηδεύματα αὐτοῦ.

Τόξον δυνατῶν ἠσθένησε, καὶ οἱ ἀσθενοῦντες περιεζώσαντο δύναμιν,

Πλήρεις ἄρτων ἠλαττώθησαν, καὶ οἱ πεινῶντες παρῆκαν γῆν.

Ὅτι στεῖρα ἔτεκεν ἑπτά, καὶ ἡ πολλὴ ἐν τέκνοις ἠσθένησε.

Κύριος θανατοῖ καὶ ζωογονεῖ, κατάγει εἰς ᾅδου καὶ ἀνάγει.

Κύριος πτωχίζει καὶ πλουτίζει, ταπεινοῖ, καὶ ἀνυψοῖ, ἀνιστᾷ ἀπὸ γῆς πένητα, καὶ ἀπὸ κοπρίας ἐγείρει πτωχόν.

Τοῦ καθίσαι αὐτὸν μετὰ δυναστῶν λαοῦ. καὶ θρόνον δόξης κατακληρονομῶν αὐτόν.

Διδοὺς εὐχὴν τῷ εὐχομένῳ. καὶ εὐλόγησεν ἔτη δικαίου.

Ὅτι οὐκ ἐν ἰσχύϊ δυνατὸς ἀνὴρ ἐν τῇ ἰσχύϊ αὐτοῦ. κύριος ἀσθενῆ ποιήσει τὸν ἀντίδικον αὐτοῦ. κύριος ἅγιος.

Μὴ καυχάσθω ὁ σοφὸς ἐν τῇ σοφίᾳ αὐτοῦ, καὶ μὴ καυχάσθω ὁ δυνατὸς ἐν τῇ δυνάμει αὐτοῦ, καὶ μὴ καυχάσθω ὁ πλούσιος ἐν τῷ πλούτῳ αὐτοῦ.

Ἀλλ' ἢ ἐν τούτῳ καυχάσθω ὁ καυχώμενος. ἐν τῷ συνιέναι, καὶ γινώσκειν τὸν κύριον, καὶ ποιεῖν κρίμα καὶ δικαιοσύνην ἐν μέσῳ τῆς γῆς.

Κύριος ἀνέβη εἰς οὐρανοὺς καὶ ἐβρόντησεν, αὐτὸς κρινεῖ ἄκρα γῆς δίκαιος ὤν.

Καὶ δώσει ἰσχὺν τοῖς βασιλεῦσιν ἡμῶν, καὶ ὑψώσει κέρας χριστοῦ αὐτοῦ.

Τὴν τοῦ λόγου κένωσιν Ἀββακοὺμ φρικτόν, προσευχὴ Ἀββακοὺμ τοῦ προφήτου.

Ὠιδὴ δ΄.

ΚΥριε εἰσακήκοα τὴν ἀκοήν σου καὶ ἐφοβήθην, κύριε κατενόησα τὰ ἔργα σου καὶ ἐξέστην.

Ἐν μέσῳ δύο ζώων γνωσθήσῃ, ἐν τῷ ἐγγίζειν τὰ ἔτη ἐπιγνωσθήσῃ, ἐν τῷ παρεῖναι τὸν καιρὸν ἀναδειχθήσῃ. ἐν τῷ ταραχθῆναι τὴν ψυχήν μου ἐν ὀργῇ ἐλέους μνησθήσῃ.

Ὁ θεὸς ἀπὸ θαιμὰν ἥξει, καὶ ὁ ἅγιος ἐξ ὄρους κατασκίου δασέος.

Ἐκάλυψεν οὐρανοὺς ἡ ἀρετὴ αὐτοῦ, καὶ τῆς αἰνέσεως αὐτοῦ πλήρης ἡ γῆ.

Καὶ φέγγος αὐτοῦ ὡς φῶς ἔσται. κέρατα ἐν χερσὶν αὐτοῦ, καὶ ἔθετο ἀγάπησιν κραταιὰν ἰσχύος αὐτοῦ.

Πρὸ προσώπου αὐτοῦ πορεύσεται λόγος, καὶ ἐξελεύσεται εἰς παιδείαν κατὰ πόδας αὐτοῦ.

Ἔστη καὶ ἐσαλεύθη ἡ γῆ, ἐπέβλε-

θῶνται οἱ ὑπεναντίοι.

Μὴ ἐποίησαν ἡ χεὶρ ἡμῶν ὑψηλή. καὶ οὐχὶ κύριος ἐποίησε ταῦτα πάντα;

Ὅτι ἔθνος ἀπολωλεκὸς βουλήν, ἐστι καὶ οὐκ ἔστιν ἐν αὐτοῖς ἐπιστήμη.

Οὐκ ἐφρόνησαν συνιέναι. ταῦτα πάντα καταδεξάσθωσαν εἰς τὸν ἐπιόντα χρόνον.

Πῶς διώξεται εἷς χιλίους, καὶ δύο μετακινήσουσι μυριάδας,

Εἰ μὴ ὁ θεὸς ἀπέδοτο αὐτούς, καὶ ὁ κύριος παρέδωκεν αὐτούς.

Οὐ γάρ εἰσιν οἱ θεοὶ αὐτῶν. ὡς ὁ θεὸς ἡμῶν, οἱ δὲ ἐχθροὶ ἡμῶν ἀνόητοι.

Ἐκ γὰρ ἀμπέλων Σοδόμων, ἡ ἄμπελος αὐτῶν, καὶ ἡ κληματὶς αὐτῶν ἐκ Γομόῤῥας.

Ἡ σταφυλὴ αὐτῶν, σταφυλὴ χολῆς, βότρυς πικρίας αὐτῶν.

Θυμὸς δρακόντων ὁ οἶνος αὐτῶν, καὶ θυμὸς ἀσπίδων ἀνίατος.

Οὐκ ἰδοὺ ταῦτα πάντα συνῆκται παρ' ἐμοί, καὶ ἐσφράγισται ἐν τοῖς θησαυροῖς μου.

Ἐν ἡμέρᾳ ἐκδικήσεως, ἀνταποδώσω ἐν καιρῷ, ὅταν σφαλῇ ὁ ποὺς αὐτῶν.

Ὅτι ἐγγὺς ἡμέρα ἀπωλείας αὐτῶν, καὶ πάρεστιν ἕτοιμα ὑμῖν.

Ὅτι κρινεῖ κύριος τὸν λαὸν αὐτοῦ, καὶ ἐπὶ τοῖς δούλοις αὐτοῦ, παρακληθήσεται.

Εἶδε γὰρ αὐτοὺς παραλελυμένους, καὶ ἐκλελοιπότας ἐν ἐπαγωγῇ, καὶ παρειμένους.

Καὶ εἶπε κύριος, ποῦ εἰσιν οἱ θεοὶ αὐτῶν, ἐφ' οἷς ἐπεποίθεισαν ἐπ' αὐτοῖς;

Ὧν τὸ στέαρ τῶν θυσιῶν αὐτῶν ἠσθίετε, καὶ ἐπίνετε τὸν οἶνον τῶν σπονδῶν αὐτῶν.

Ἀναστήτωσαν, καὶ βοηθησάτωσαν ὑμῖν, καὶ γενηθήτωσαν ὑμῶν σκεπασταί.

Ἴδετε, ἴδετε, ὅτι ἐγώ εἰμι. καὶ οὐκ ἔστι θεὸς πλὴν ἐμοῦ.

Ἐγὼ ἀποκτενῶ, καὶ ζῆν ποιήσω. πατάξω, κἀγὼ ἰάσομαι, καὶ οὐκ ἔστιν ὃς ἐξελεῖται ἐκ τῶν χειρῶν μου.

Ὅτι ἀρῶ εἰς τὸν οὐρανὸν τὴν χεῖρά μου, καὶ ὀμοῦμαι τῇ δεξιᾷ μου, καὶ ἐρῶ, ζῶ ἐγὼ εἰς τὸν αἰῶνα.

Ὅτι παροξυνῶ ὡς ἀστραπὴν τὴν μάχαιράν μου, καὶ ἀνθέξεται κρίματος ἡ χείρ μου.

Καὶ ἀνταποδώσω δίκην τοῖς ἐχθροῖς, καὶ τοῖς μισοῦσί με ἀνταποδώσω.

Μεθύσω τὰ βέλη μου ἀφ' αἵματος, καὶ ἡ μάχαιρά μου φάγεται κρέα.

Ἀφ' αἵματος τραυματιῶν, καὶ αἰχμαλωσίας. ἀπὸ κεφαλῆς ἀρχόντων ἐθνῶν.

Εὐφράνθητε οὐρανοὶ ἅμα αὐτῷ, καὶ προσκυνησάτωσαν αὐτῷ πάντες ἄγγελοι θεοῦ.

Εὐφράνθητε ἔθνη μετὰ τοῦ λαοῦ αὐτοῦ, καὶ ἐνισχυσάτωσαν αὐτῷ πάντες υἱοὶ θεοῦ.

Ὅτι τὸ αἷμα τῶν υἱῶν αὐτοῦ ἐκδικεῖται, καὶ ἐκδικήσει, καὶ ἀνταποδώσει δίκην τοῖς ἐχθροῖς, καὶ τοῖς μισοῦσιν αὐτὸν ἀνταποδώσει.

Καὶ ἐκκαθαριεῖ κύριος τὴν γῆν τοῦ λαοῦ αὐτοῦ. Δόξα.

διέσπειρεν υἱοὺς Ἀδάμ.

Ἔστησεν ὅρια ἐθνῶν κατὰ ἀριθμὸν ἀγγέλων θεοῦ, καὶ ἐγενήθη μερὶς κυρίου, λαὸς αὐτοῦ Ἰακώβ. σχοίνισμα κληρονομίας αὐτοῦ Ἰσραήλ.

Ηὐτάρκησεν αὐτὸν ἐν τῇ ἐρήμῳ, ἐν δίψει καύματος ἐν ἀνύδρῳ.

Ἐκύκλωσεν αὐτὸν, καὶ ἐπαίδευσεν αὐτὸν καὶ διεφύλαξεν αὐτὸν ὡς κόρην ὀφθαλμοῦ.

Ὡς ἀετὸς σκεπάσαι νοσσιὰν αὐτοῦ, καὶ ἐπὶ τοῖς νεοσσοῖς αὐτοῦ ἐπεπόθησεν.

Διεὶς τὰς πτέρυγας αὐτοῦ ἐδέξατο αὐτοὺς, καὶ ἀνέλαβεν αὐτοὺς ἐπὶ τῶν μεταφρένων αὐτοῦ.

Κύριος μόνος ἦγεν αὐτοὺς, καὶ οὐκ ἦν μετ' αὐτῶν θεὸς ἀλλότριος.

Ἀνεβίβασεν αὐτοὺς ἐπὶ τὴν ἰσχὺν τῆς γῆς, ἐψώμισεν αὐτοὺς γεννήματα ἀγρῶν.

Ἐθήλασε μέλι ἐκ πέτρας, καὶ ἔλαιον ἐκ στερεᾶς πέτρας.

Βούτυρον βοῶν, καὶ γάλα προβάτων, μετὰ στέατος ἀρνῶν καὶ κριῶν, υἱῶν ταύρων καὶ τράγων, μετὰ στέατος νεφρῶν πυροῦ, καὶ αἷμα σταφυλῆς ἔπινον οἶνον.

Καὶ ἔφαγεν Ἰακὼβ καὶ ἐνεπλήσθη. καὶ ἀπελάκτισεν ὁ ἠγαπημένος.

Ἐλιπάνθη, ἐπαχύνθη, ἐπλατύνθη, καὶ ἐγκατέλιπε θεὸν τὸν ποιήσαντα αὐτὸν, καὶ ἀπέστη ἀπὸ θεοῦ σωτῆρος αὐτοῦ.

Παρώξυνάν με ἐπ' ἀλλοτρίοις, καὶ ἐν βδελύγμασιν αὐτῶν ἐξεπίκρανάν με.

Ἔθυσαν δαιμονίοις, καὶ οὐ θεῷ, θεοῖς οἷς οὐκ ᾔδεισαν, καινοὶ καὶ πρόσφατοι ἥκασιν, οὓς οὐκ ᾔδεισαν οἱ πατέρες αὐτῶν.

Θεὸν τὸν γεννήσαντά σε ἐγκατέλιπες, καὶ ἐπελάθου θεοῦ τοῦ τρέφοντός σε.

Καὶ εἶδε κύριος καὶ ἐζήλωσε, καὶ παρωξύνθη δι' ὀργὴν υἱῶν αὐτῶν καὶ θυγατέρων.

Καὶ εἶπεν, ἀποστρέψω τὸ πρόσωπόν μου ἀπ' αὐτῶν, καὶ δείξω τί ἔσται αὐτοῖς ἐπ' ἐσχάτων.

Ὅτι γενεὰ ἐξεστραμμένη ἐστὶν, υἱοὶ οἷς οὐκ ἔστι πίστις ἐν αὐτοῖς.

Αὐτοὶ παρεζήλωσάν με ἐπ' οὐ θεῷ, παρώργισάν με ἐν τοῖς εἰδώλοις αὐτῶν.

Κἀγὼ παραζηλώσω αὐτοὺς ἐπ' οὐκ ἔθνει. ἐπὶ ἔθνει ἀσυνέτῳ παροργιῶ αὐτούς.

Ὅτι πῦρ ἐκκέκαυται ἐκ τοῦ θυμοῦ μου. καυθήσεται ἕως ᾅδου κατωτάτου.

Καταφάγεται γῆν καὶ τὰ γεννήματα αὐτῆς, φλέξει θεμέλια ὀρέων.

Συνάξω εἰς αὐτοὺς κακὰ, καὶ τὰ βέλη μου συντελέσω εἰς αὐτούς.

Τηκόμενοι λιμῷ καὶ βρώσει ὀρνέων, καὶ ὀπισθότονος ἀνίατος.

Ὀδόντας θηρίων ἐπαποστελῶ εἰς αὐτοὺς, μετὰ θυμοῦ συρόντων ἐπὶ τῆς γῆς.

Ἔξωθεν ἀτεκνώσει αὐτοὺς μάχαιρα, καὶ ἐκ τῶν ταμιείων φόβος.

Νεανίσκος σὺν παρθένῳ, θηλάζων μετὰ καθεστηκότος πρεσβύτου.

Εἶπον διασπερῶ αὐτούς. παύσω δὴ ἐξ ἀνθρώπων τὸ μνημόσυνον αὐτῶν.

Εἰ μὴ δι' ὀργὴν ἐχθρῶν, ἵνα μὴ μακροχρονήσωσι, καὶ ἵνα μὴ συνεπιθῶνται

διὰ πνεύματος τοῦ θυμοῦ σου διέστη τὸ ὕδωρ.

Ἐπάγη ὡσεὶ τεῖχος τὰ ὕδατα. ἐπάγη τὰ κύματα ἐν μέσῳ τῆς θαλάσσης.

Εἶπεν ὁ ἐχθρὸς, διώξας καταλήψομαι, μεριῶ σκῦλα, ἐμπλήσω ψυχήν μου, ἀνελῶ τῇ μαχαίρῃ μου, κυριεύσει ἡ χείρ μου.

Ἀπέστειλας τὸ πνεῦμά σου. ἐκάλυψεν αὐτοὺς θάλασσα, ἔδυσαν ὡσεὶ μόλυβδος ἐν ὕδατι σφοδρῷ.

Τίς ὅμοιός σοι ἐν θεοῖς κύριε, τίς ὅμοιός σοι; δεδοξασμένος ἐν ἁγίοις, θαυμαστὸς ἐνδόξαις, ποιῶν τέρατα.

Ἐξέτεινας τὴν δεξιάν σου. κατέπιεν αὐτοὺς γῆ. ὡδήγησας τῇ δικαιοσύνῃ σου τὸν λαόν σου τοῦτον ὃν ἐλυτρώσω.

Παρεκάλεσας τῇ ἰσχύϊ σου, εἰς κατάλυμα ἅγιόν σου. ἤκουσαν ἔθνη, καὶ ὠργίσθησαν. ὠδῖνες ἔλαβον κατοικοῦντας Φιλισιείμ.

Τότε ἔσπευσαν ἡγεμόνες Εδὼμ, καὶ ἄρχοντες Μωαβιτῶν. ἔλαβεν αὐτοὺς τρόμος. ἐτάκησαν πάντες οἱ κατοικοῦντες Χαναάν.

Ἐπιπέσοι ἐπ᾽ αὐτοὺς φόβος, καὶ τρόμος. μεγέθει βραχίονός σου ἀπολιθωθήτωσαν,

Ἕως ἂν παρέλθῃ ὁ λαός σου κύριε, ἕως ἂν παρέλθῃ ὁ λαός σου οὗτος ὃν ἐκτήσω.

Εἰσαγαγὼν καταφύτευσον αὐτοὺς εἰς ὄρος κληρονομίας σου, εἰς ἕτοιμον κατοικητήριόν σου, ὃ κατηρτίσω κύριε. ἁγίασμα κύριε, ὃ ἡτοίμασαν αἱ χεῖρές σου.

Κύριος βασιλεύων τὸν αἰῶνα, καὶ ἐπ᾽ αἰῶνα, καὶ ἔτι. ὅτι εἰσῆλθεν ἵππος Φαραὼ σὺν ἅρμασι καὶ ἀναβάταις εἰς θάλασσαν,

Καὶ ἐπήγαγεν ἐπ᾽ αὐτοὺς κύριος τὸ ὕδωρ τῆς θαλάσσης. οἱ δὲ υἱοὶ Ἰσραὴλ ἐπορεύθησαν διὰ ξηρᾶς ἐν μέσῳ τῆς θαλάσσης. Δόξα.

Νόμου γραφέντος αὖθις ᾠδὴ Μωϋσέως. Ὠιδὴ Μωϋσέως ἐν τῷ Δευτερονομίῳ. Ὠιδὴ. β΄.

Πρόσεχε οὐρανὲ καὶ λαλήσω, καὶ ἀκουέτω γῆ ῥήματα ἐκ στόματός μου.

Προσδοκάσθω ὡς ὑετὸς τὸ ἀπόφθεγμά μου, καὶ καταβήτω ὡς δρόσος τὰ ῥήματά μου.

Ὡς ὄμβρος ἐπ᾽ ἄγρωστιν καὶ ὡσεὶ νιφετὸς ἐπὶ χόρτον, ὅτι ὄνομα κυρίου ἐκάλεσα. δότε μεγαλωσύνην τῷ θεῷ ἡμῶν.

Θεὸς ἀληθινὰ τὰ ἔργα αὐτοῦ, καὶ πᾶσαι αἱ ὁδοὶ αὐτοῦ κρίσις.

Θεὸς πιστὸς, καὶ οὐκ ἔστιν ἀδικία ἐν αὐτῷ. δίκαιος καὶ ὅσιος ὁ κύριος.

Ἡμάρτοσαν οὐκ αὐτῷ τέκνα μωμητὰ, γενεὰ σκολιὰ καὶ διεστραμμένη ταῦτα κυρίῳ ἀνταποδίδοτε;

Οὕτως λαὸς μωρὸς, καὶ οὐχὶ σοφὸς. οὐκ αὐτὸς οὗτός σου πατὴρ. ἐκτήσατό σε, καὶ ἐποίησέ σε, καὶ ἔπλασέ σε.

Μνήσθητε ἡμέρας αἰῶνος. σύνετε δὲ ἔτη, γενεᾶς γενεῶν.

Ἐπερώτησον τὸν πατέρα σου, καὶ ἀναγγελεῖ σοι, τοὺς πρεσβυτέρους σου, καὶ ἐροῦσί σοι.

Ὅτε διεμέριζεν ὁ ὕψιστος ἔθνη, ὡς

διέ-

Ἀλληλούϊα. ρν.

Αἰνεῖτε τὸν θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ, αἰνεῖτε αὐτὸν ἐν στερεώματι δυνάμεως αὐτοῦ.

Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ, αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.

Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος, αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ.

Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ, αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ.

Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις, αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ.

Πᾶσα πνοὴ αἰνεσάτω τὸν κύριον.

Δόξα.

Οὗτος ὁ ψαλμὸς ἰδιόγραφος εἰς Δαβὶδ καὶ ἔξωθεν τοῦ ἀριθμοῦ τῶν ἑκατὸν πεντήκοντα ψαλμῶν, ὅτε ἐμονομάχησε τῷ Γολιάδ.

Μικρὸς ἤμην ἐν τοῖς ἀδελφοῖς μου, καὶ νεώτερος ἐν τῷ οἴκῳ τοῦ πατρός μου, ἐποίμαινον τὰ πρόβατα τοῦ πατρός μου.

Αἱ χεῖρές μου ἐποίησαν ὄργανον, καὶ οἱ δάκτυλοί μου ἥρμοσαν ψαλτήριον.

Καὶ τίς ἀναγγελεῖ τῷ κυρίῳ μου; αὐτὸς κύριος, αὐτὸς εἰσακούει.

Αὐτὸς ἐξαπέστειλε τὸν ἄγγελον αὐτοῦ, καὶ ἦρέ με ἐκ τῶν προβάτων τοῦ πατρός μου,

Καὶ ἔχρισέ με ἐν τῷ ἐλαίῳ τῆς χρίσεως αὐτοῦ.

Οἱ ἀδελφοί μου καλοὶ καὶ μεγάλοι, καὶ οὐκ εὐδόκησεν ἐν αὐτοῖς ὁ κύριος.

Ἐξῆλθον εἰς συνάντησιν τῷ ἀλλοφύλῳ, καὶ ἐπικατηράσατό με ἐν τοῖς εἰδώλοις αὐτοῦ.

Ἐγὼ δὲ σπασάμενος τὴν παρ' αὐτοῦ μάχαιραν, ἀπεκεφάλισα αὐτόν, καὶ ἦρα ὄνειδος ἐξ υἱῶν Ἰσραήλ.



ᾨδὴν βυθίσας Φαραὼ Μωσῆς λέγει.

ᾨδὴ Μωϋσέως ἐν τῇ ἐξόδῳ. α'.

Ἄσωμεν τῷ κυρίῳ, ἐνδόξως γὰρ δεδόξασται· ἵππον καὶ ἀναβάτην ἔρριψεν εἰς θάλασσαν.

Βοηθὸς καὶ σκεπαστὴς ἐγένετό μοι εἰς σωτηρίαν· οὗτός μου θεός, καὶ δοξάσω αὐτόν, θεὸς τοῦ πατρός μου, καὶ ὑψώσω αὐτόν.

Κύριος συντρίβων πολέμους, κύριος ὄνομα αὐτῷ.

Ἅρματα φαραὼ, καὶ τὴν δύναμιν αὐτοῦ ἔρριψεν εἰς θάλασσαν,

Ἐπιλέκτους ἀναβάτας τριστάτας κατεπόντισεν ἐν ἐρυθρᾷ θαλάσσῃ.

Πόντῳ ἐκάλυψεν αὐτούς, κατέδυσαν εἰς βυθὸν ὡσεὶ λίθος.

Ἡ δεξιά σου κύριε, δεδόξασται ἐν ἰσχύι. ἡ δεξιά σου χεὶρ κύριε ἔθραυσεν ἐχθρούς.

Καὶ τῷ πλήθει τῆς δόξης σου συνέτριψας τοὺς ὑπεναντίους.

Ἀπέστειλας τὴν ὀργήν σου, κατέφαγεν αὐτοὺς ὡσεὶ καλάμην. καὶ

Ἀποστελεῖ τὸν λόγον αὐτοῦ, καὶ τήξει αὐτά, πνεύσει τὸ πνεῦμα αὐτοῦ, καὶ ῥυήσεται ὕδατα.

Ἀπαγγέλλων τὸν λόγον αὐτοῦ τῷ Ἰακώβ, δικαιώματα καὶ κρίματα αὐτοῦ τῷ Ἰσραήλ.

Οὐκ ἐποίησεν οὕτως παντὶ ἔθνει, καὶ τὰ κρίματα αὐτοῦ οὐκ ἐδήλωσεν αὐτοῖς. Δόξα.

Ἀλληλούϊα Ἀγγαίου καὶ Ζαχαρίου. ρμη'.

Αἰνεῖτε τὸν κύριον ἐκ τῶν οὐρανῶν, αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις.

Αἰνεῖτε αὐτὸν πάντες οἱ ἄγγελοι αὐτοῦ, αἰνεῖτε αὐτὸν πᾶσαι αἱ δυνάμεις αὐτοῦ.

Αἰνεῖτε αὐτὸν ἥλιος καὶ σελήνη, αἰνεῖτε αὐτὸν πάντα τὰ ἄστρα καὶ τὸ φῶς.

Αἰνεῖτε αὐτὸν οἱ οὐρανοὶ τῶν οὐρανῶν, καὶ τὸ ὕδωρ τὸ ὑπεράνω τῶν οὐρανῶν αἰνεσάτωσαν τὸ ὄνομα κυρίου.

Ὅτι αὐτὸς εἶπε καὶ ἐγενήθησαν, αὐτὸς ἐνετείλατο καὶ ἐκτίσθησαν.

Ἔστησεν αὐτὰ εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, πρόσταγμα ἔθετο, καὶ οὐ παρελεύσεται.

Αἰνεῖτε τὸν κύριον ἐκ τῆς γῆς, δράκοντες καὶ πᾶσαι ἄβυσσοι.

Πῦρ, χάλαζα, χιών, κρύσταλλος, πνεῦμα καταιγίδος, τὰ ποιοῦντα τὸν λόγον αὐτοῦ.

Τὰ ὄρη καὶ πάντες βουνοί, ξύλα καρποφόρα καὶ πᾶσαι κέδροι.

Τὰ θηρία καὶ πάντα τὰ κτήνη, ἑρπετὰ καὶ πετεινὰ πτερωτά.

Βασιλεῖς τῆς γῆς καὶ πάντες λαοὶ, ἄρχοντες καὶ πάντες κριταὶ γῆς.

Νεανίσκοι καὶ παρθένοι, πρεσβύτεροι μετὰ νεωτέρων αἰνεσάτωσαν τὸ ὄνομα κυρίου, ὅτι ὑψώθη τὸ ὄνομα αὐτοῦ μόνου.

Ἡ ἐξομολόγησις αὐτοῦ ἐπὶ γῆς καὶ οὐρανοῦ, καὶ ὑψώσει κέρας λαοῦ αὐτοῦ.

Ὕμνος πᾶσι τοῖς ὁσίοις αὐτοῦ, τοῖς υἱοῖς Ἰσραήλ, λαῷ ἐγγίζοντι αὐτῷ.

Ἀλληλούϊα. ρμθ'.

Ἄσατε τῷ κυρίῳ ᾆσμα καινόν, ἡ αἴνεσις αὐτοῦ ἐν ἐκκλησίᾳ ὁσίων.

Εὐφρανθήτω Ἰσραὴλ ἐπὶ τῷ ποιήσαντι αὐτόν, καὶ υἱοὶ Σιὼν ἀγαλλιάσθωσαν ἐπὶ τῷ βασιλεῖ αὐτῶν.

Αἰνεσάτωσαν τὸ ὄνομα αὐτοῦ ἐν χορῷ, ἐν τυμπάνῳ καὶ ψαλτηρίῳ ψαλάτωσαν αὐτῷ.

Ὅτι εὐδοκεῖ κύριος ἐν τῷ λαῷ αὐτοῦ, καὶ ὑψώσει πραεῖς ἐν σωτηρίᾳ.

Καυχήσονται ὅσιοι ἐν δόξῃ, καὶ ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν.

Αἱ ὑψώσεις τοῦ θεοῦ ἐν τῷ λάρυγγι αὐτῶν, καὶ ῥομφαῖαι δίστομοι ἐν ταῖς χερσὶν αὐτῶν.

Τοῦ ποιῆσαι ἐκδίκησιν ἐν τοῖς ἔθνεσιν, ἐλεγμοὺς ἐν τοῖς λαοῖς.

Τοῦ δῆσαι τοὺς βασιλεῖς αὐτῶν ἐν πέδαις, καὶ τοὺς ἐνδόξους αὐτῶν ἐν χειροπέδαις σιδηραῖς.

Τοῦ ποιῆσαι ἐν αὐτοῖς κρίμα ἔγγραπτον, δόξα αὕτη ἐστὶ πᾶσι τοῖς ὁσίοις αὐτοῦ.

Ἀλλη-

υἱοὺς ἀνθρώπων οἷς οὐκ ἔστι σωτηρία.
Ἐξελεύσεται τὸ πνεῦμα αὐτοῦ, καὶ ἐπιστρέψει εἰς τὴν γῆν αὐτοῦ.
Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἀπολοῦνται πάντες οἱ διαλογισμοὶ αὐτῶν.
Μακάριος οὗ ὁ θεὸς Ἰακὼβ βοηθὸς αὐτοῦ, ἡ ἐλπὶς αὐτοῦ ἐπὶ κύριον τὸν θεὸν αὐτοῦ.
Τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν, τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς.
Τὸν φυλάσσοντα ἀλήθειαν εἰς τὸν αἰῶνα, ποιοῦντα κρῖμα τοῖς ἀδικουμένοις, διδόντα τροφὴν τοῖς πεινῶσι.
Κύριος λύει πεπεδημένους, κύριος σοφοῖ τυφλούς, κύριος ἀνορθοῖ κατεῤῥαγμένους, κύριος ἀγαπᾷ δικαίους, κύριος φυλάσσει τοὺς προσηλύτους.
Ὀρφανὸν καὶ χήραν ἀναλήψεται, καὶ ὁδὸν ἁμαρτωλῶν ἀφανιεῖ.
Βασιλεύσει κύριος εἰς τὸν αἰῶνα, ὁ θεός σου Σιὼν εἰς γενεὰν καὶ γενεάν.

Ἀλληλούϊα. Ἀγγαίου καὶ Ζαχαρίου. ρμϛ΄.

Αἰνεῖτε τὸν κύριον ὅτι ἀγαθὸν ψαλμός, τῷ θεῷ ἡμῶν ἡδυνθείη αἴνεσις. οἰκοδομῶν Ἱερουσαλὴμ ὁ κύριος, καὶ τὰς διασπορὰς τοῦ Ἰσραὴλ ἐπισυνάξει.
Ὁ ἰώμενος τοὺς συντετριμμένους τὴν καρδίαν, καὶ δεσμεύων τὰ συντρίμματα αὐτῶν.
Ὁ ἀριθμῶν πλήθη ἄστρων, καὶ πᾶσιν αὐτοῖς ὀνόματα καλῶν.
Μέγας ὁ κύριος ἡμῶν, καὶ μεγάλη ἡ ἰσχὺς αὐτοῦ, καὶ τῆς συνέσεως αὐτοῦ οὐκ ἔστιν ἀριθμός.
Ἀναλαμβάνων πραεῖς ὁ κύριος, ταπεινῶν δὲ ἁμαρτωλοὺς ἕως τῆς γῆς.
Ἐξάρξατε τῷ κυρίῳ ἐν ἐξομολογήσει, ψάλατε τῷ θεῷ ἡμῶν ἐν κιθάρᾳ.
Τῷ περιβάλλοντι τὸν οὐρανὸν ἐν νεφέλαις, τῷ ἑτοιμάζοντι τῇ γῇ ὑετόν.
Τῷ ἐξανατέλλοντι ἐν ὄρεσι χόρτον, καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων.
Καὶ διδόντι τοῖς κτήνεσι τροφὴν αὐτῶν, καὶ τοῖς νεοσσοῖς τῶν κοράκων τοῖς ἐπικαλουμένοις αὐτόν.
Οὐκ ἐν τῇ δυναστείᾳ τοῦ ἵππου θελήσει, οὐδὲ ἐν ταῖς κνήμαις τοῦ ἀνδρὸς εὐδοκεῖ.
Εὐδοκεῖ κύριος ἐν τοῖς φοβουμένοις αὐτόν, καὶ ἐν τοῖς ἐλπίζουσιν ἐπὶ τὸ ἔλεος αὐτοῦ.

Ἀλληλούϊα Ἀγγαίου καὶ Ζαχαρίου. ρμζ΄.

Ἐπαίνει Ἱερουσαλὴμ τὸν κύριον, αἴνει τὸν θεόν σου Σιών.
Ὅτι ἐνίσχυσε τοὺς μοχλοὺς τῶν πυλῶν σου, εὐλόγησε τοὺς υἱούς σου ἐν σοί.
Ὁ τιθεὶς τὰ ὅριά σου εἰρήνην, καὶ στέαρ πυροῦ ἐμπιπλῶν σε.
Ὁ ἀποστέλλων τὸ λόγιον αὐτοῦ τῇ γῇ, ἕως τάχους δραμεῖται ὁ λόγος αὐτοῦ.
Τοῦ διδόντος χιόνα ὡσεὶ ἔριον, ὁμίχλην ὡσεὶ σποδὸν πάσσοντος.
Βάλλοντος κρύσταλλον αὐτοῦ ὡσεὶ ψωμούς, κατὰ πρόσωπον ψύχους αὐτοῦ τίς ὑποστήσεται;

Αἰ-

μακάριος ὁ λαὸς οὗ κύριος ὁ θεὸς αὐτοῦ.

Αἴνεσις τοῦ Δαβίδ. ρμδʹ.

Ὑψώσω σε ὁ θεός μου ὁ βασιλεύς μου, καὶ εὐλογήσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Καθ᾽ ἑκάστην ἡμέραν εὐλογήσω σε, καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Μέγας κύριος καὶ αἰνετὸς σφόδρα, καὶ τῆς μεγαλοσύνης αὐτοῦ οὐκ ἔστι πέρας.

Γενεὰ καὶ γενεὰ ἐπαινέσει τὰ ἔργα σου, καὶ τὴν δύναμίν σου ἀπαγγελοῦσι.

Καὶ τὴν μεγαλοπρέπειαν τῆς δόξης τῆς ἁγιωσύνης σου λαλήσουσι, καὶ τὰ θαυμάσιά σου διηγήσονται.

Καὶ τὴν δύναμιν τῶν φοβερῶν σου ἐροῦσι, καὶ τὴν μεγαλωσύνην σου διηγήσονται.

Μνήμην τοῦ πλήθους τῆς χρηστότητός σου ἐξερεύξονται, καὶ τῇ δικαιοσύνῃ σου ἀγαλλιάσονται.

Οἰκτίρμων καὶ ἐλεήμων ὁ κύριος, μακρόθυμος καὶ πολυέλεος.

Χρηστὸς κύριος τοῖς ὑπομένουσι, καὶ οἱ οἰκτιρμοὶ αὐτοῦ ἐπὶ πάντα τὰ ἔργα αὐτοῦ.

Ἐξομολογησάσθωσάν σοι κύριε πάντα τὰ ἔργα σου, καὶ οἱ ὅσιοί σου εὐλογησάτωσάν σε.

Δόξαν τῆς βασιλείας σου ἐροῦσι, καὶ τὴν δυναστείαν σου λαλήσουσι.

Τοῦ γνωρίσαι τοῖς υἱοῖς τῶν ἀνθρώπων τὴν δυναστείαν σου, καὶ τὴν δόξαν τῆς μεγαλοπρεπείας τῆς βασιλείας σου.

Ἡ βασιλεία σου βασιλεία πάντων τῶν αἰώνων, καὶ ἡ δεσποτεία σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ.

Πιστὸς κύριος ἐν πᾶσι τοῖς λόγοις αὐτοῦ, καὶ ὅσιος ἐν πᾶσι τοῖς ἔργοις αὐτοῦ.

Ὑποστηρίζει κύριος πάντας τοὺς καταπίπτοντας, καὶ ἀνορθοῖ πάντας τοὺς κατερραγμένους.

Οἱ ὀφθαλμοὶ πάντων εἰς σὲ ἐλπίζουσι, καὶ σὺ δίδως τὴν τροφὴν αὐτῶν ἐν εὐκαιρίᾳ.

Ἀνοίγεις σὺ τὰς χεῖράς σου, καὶ ἐμπιπλᾷς πᾶν ζῶον εὐδοκίας.

Δίκαιος κύριος ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ, καὶ ὅσιος ἐν πᾶσι τοῖς ἔργοις αὐτοῦ.

Ἐγγὺς κύριος πᾶσι τοῖς ἐπικαλουμένοις αὐτὸν, πᾶσι τοῖς ἐπικαλουμένοις αὐτὸν ἐν ἀληθείᾳ.

Θέλημα τῶν φοβουμένων αὐτὸν ποιήσει, καὶ τῆς δεήσεως αὐτῶν ἐπακούσεται, καὶ σώσει αὐτούς.

Φυλάσσει κύριος πάντας τοὺς ἀγαπῶντας αὐτὸν, καὶ πάντας τοὺς ἁμαρτωλοὺς ἐξολοθρεύσει.

Αἴνεσιν κυρίου λαλήσει τὸ στόμα μου, καὶ εὐλογείτω πᾶσα σὰρξ τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ, εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Δόξα.

Ἀλληλούϊα Ἀγγαίου καὶ Ζαχαρίου. ρμεʹ.

Αἴνει ἡ ψυχή μου τὸν κύριον. αἰνέσω κύριον ἐν ζωῇ μου, ψαλῶ τῷ θεῷ μου ἕως ὑπάρχω.

Μὴ πεποίθατε ἐπ᾽ ἄρχοντας καὶ ἐφ᾽ υἱοὺς

Γνώρισόν μοι κύριε ὁδὸν, ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου.

Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου κύριε, ὅτι πρὸς σὲ κατέφυγον, δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου,

ὅτι σὺ εἶ ὁ θεός μου, τὸ πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ.

Ἕνεκεν τοῦ ὀνόματός σου κύριε ζήσεις με.

Ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου.

Καὶ ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου,

καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγὼ δοῦλός σου εἰμί. Δόξα.



ΚΑΘΙΣΜΑ ιθ΄.

Ψαλμὸς τῷ Δαβὶδ πρὸς τὸν Γολιάθ. ρμγ΄.

Εὐλογητὸς κύριος ὁ θεός μου, ὁ διδάσκων τὰς χεῖράς μου εἰς παράταξιν, τοὺς δακτύλους μου εἰς πόλεμον.

Ἔλεός μου καὶ καταφυγή μου, ἀντιλήπτωρ μου καὶ ῥύστης μου, ὑπερασπιστής μου καὶ ἐπ' αὐτῷ ἤλπισα,

ὁ ὑποτάσσων τὸν λαόν μου ὑπ' ἐμέ.

Κύριε τί ἐστιν ἄνθρωπος ὅτι ἐγνώσθης αὐτῷ, ἢ υἱὸς ἀνθρώπου ὅτι λογίζῃ αὐτῷ;

Ἄνθρωπος ματαιότητι ὡμοιώθη, αἱ ἡμέραι αὐτοῦ ὡσεὶ σκιὰ παράγουσι.

Κύριε κλῖνον οὐρανούς σου, καὶ κατάβηθι, ἅψαι τῶν ὀρέων καὶ καπνισθήσονται.

Ἄστραψον ἀστραπὴν καὶ σκορπιεῖς αὐτούς, ἐξαπόστειλον τὰ βέλη σου καὶ συνταράξεις αὐτούς.

Ἐξαπόστειλον τὴν χεῖρά μου ἐξ ὕψους, ἐξελοῦ με καὶ ῥῦσαί με ἐξ ὑδάτων πολλῶν, ἐκ χειρὸς υἱῶν ἀλλοτρίων.

Ὧν τὸ στόμα ἐλάλησε ματαιότητα, καὶ ἡ δεξιὰ αὐτῶν δεξιὰ ἀδικίας.

Ὁ θεὸς ᾠδὴν καινὴν ᾄσομαί σοι, ἐν ψαλτηρίῳ δεκαχόρδῳ ψαλῶ σοι.

Τῷ διδόντι τὴν σωτηρίαν τοῖς βασιλεῦσι, τῷ λυτρουμένῳ Δαβὶδ τὸν δοῦλον αὐτοῦ ἐκ ῥομφαίας πονηρᾶς.

Ῥῦσαί με καὶ ἐξελοῦ με ἐκ χειρὸς υἱῶν ἀλλοτρίων,

ὧν τὸ στόμα ἐλάλησε ματαιότητα, καὶ ἡ δεξιὰ αὐτῶν δεξιὰ ἀδικίας.

Ὧν οἱ υἱοὶ ὡς νεόφυτα ἱδρυμένα ἐν τῇ νεότητι αὐτῶν.

Αἱ θυγατέρες αὐτῶν κεκαλλωπισμέναι, περικεκοσμημέναι ὡς ὁμοίωμα ναοῦ.

Τὰ ταμεῖα αὐτῶν πλήρη, ἐξερευγόμενα ἐκ τούτου εἰς τοῦτο.

Τὰ πρόβατα αὐτῶν πολύτοκα, πληθύνοντα ἐν ταῖς ἐξόδοις αὐτῶν,

οἱ βόες αὐτῶν παχεῖς.

Οὐκ ἔστι κατάπτωμα φραγμοῦ, οὐδὲ διέξοδος, οὐδὲ κραυγὴ ἐν ταῖς πλατείαις αὐτῶν.

Ἐμακάρισαν τὸν λαὸν ᾧ ταῦτά ἐστι,

μακά-

Ὅτι ἔτι καὶ ἡ προσευχή μου ἐν ταῖς εὐδοκίαις αὐτῶν, κατεπόθησαν ἐχόμενα πέτρας οἱ κριταὶ αὐτῶν.

Ἀκούσονται τὰ ῥήματά μου, ὅτι ἠδύνθησαν, ὡσεὶ πάχος γῆς ἐρράγη ἐπὶ τῆς γῆς, διεσκορπίσθη τὰ ὀστᾶ ὑμῶν παρὰ τὸν ᾅδην.

Ὅτι πρὸς σὲ κύριε κύριε οἱ ὀφθαλμοί μου, ἐπὶ σοὶ ἤλπισα, μὴ ἀντανέλῃς τὴν ψυχήν μου.

Φύλαξόν με ἀπὸ παγίδος ἧς συνεστήσαντό μοι, καὶ ἀπὸ σκανδάλων τῶν ἐργαζομένων τὴν ἀνομίαν.

Πεσοῦνται ἐν ἀμφιβλήστρῳ αὐτοῦ ἁμαρτωλοί, κατὰ μόνας εἰμὶ ἐγὼ ἕως ἂν παρέλθω.

Συνέσεως τῷ Δαβὶδ ἐν τῷ εἶναι αὐτὸν ἐν τῷ σπηλαίῳ προσευχή. ρμα´.

Φωνῇ μου πρὸς κύριον ἐκέκραξα, φωνῇ μου πρὸς κύριον ἐδεήθην.

Ἐκχεῶ ἐνώπιον αὐτοῦ τὴν δέησίν μου, τὴν θλῖψίν μου ἐνώπιον αὐτοῦ ἀπαγγελῶ.

Ἐν τῷ ἐκλείπειν ἐξ ἐμοῦ τὸ πνεῦμά μου, καὶ σὺ ἔγνως τὰς τρίβους μου.

Ἐν ὁδῷ ταύτῃ ᾗ ἐπορευόμην, ἔκρυψαν παγίδα μοι.

Κατενόουν εἰς τὰ δεξιὰ καὶ ἐπέβλεπον, ὅτι οὐκ ἦν ὁ ἐπιγινώσκων με.

Ἀπώλετο φυγὴ ἀπ' ἐμοῦ, καὶ οὐκ ἔστιν ὁ ἐκζητῶν τὴν ψυχήν μου.

Ἐκέκραξα πρὸς σὲ κύριε, καὶ εἶπα, σὺ εἶ ἡ ἐλπίς μου, μερίς μου ἐν γῇ ζώντων.

Πρόσχες πρὸς τὴν δέησίν μου, ὅτι ἐταπεινώθην σφόδρα.

Ῥῦσαί με ἐκ τῶν καταδιωκόντων με, ὅτι ἐκραταιώθησαν ὑπὲρ ἐμέ.

Ἐξάγαγε ἐκ φυλακῆς τὴν ψυχήν μου, τοῦ ἐξομολογήσασθαι τῷ ὀνόματί σου. κύριε,

Ἐμὲ ὑπομενοῦσι δίκαιοι ἕως οὗ ἀνταποδῷς μοι.

Ψαλμὸς τῷ Δαβὶδ ὅτε αὐτὸν ὁ υἱὸς κατεδίωκε. ρμβ´.

Κύριε εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου,

Εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου, καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου,

Ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν.

Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου, ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου.

Ἐκάθισέ με ἐν σκοτεινοῖς ὡς νεκροὺς αἰῶνος, καὶ ἠκηδίασεν ἐπ' ἐμὲ τὸ πνεῦμά μου.

Ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου, ἐμνήσθην ἡμερῶν ἀρχαίων.

Ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων.

Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου, ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι.

Ταχὺ εἰσάκουσόν μου κύριε, ἐξέλιπε τὸ πνεῦμά μου.

Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον.

Ἀκουστὸν ποίησόν μοι τὸ πρωῒ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα.

ἐχθροὺς ἐγένοντό μοι.
Δοκίμασόν με ὁ θεὸς, καὶ γνῶθι τὴν καρδίαν μου.
Ἐτασόν με, καὶ γνῶθι τὰς τρίβους μου.
Καὶ ἴδε εἰ ὁδὸς ἀνομίας ἐν ἐμοὶ, καὶ ὁδήγησόν με ἐν ὁδῷ αἰωνίᾳ.

Εἰς τὸ τέλος ψαλμὸς τοῦ Δαβίδ. ρλθ'.

Ἐξελοῦ με κύριε ἐξ ἀνθρώπου πονηροῦ, ἀπὸ ἀνδρὸς ἀδίκου ῥῦσαί με.
Οἵτινες ἐλογίσαντο ἀδικίας ἐν καρδίᾳ, ὅλην τὴν ἡμέραν παρετάσσοντο πολέμους.
Ἠκόνησαν γλῶσσαν αὐτῶν ὡσεὶ ὄφεως, ἰὸς ἀσπίδων ὑπὸ τὰ χείλη αὐτῶν.
Φύλαξόν με κύριε ἐκ χειρὸς ἁμαρτωλοῦ, ἀπὸ ἀνθρώπων ἀδίκων ἐξελοῦ με.
Οἵτινες ἐλογίσαντο τοῦ ὑποσκελίσαι τὰ διαβήματά μου, ἔκρυψαν ὑπερήφανοι παγίδα μοι.
Καὶ σχοινία διέτειναν παγίδας τοῖς ποσί μου, ἐχόμενα τρίβου σκάνδαλον ἔθεντό μοι.
Εἶπα τῷ κυρίῳ, θεός μου εἶ σὺ, ἐνώτισαι κύριε τὴν φωνὴν τῆς δεήσεώς μου.
Κύριε κύριε δύναμις τῆς σωτηρίας μου, ἐπεσκίασας ἐπὶ τὴν κεφαλήν μου ἐν ἡμέρᾳ πολέμου.
Μὴ παραδῷς με κύριε ἀπὸ τῆς ἐπιθυμίας μου ἁμαρτωλῷ.
Διελογίσαντο κατ' ἐμοῦ, μὴ ἐγκαταλίπῃς με, μήποτε ὑψωθῶσιν.
Ἡ κεφαλὴ τοῦ κυκλώματος αὐτῶν, κόπος τῶν χειλέων αὐτῶν καλύψει αὐτούς.
Πεσοῦνται ἐπ' αὐτοὺς ἄνθρακες πυρὸς ἐπὶ τῆς γῆς, καὶ καταβαλεῖς αὐτοὺς ἐν ταλαιπωρίαις, οὐ μὴ ὑποστῶσιν.
Ἀνὴρ γλωσσώδης οὐ κατευθυνθήσεται ἐπὶ τῆς γῆς.
Ἄνδρα ἄδικον κακὰ θηρεύσει εἰς καταφθοράν.
Ἔγνων ὅτι ποιήσει κύριος τὴν κρίσιν τοῦ πτωχοῦ, καὶ τὴν δίκην τῶν πενήτων.
Πλὴν δίκαιοι ἐξομολογήσονται τῷ ὀνόματί σου, κατοικήσουσιν εὐθεῖς σὺν τῷ προσώπῳ σου. Δόξα.

Ψαλμὸς τοῦ Δαβίδ. ρμ'.

Κύριε ἐκέκραξα πρὸς σὲ, εἰσάκουσόν μου, πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου, ἐν τῷ κεκραγέναι με πρὸς σέ.
Κατευθυνθήτω ἡ προσευχή μου ὡς θυμίαμα ἐνώπιόν σου.
Ἔπαρσις τῶν χειρῶν μου θυσία ἑσπερινή.
Θοῦ κύριε φυλακὴν τῷ στόματί μου, καὶ θύραν περιοχῆς περὶ τὰ χείλη μου.
Μὴ ἐκκλίνῃς τὴν καρδίαν μου εἰς λόγους πονηρίας, τοῦ προφασίζεσθαι προφάσεις ἐν ἁμαρτίαις.
Σὺν ἀνθρώποις ἐργαζομένοις τὴν ἀνομίαν, καὶ οὐ μὴ συνδυάσω μετὰ τῶν ἐκλεκτῶν αὐτῶν.
Παιδεύσει με δίκαιος ἐν ἐλέει καὶ ἐλέγξει με, ἔλαιον δὲ ἁμαρτωλοῦ μὴ λιπανάτω τὴν κεφαλήν μου.

κρόθεν γινώσκει·

Ἐὰν πορευθῶ ἐν μέσῳ θλίψεως, ζήσεις με.

Ἐπ' ὀργὴν ἐχθρῶν μου ἐξέτεινας χεῖράς σου, καὶ ἔσωσέ με ἡ δεξιά σου.

Κύριε ἀνταποδώσεις ὑπὲρ ἐμοῦ.

Κύριε τὸ ἔλεός σου εἰς τὸν αἰῶνα, τὰ ἔργα τῶν χειρῶν σου μὴ παρίδῃς.

Εἰς τὸ τέλος ψαλμὸς τῷ Δαβίδ. ρλη΄.

Κύριε ἐδοκίμασάς με, καὶ ἔγνως με.

Σὺ ἔγνως τὴν καθέδραν μου, καὶ τὴν ἔγερσίν μου.

Σὺ συνῆκας τοὺς διαλογισμούς μου ἀπὸ μακρόθεν,

Τὴν τρίβον μου καὶ τὴν σχοῖνόν μου ἐξιχνίασας.

Καὶ πάσας τὰς ὁδούς μου προεῖδες, ὅτι οὐκ ἔστι λόγος ἄδικος ἐν γλώσσῃ μου.

Ἰδοὺ κύριε σὺ ἔγνως πάντα τὰ ἔσχατα καὶ τὰ ἀρχαῖα.

Σὺ ἔπλασάς με καὶ ἔθηκας ἐπ' ἐμὲ τὴν χεῖρά σου.

Ἐθαυμαστώθη ἡ γνῶσίς σου ἐξ ἐμοῦ, ἐκραταιώθη, οὐ μὴ δύνωμαι πρὸς αὐτήν.

Ποῦ πορευθῶ ἀπὸ τοῦ πνεύματός σου, καὶ ἀπὸ τοῦ προσώπου σου ποῦ φύγω;

Ἐὰν ἀναβῶ εἰς τὸν οὐρανόν, σὺ ἐκεῖ εἶ, ἐὰν καταβῶ εἰς τὸν ᾅδην, πάρει.

Ἐὰν ἀναλάβω τὰς πτέρυγάς μου κατ' ὄρθρον, καὶ κατασκηνώσω εἰς τὰ ἔσχατα τῆς θαλάσσης,

Καὶ γὰρ ἐκεῖ ἡ χείρ σου ὁδηγήσει με, καὶ καθέξει με ἡ δεξιά σου.

Καὶ εἶπα, ἄρα σκότος καταπατήσει με, καὶ νὺξ φωτισμὸς ἐν τῇ τρυφῇ μου.

Ὅτι σκότος οὐ σκοτισθήσεται ἀπὸ σοῦ, καὶ νὺξ ὡς ἡμέρα φωτισθήσεται.

Ὡς τὸ σκότος αὐτῆς, οὕτως καὶ τὸ φῶς αὐτῆς.

Ὅτι σὺ ἐκτήσω τοὺς νεφρούς μου κύριε, ἀντελάβου μου ἐκ γαστρὸς μητρός μου.

Ἐξομολογήσομαί σοι ὅτι φοβερῶς ἐθαυμαστώθης.

Θαυμάσια τὰ ἔργα σου, καὶ ἡ ψυχή μου γινώσκει σφόδρα.

Οὐκ ἐκρύβη τὸ ὀστοῦν μου ἀπὸ σοῦ ὃ ἐποίησας ἐν κρυφῇ, καὶ ἡ ὑπόστασίς μου ἐν τοῖς κατωτάτω τῆς γῆς.

Τὸ ἀκατέργαστόν μου εἶδον οἱ ὀφθαλμοί σου, καὶ ἐπὶ τὸ βιβλίον σου πάντες γραφήσονται.

Ἡμέρας πλασθήσονται καὶ οὐδεὶς ἐν αὐτοῖς.

Ἐμοὶ δὲ λίαν ἐτιμήθησαν οἱ φίλοι σου ὁ θεός, λίαν ἐκραταιώθησαν αἱ ἀρχαὶ αὐτῶν.

Ἐξαριθμήσομαι αὐτοὺς καὶ ὑπὲρ ἄμμον πληθυνθήσονται.

Ἐξηγέρθην, καὶ ἔτι εἰμὶ μετὰ σοῦ. Ἐὰν ἀποκτείνῃς ἁμαρτωλοὺς ὁ θεός.

Ἄνδρες αἱμάτων ἐκκλίνατε ἀπ' ἐμοῦ, ὅτι ἐρεῖς εἰς διαλογισμόν.

Λήψονται εἰς ματαιότητα τὰς πόλεις σου.

Οὐχὶ τοὺς μισοῦντάς σε κύριε ἐμίσησα, καὶ ἐπὶ τοὺς ἐχθρούς σου ἐξετηκόμην;

Τέλειον μῖσος ἐμίσουν αὐτούς, εἰς

ταιοις, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

Τὸν Σηὼν βασιλέα τῶν Ἀμορραίων, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

Καὶ τὸν Ὠγ βασιλέα τῆς Βασάν, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

Καὶ δόντι τὴν γῆν αὐτῶν κληρονομίαν, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

Κληρονομίαν Ἰσραὴλ δούλῳ αὐτοῦ, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

Ὅτι ἐν τῇ ταπεινώσει ἡμῶν ἐμνήσθη ἡμῶν ὁ κύριος, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

Καὶ ἐλυτρώσατο ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

Ὁ διδοὺς τροφὴν πάσῃ σαρκὶ, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

Ἐξομολογεῖσθε τῷ θεῷ τοῦ οὐρανοῦ, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

Τῷ Δαβὶδ διὰ Ἱερεμίου. ρλς'.

Ἐπὶ τῶν ποταμῶν Βαβυλῶνος ἐκεῖ ἐκαθίσαμεν, καὶ ἐκλαύσαμεν ἐν τῷ μνησθῆναι ἡμᾶς τῆς Σιών.

Ἐπὶ ταῖς ἰτέαις ἐν μέσῳ αὐτῆς ἐκρεμάσαμεν τὰ ὄργανα ἡμῶν.

Ὅτι ἐκεῖ ἐπηρώτησαν ἡμᾶς οἱ αἰχμαλωτεύσαντες ἡμᾶς λόγους ᾠδῶν, καὶ οἱ ἀπαγαγόντες ἡμᾶς ὕμνον.

Ἄσατε ἡμῖν ἐκ τῶν ᾠδῶν Σιὼν πῶς ᾄσωμεν τὴν ᾠδὴν κυρίου ἐπὶ γῆς ἀλλοτρίας;

Ἐὰν ἐπιλάθωμαί σου Ἱερουσαλὴμ, ἐπιλησθείη ἡ δεξιά μου.

Κολληθείη ἡ γλῶσσά μου τῷ λάρυγγί μου, ἐὰν μή σου μνησθῶ.

Ἐὰν μὴ προανατάξωμαι τὴν Ἱερουσαλὴμ ὡς ἐν ἀρχῇ τῆς εὐφροσύνης μου.

Μνήσθητι κύριε τῶν υἱῶν Ἐδὼμ, τὴν ἡμέραν Ἱερουσαλήμ.

Τῶν λεγόντων, ἐκκενοῦτε ἐκκενοῦτε, ἕως τῶν θεμελίων αὐτῆς.

Θυγάτηρ Βαβυλῶνος ἡ ταλαίπωρος,

Μακάριος ὃς ἀνταποδώσει σοι τὸ ἀνταπόδωμά σου, ὃ ἀνταπέδωκας ἡμῖν.

Μακάριος ὃς κρατήσει καὶ ἐδαφιεῖ τὰ νήπιά σου πρὸς τὴν πέτραν.

Δόξα.

Ψαλμὸς τῷ Δαβὶδ Ἀγγαίου καὶ Ζαχαρίου. ρλζ'.

Ἐξομολογήσομαί σοι κύριε ἐν ὅλῃ καρδίᾳ μου, καὶ ἐναντίον ἀγγέλων ψαλῶ σοι,

Ὅτι ἤκουσας πάντα τὰ ῥήματα τοῦ στόματός μου.

Προσκυνήσω πρὸς ναὸν ἅγιόν σου, καὶ ἐξομολογήσομαι τῷ ὀνόματί σου, ἐπὶ τῷ ἐλέει σου καὶ τῇ ἀληθείᾳ σου.

Ὅτι ἐμεγάλυνας ἐπὶ πᾶν τὸ ὄνομα τὸ ἅγιόν σου. ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλέσωμαί σε, ταχὺ ἐπάκουσόν μου.

Πολυωρήσεις με ἐν ψυχῇ μου δυνάμει σου.

Ἐξομολογησάσθωσάν σοι κύριε, πάντες οἱ βασιλεῖς τῆς γῆς, ὅτι ἤκουσαν πάντα τὰ ῥήματα τοῦ στόματός σου.

Καὶ ᾀσάτωσαν ἐν ταῖς ὁδοῖς κυρίου, ὅτι μεγάλη ἡ δόξα κυρίου.

Ὅτι ὑψηλὸς κύριος, καὶ τὰ ταπεινὰ ἐφορᾷ, καὶ τὰ ὑψηλὰ ἀπὸ μακρό-

πάσας τὰς βασιλείας Χαναάν.
Καὶ ἔδωκε τὴν γῆν αὐτῶν κληρονομίαν, κληρονομίαν Ἰσραὴλ λαῷ αὐτοῦ.
Κύριε τὸ ὄνομά σου εἰς τὸν αἰῶνα, καὶ τὸ μνημόσυνόν σου εἰς γενεὰν καὶ γενεάν.
Ὅτι κρινεῖ κύριος τὸν λαὸν αὐτοῦ, καὶ ἐπὶ τοῖς δούλοις αὐτοῦ παρακληθήσεται.
Τὰ εἴδωλα τῶν ἐθνῶν ἀργύριον καὶ χρυσίον, ἔργα χειρῶν ἀνθρώπων.
Στόμα ἔχουσι καὶ οὐ λαλήσουσιν, ὀφθαλμοὺς ἔχουσι καὶ οὐκ ὄψονται.
Ὦτα ἔχουσι καὶ οὐκ ἐνωτισθήσονται, οὐδὲ γάρ ἐστι πνεῦμα ἐν τῷ στόματι αὐτῶν.
Ὅμοιοι αὐτοῖς γένοιντο οἱ ποιοῦντες αὐτά, καὶ πάντες οἱ πεποιθότες ἐπ' αὐτοῖς.
Οἶκος Ἰσραὴλ εὐλογήσατε τὸν κύριον,
Οἶκος Ἀαρὼν εὐλογήσατε τὸν κύριον.
Οἶκος Λευὶ εὐλογήσατε τὸν κύριον,
Οἱ φοβούμενοι τὸν κύριον εὐλογήσατε τὸν κύριον.
Εὐλογητὸς κύριος ἐν Σιών, ὁ κατοικῶν Ἱερουσαλήμ.

Ἀλληλούϊα. ρλε'.

Ἐξομολογεῖσθε τῷ κυρίῳ ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
Ἐξομολογεῖσθε τῷ θεῷ τῶν θεῶν, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
Ἐξομολογεῖσθε τῷ κυρίῳ τῶν κυρίων, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
Τῷ ποιήσαντι θαυμάσια μεγάλα μόνῳ, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
Τῷ ποιήσαντι τοὺς οὐρανοὺς ἐν συνέσει, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
Τῷ στερεώσαντι τὴν γῆν ἐπὶ τῶν ὑδάτων, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
Τῷ ποιήσαντι φῶτα μεγάλα μόνῳ ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
Τὸν ἥλιον εἰς ἐξουσίαν τῆς ἡμέρας, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
Τὴν σελήνην καὶ τοὺς ἀστέρας εἰς ἐξουσίαν τῆς νυκτός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
Τῷ πατάξαντι Αἴγυπτον σὺν τοῖς πρωτοτόκοις αὐτῆς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
Καὶ ἐξαγαγόντι τὸν Ἰσραὴλ ἐκ μέσου αὐτῶν, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
Ἐν χειρὶ κραταιᾷ καὶ ἐν βραχίονι ὑψηλῷ, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
Τῷ καταδιελόντι τὴν ἐρυθρὰν θάλασσαν εἰς διαιρέσεις, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
Καὶ διαγαγόντι τὸν Ἰσραὴλ διὰ μέσου αὐτῆς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
Καὶ ἐκτινάξαντι Φαραὼ καὶ τὴν δύναμιν αὐτοῦ εἰς θάλασσαν ἐρυθράν, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
Τῷ διαγαγόντι τὸν λαὸν αὐτοῦ ἐν τῇ ἐρήμῳ, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
Τῷ πατάξαντι βασιλεῖς μεγάλους, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
Καὶ ἀποκτείναντι βασιλεῖς κρα-

σω, τοὺς πτωχοὺς αὐτῆς χορτάσω ἄρτων.

Τοὺς ἱερεῖς αὐτῆς ἐνδύσω σωτηρίαν, καὶ οἱ ὅσιοι αὐτῆς ἀγαλλιάσει ἀγαλλιάσονται.

Ἐκεῖ ἐξανατελῶ κέρας τῷ Δαβίδ, ἡτοίμασα λύχνον τῷ χριστῷ μου.

Τοὺς ἐχθροὺς αὐτοῦ ἐνδύσω αἰσχύνην, ἐπὶ δὲ αὐτὸν ἐξανθήσει τὸ ἁγίασμά μου.

ᾨδὴ τῶν ἀναβαθμῶν. ρλβ΄.

Ἰδοὺ δὴ τί καλὸν, ἢ τί τερπνὸν ἀλλ' ἢ τὸ κατοικεῖν ἀδελφοὺς ἐπὶ τὸ αὐτό;

Ὡς μῦρον ἐπὶ κεφαλῆς τὸ καταβαῖνον ἐπὶ πώγωνα, τὸν πώγωνα τὸν Ἀαρὼν,

Τὸ καταβαῖνον ἐπὶ τὴν ᾤαν τοῦ ἐνδύματος αὐτοῦ.

Ὡς δρόσος Ἀερμὼν ἡ καταβαίνουσα ἐπὶ τὰ ὄρη Σιών.

Ὅτι ἐκεῖ ἐνετείλατο κύριος τὴν εὐλογίαν, ζωὴν ἕως τοῦ αἰῶνος.

ᾨδὴ τῶν ἀναβαθμῶν. ρλγ΄.

Ἰδοὺ δὴ εὐλογεῖτε τὸν κύριον πάντες οἱ δοῦλοι κυρίου.

Οἱ ἑστῶτες ἐν οἴκῳ κυρίου, ἐν αὐλαῖς οἴκου θεοῦ ἡμῶν.

Ἐν ταῖς νυξὶν ἐπάρατε τὰς χεῖρας ὑμῶν εἰς τὰ ἅγια, καὶ εὐλογεῖτε τὸν κύριον.

Εὐλογήσαι σε κύριος ἐκ Σιὼν, ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν.

Δόξα.



ΚΑΘΙΣΜΑ. ιη΄.

Ἀλληλούϊα. ρλδ΄.

Αἰνεῖτε τὸ ὄνομα κυρίου, αἰνεῖτε δοῦλοι κύριον.

Οἱ ἑστῶτες ἐν οἴκῳ κυρίου ἐν αὐλαῖς οἴκου θεοῦ ἡμῶν.

Αἰνεῖτε τὸν κύριον ὅτι ἀγαθὸς κύριος, ψάλατε τῷ ὀνόματι αὐτοῦ ὅτι καλόν.

Ὅτι τὸν Ἰακὼβ ἐξελέξατο ἑαυτῷ ὁ κύριος Ἰσραὴλ εἰς περιουσιασμὸν ἑαυτῷ.

Ὅτι ἐγὼ ἔγνωκα, ὅτι μέγας ὁ κύριος, καὶ ὁ κύριος ἡμῶν παρὰ πάντας τοὺς θεούς.

Πάντα ὅσα ἠθέλησεν ὁ κύριος ἐποίησεν ἐν τῷ οὐρανῷ, καὶ ἐν τῇ γῇ,

Ἐν ταῖς θαλάσσαις καὶ ἐν πάσαις ταῖς ἀβύσσοις.

Ἀνάγων νεφέλας ἐξ ἐσχάτου τῆς γῆς, ἀστραπὰς εἰς ὑετὸν ἐποίησεν.

Ὁ ἐξάγων ἀνέμους ἐκ θησαυρῶν αὐτοῦ.

Ὃς ἐπάταξε τὰ πρωτότοκα Αἰγύπτου, ἀπὸ ἀνθρώπου ἕως κτήνους.

Ἐξαπέστειλε σημεῖα καὶ τέρατα ἐν μέσῳ σου Αἴγυπτε,

Ἐν Φαραὼ καὶ ἐν πᾶσι τοῖς δούλοις αὐτοῦ.

Ὃς ἐπάταξεν ἔθνη πολλὰ, καὶ ἀπέκτεινε βασιλεῖς κραταιούς.

Τὸν Σηὼν βασιλέα τῶν Ἀμορραίων, καὶ τὸν Ὢγ βασιλέα τῆς Βασὰν, καὶ

πάσας

Ὠιδὴ τῶν ἀναβαθμῶν. ρκθ´.

ΕΚ βαθέων ἐκέκραξά σοι κύριε, κύριε εἰσάκουσον τῆς φωνῆς μου.

Γενηθήτω τὰ ὦτά σου προσέχοντα εἰς τὴν φωνὴν τῆς δεήσεώς μου.

Ἐὰν ἀνομίας παρατηρήσῃς κύριε, κύριε τίς ὑποστήσεται; ὅτι παρὰ σοὶ ὁ ἱλασμός ἐστιν.

Ἕνεκεν τοῦ ὀνόματός σου ὑπέμεινά σε κύριε, ὑπέμεινεν ἡ ψυχή μου εἰς λόγον σου ἤλπισεν ἡ ψυχή μου ἐπὶ τὸν κύριον.

Ἀπὸ φυλακῆς πρωΐας μέχρι νυκτὸς, ἀπὸ φυλακῆς πρωΐας ἐλπισάτω Ἰσραὴλ ἐπὶ τὸν κύριον.

Ὅτι παρὰ τῷ κυρίῳ τὸ ἔλεος, καὶ πολλὴ παρ' αὐτῷ λύτρωσις, καὶ αὐτὸς λυτρώσεται τὸν Ἰσραὴλ ἐκ πασῶν τῶν ἀνομιῶν αὐτοῦ.

Ὠιδὴ τῶν ἀναβαθμῶν. ρλ´.

ΚΥριε οὐχ ὑψώθη ἡ καρδία μου, οὐδὲ ἐμετεωρίσθησαν οἱ ὀφθαλμοί μου.

Οὐδὲ ἐπορεύθην ἐν μεγάλοις, οὐδὲ ἐν θαυμασίοις ὑπὲρ ἐμέ.

Εἰ μὴ ἐταπεινοφρόνουν, ἀλλὰ ὕψωσα τὴν ψυχήν μου.

Ὡς τὸ ἀπογεγαλακτισμένον ἐπὶ τὴν μητέρα αὐτοῦ, ὡς ἀνταποδώσεις ἐπὶ τὴν ψυχήν μου.

Ἐλπισάτω Ἰσραὴλ ἐπὶ τὸν κύριον ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος.

Ὠιδὴ τῶν ἀναβαθμῶν. ρλα´.

ΜΝήσθητι κύριε τοῦ Δαβὶδ, καὶ πάσης τῆς πραότητος αὐτοῦ.

Ὡς ὤμοσε τῷ κυρίῳ ηὔξατο τῷ θεῷ Ἰακώβ.

Εἰ εἰσελεύσομαι εἰς σκήνωμα οἴκου μου, εἰ ἀναβήσομαι ἐπὶ κλίνης στρωμνῆς μου.

Εἰ δώσω ὕπνον τοῖς ὀφθαλμοῖς μου, καὶ τοῖς βλεφάροις μου νυσταγμὸν, καὶ ἀνάπαυσιν τοῖς κροτάφοις μου.

Ἕως οὗ εὕρω τόπον τῷ κυρίῳ, σκήνωμα τῷ θεῷ Ἰακώβ.

Ἰδοὺ ἠκούσαμεν αὐτὴν ἐν Εὐφραθᾷ, εὕρομεν αὐτὴν ἐν τοῖς πεδίοις τοῦ δρυμοῦ.

Εἰσελευσόμεθα εἰς τὰ σκηνώματα αὐτοῦ.

Προσκυνήσωμεν εἰς τὸν τόπον οὗ ἔστησαν οἱ πόδες αὐτοῦ.

Ἀνάστηθι κύριε εἰς τὴν ἀνάπαυσίν σου, σὺ καὶ ἡ κιβωτὸς τοῦ ἁγιάσματός σου.

Οἱ ἱερεῖς σου ἐνδύσονται δικαιοσύνην, καὶ οἱ ὅσιοί σου ἀγαλλιάσονται.

Ἕνεκεν Δαβὶδ τοῦ δούλου σου μὴ ἀποστρέψῃς τὸ πρόσωπον τοῦ χριστοῦ σου.

Ὤμοσε κύριος τῷ Δαβὶδ ἀλήθειαν, καὶ οὐ μὴ ἀθετήσει αὐτήν.

Ἐκ καρποῦ τῆς κοιλίας σου θήσομαι ἐπὶ τοῦ θρόνου σου.

Ἐὰν φυλάξωνται οἱ υἱοί σου τὴν διαθήκην μου, καὶ τὰ μαρτύριά μου ταῦτα ἃ διδάξω αὐτούς.

Καὶ οἱ υἱοὶ αὐτῶν ἕως τοῦ αἰῶνος καθιοῦνται ἐπὶ τοῦ θρόνου σου.

Ὅτι ἐξελέξατο κύριος τὴν Σιὼν, ᾑρετίσατο αὐτὴν εἰς κατοικίαν ἑαυτῷ.

Αὕτη ἡ κατάπαυσίς μου εἰς αἰῶνα αἰῶνος, ὧδε κατοικήσω ὅτι ᾑρετισάμην αὐτήν.

Τὴν θήραν αὐτῆς εὐλογῶν εὐλογήσω,

Τότε ἐροῦσιν ἐν τοῖς ἔθνεσιν, ἐμεγάλυνε κύριος τοῦ ποιῆσαι μετ' αὐτῶν.

Ἐμεγάλυνε κύριος τοῦ ποιῆσαι μεθ' ἡμῶν, ἐγενήθημεν εὐφραινόμενοι.

Ἐπίστρεψον κύριε τὴν αἰχμαλωσίαν ἡμῶν ὡς χειμάρρους ἐν τῷ νότῳ.

Οἱ σπείροντες ἐν δάκρυσιν, ἐν ἀγαλλιάσει θεριοῦσι.

Πορευόμενοι ἐπορεύοντο καὶ ἔκλαιον βάλλοντες τὰ σπέρματα αὐτῶν.

Ἐρχόμενοι δὲ ἥξουσιν ἐν ἀγαλλιάσει αἴροντες τὰ δράγματα αὐτῶν.

ᾨδὴ τῶν ἀναβαθμῶν. ρκϛ.

ΕΑν μὴ κύριος οἰκοδομήσῃ οἶκον, εἰς μάτην ἐκοπίασαν οἱ οἰκοδομοῦντες.

Ἐὰν μὴ κύριος φυλάξῃ πόλιν, εἰς μάτην ἠγρύπνησεν ὁ φυλάσσων.

Εἰς μάτην ὑμῖν ἐστι τὸ ὀρθρίζειν.

Ἐγείρεσθε μετὰ τὸ καθῆσθαι, οἱ ἐσθίοντες ἄρτον ὀδύνης, ὅταν δῷ τοῖς ἀγαπητοῖς αὐτοῦ ὕπνον.

Ἰδοὺ ἡ κληρονομία κυρίου υἱοί, ὁ μισθὸς τοῦ καρποῦ τῆς γαστρός.

Ὡσεὶ βέλη ἐν χειρὶ δυνατοῦ, οὕτως οἱ υἱοὶ τῶν ἐκτετιναγμένων.

Μακάριος ὃς πληρώσει τὴν ἐπιθυμίαν αὐτοῦ ἐξ αὐτῶν.

Οὐ καταισχυνθήσονται, ὅταν λαλῶσι τοῖς ἐχθροῖς αὐτῶν ἐν πύλαις.

ᾨδὴ τῶν ἀναβαθμῶν. ρκζ.

ΜΑκάριοι πάντες οἱ φοβούμενοι τὸν κύριον, οἱ πορευόμενοι ἐν ταῖς ὁδοῖς αὐτοῦ.

Τοὺς πόνους τῶν καρπῶν σου φάγεσαι,

Μακάριος εἶ καὶ καλῶς σοι ἔσται. Ἡ γυνή σου ὡς ἄμπελος εὐθηνοῦσα ἐν τοῖς κλίτεσι τῆς οἰκίας σου.

Οἱ υἱοί σου ὡς νεόφυτα ἐλαιῶν κύκλῳ τῆς τραπέζης σου.

Ἰδοὺ οὕτως εὐλογηθήσεται ἄνθρωπος ὁ φοβούμενος τὸν κύριον.

Εὐλογήσαι σε κύριος ἐκ Σιών,

Καὶ ἴδοις τὰ ἀγαθὰ Ἱερουσαλὴμ πάσας τὰς ἡμέρας τῆς ζωῆς σου.

Καὶ ἴδοις υἱοὺς τῶν υἱῶν σου. εἰρήνη ἐπὶ τὸν Ἰσραήλ.

ᾨδὴ τῶν ἀναβαθμῶν. ρκη.

ΠΛεονάκις ἐπολέμησάν με ἐκ νεότητός μου, εἰπάτω δὴ Ἰσραήλ.

Πλεονάκις ἐπολέμησάν με ἐκ νεότητός μου, καὶ γὰρ οὐκ ἠδυνήθησάν μοι.

Ἐπὶ τὸν νῶτόν μου ἐτέκταινον οἱ ἁμαρτωλοί, ἐμάκρυναν τὴν ἀνομίαν αὐτῶν.

Κύριος δίκαιος συνέκοψεν αὐχένας ἁμαρτωλῶν.

Αἰσχυνθήτωσαν καὶ ἀποστραφήτωσαν εἰς τὰ ὀπίσω πάντες οἱ μισοῦντες Σιών.

Γενηθήτωσαν ὡσεὶ χόρτος δωμάτων, ὡς πρὸ τοῦ ἐκσπασθῆναι ἐξηράνθη.

Οὗ οὐκ ἐπλήρωσε τὴν χεῖρα αὐτοῦ ὁ θερίζων, καὶ τὸν κόλπον αὐτοῦ ὁ τὰ δράγματα συλλέγων.

Καὶ οὐκ εἶπαν οἱ παράγοντες, εὐλογία κυρίου ἐφ' ὑμᾶς, εὐλογήκαμεν ὑμᾶς ἐν ὀνόματι κυρίου.

Δόξα.

Τοῦ ἐξομολογήσασθαι τῷ ὀνόματι κυρίου.

Ὅτι ἐκεῖ ἐκάθισαν θρόνοι εἰς κρίσιν, θρόνοι ἐπὶ οἶκον Δαβίδ.

Ἐρωτήσατε δὴ τὰ εἰς εἰρήνην τὴν Ἱερουσαλὴμ, καὶ εὐθηνία τοῖς ἀγαπῶσί σε.

Γενηθήτω δὴ εἰρήνη ἐν τῇ δυνάμει σου, καὶ εὐθηνία ἐν ταῖς πυργοβάρεσί σου.

Ἕνεκα τῶν ἀδελφῶν μου καὶ τῶν πλησίον μου, ἐλάλουν δὴ εἰρήνην περὶ σοῦ.

Ἕνεκα τοῦ οἴκου κυρίου τοῦ θεοῦ ἡμῶν ἐξεζήτησα ἀγαθά σοι.

Ὠδὴ τῶν ἀναβαθμῶν. ρκβ'.

ΠΡὸς σὲ ἦρα τοὺς ὀφθαλμούς μου τὸν κατοικοῦντα ἐν τῷ οὐρανῷ.

Ἰδοὺ ὡς ὀφθαλμοὶ δούλων εἰς χεῖρας τῶν κυρίων αὐτῶν, ὡς ὀφθαλμοὶ παιδίσκης εἰς χεῖρας τῆς κυρίας αὐτῆς, οὕτως οἱ ὀφθαλμοὶ ἡμῶν πρὸς κύριον τὸν θεὸν ἡμῶν, ἕως οὗ οἰκτειρῆσαι ἡμᾶς.

Ἐλέησον ἡμᾶς κύριε ἐλέησον ἡμᾶς, ὅτι ἐπὶ πολὺ ἐπλήσθημεν ἐξουδενώσεως.

Ἐπὶ πλεῖον ἐπλήσθη ἡ ψυχὴ ἡμῶν, τὸ ὄνειδος τοῖς εὐθηνοῦσι καὶ ἡ ἐξουδένωσις τοῖς ὑπερηφάνοις.

Ὠδὴ τῶν ἀναβαθμῶν. ρκγ'.

ΕΙ μὴ ὅτι κύριος ἦν ἐν ἡμῖν, εἰπάτω δὴ Ἰσραήλ.

Εἰ μὴ ὅτι κύριος ἦν ἐν ἡμῖν. ἐν τῷ ἐπαναστῆναι ἀνθρώπους ἐφ' ἡμᾶς,

Ἄρα ζῶντας ἂν κατέπιον ἡμᾶς. ἐν τῷ ὀργισθῆναι τὸν θυμὸν αὐτῶν ἐφ' ἡμᾶς,

Ἄρα τὸ ὕδωρ ἂν κατεπόντισεν ἡμᾶς.

Χείμαρρον διῆλθεν ἡ ψυχὴ ἡμῶν,

Ἄρα διῆλθεν ἡ ψυχὴ ἡμῶν τὸ ὕδωρ τὸ ἀνυπόστατον.

Εὐλογητὸς κύριος, ὃς οὐκ ἔδωκεν ἡμᾶς εἰς θήραν τοῖς ὀδοῦσιν αὐτῶν.

Ἡ ψυχὴ ἡμῶν ὡς στρουθίον ἐῤῥύσθη ἐκ τῆς παγίδος τῶν θηρευόντων.

Ἡ παγὶς συνετρίβη, καὶ ἡμεῖς ἐῤῥύσθημεν.

Ἡ βοήθεια ἡμῶν ἐν ὀνόματι κυρίου, τοῦ ποιήσαντος τὸν οὐρανὸν καὶ τὴν γῆν. Δόξα.

Ὠδὴ τῶν ἀναβαθμῶν. ρκδ'.

ΟΙ πεποιθότες ἐπὶ κύριον ὡς ὄρος Σιὼν, οὐ σαλευθήσεται εἰς τὸν αἰῶνα ὁ κατοικῶν Ἱερουσαλήμ.

Ὄρη κύκλῳ αὐτῆς, καὶ ὁ κύριος κύκλῳ τοῦ λαοῦ αὐτοῦ, ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος.

Ὅτι οὐκ ἀφήσει κύριος τὴν ῥάβδον τῶν ἁμαρτωλῶν ἐπὶ τὸν κλῆρον τῶν δικαίων.

Ὅπως ἂν μὴ ἐκτείνωσιν οἱ δίκαιοι ἐν ἀνομίαις χεῖρας αὐτῶν.

Ἀγάθυνον κύριε τοῖς ἀγαθοῖς καὶ τοῖς εὐθέσι τῇ καρδίᾳ.

Τοὺς δὲ ἐκκλίνοντας εἰς τὰς στραγγαλιὰς, ἀπάξει κύριος μετὰ τῶν ἐργαζομένων τὴν ἀνομίαν.

Εἰρήνη ἐπὶ τὸν Ἰσραήλ.

Ὠδὴ τῶν ἀναβαθμῶν. ρκε'.

ΕΝ τῷ ἐπιστρέψαι κύριον τὴν αἰχμαλωσίαν Σιὼν, ἐγενήθημεν ὡσεὶ παρακεκλημένοι.

Τότε ἐπλήσθη χαρᾶς τὸ στόμα ἡμῶν, καὶ ἡ γλῶσσα ἡμῶν ἀγαλλιάσεως.

Τότε

κύριε, κατὰ τὸ λόγιόν σου συνέτισόν με.

Ι σέλθοι τὸ ἀξίωμά μου ἐνώπιόν σου κύριε, κατὰ τὸ λόγιόν σου ῥῦσαί με.

Ε ξερεύξαιντο τὰ χείλη μου ὕμνον, ὅταν διδάξῃς με τὰ δικαιώματά σου.

Φ θέγξαιτο ἡ γλῶσσά μου τὰ λόγιά σου, ὅτι πᾶσαι αἱ ἐντολαί σου δικαιοσύνη.

Γ ενέσθω ἡ χείρ σου τοῦ σῶσαί με ὅτι τὰς ἐντολάς σου ᾑρετισάμην.

Ε πεπόθησα τὸ σωτήριόν σου κύριε, καὶ ὁ νόμος σου μελέτη μου ἐστί.

Ζ ήσεται ἡ ψυχή μου καὶ αἰνέσει σε, καὶ τὰ κρίματά σου βοηθήσει μοι.

Ε πλανήθην ὡς πρόβατον ἀπολωλὸς, ζήτησον τὸν δοῦλόν σου, ὅτι τὰς ἐντολάς σου οὐκ ἐπελαθόμην.

Δόξα.



ΚΑΘΙΣΜΑ. ιζʹ.

Ὠιδὴ τῶν ἀναβαθμῶν. ριθʹ.

Π Ρὸς κύριον ἐν τῷ θλίβεσθαί με ἐκέκραξα, καὶ εἰσήκουσέ μου.

Κ ύριε ῥῦσαι τὴν ψυχήν μου ἀπὸ χειλέων ἀδίκων καὶ ἀπὸ γλώσσης δολίας.

Τ ί δοθείη σοι καὶ τί προστεθείη σοι πρὸς γλῶσσαν δολίαν;

Τ ὰ βέλη τοῦ δυνατοῦ ἠκονημένα σὺν τοῖς ἄνθραξι τοῖς ἐρημικοῖς.

Ο ἴμοι ὅτι ἡ παροικία μου ἐμακρύνθη, κατεσκήνωσα μετὰ τῶν σκηνωμάτων Κηδὰρ, πολλὰ παρῴκησεν ἡ ψυχή μου.

Μ ετὰ τῶν μισούντων τὴν εἰρήνην ἤμην εἰρηνικός.

Ο ταν ἐλάλουν αὐτοῖς, ἐπολέμουν με δωρεάν.

Ὠιδὴ τῶν ἀναβαθμῶν, ρκʹ.

Η Ρα τοὺς ὀφθαλμούς μου εἰς τὰ ὄρη, ὅθεν ἥξει ἡ βοήθειά μου.

Η βοήθειά μου παρὰ κυρίου τοῦ ποιήσαντος τὸν οὐρανὸν καὶ τὴν γῆν.

Μ ὴ δώῃς εἰς σάλον τὸν πόδα σου, μὴ δὲ νυστάξῃ ὁ φυλάσσων σε.

Ι δοὺ οὐ νυστάξει οὐδὲ ὑπνώσει ὁ φυλάσσων τὸν Ἰσραήλ.

Κ ύριος φυλάξοι σε, κύριος σκέπη σου ἐπὶ χεῖρα δεξιάν σου.

Η μέρας ὁ ἥλιος οὐ συγκαύσει σε, οὐ δὲ ἡ σελήνη τὴν νύκτα.

Κ ύριος φυλάξοι σε ἀπὸ παντὸς κακοῦ, φυλάξοι τὴν ψυχήν σου ὁ κύριος.

Κ ύριος φυλάξοι τὴν εἴσοδόν σου καὶ τὴν ἔξοδόν σου, ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος.

Ὠιδὴ τῶν ἀναβαθμῶν. ρκαʹ.

Ε Υφράνθην ἐπὶ τοῖς εἰρηκόσι μοι, εἰς οἶκον κυρίου πορευσόμεθα.

Ε στῶτες ἦσαν, οἱ πόδες ἡμῶν ἐν ταῖς αὐλαῖς σου Ἱερουσαλήμ.

Ι ερουσαλὴμ οἰκοδομουμένη ὡς πόλις, ἧς ἡ μετοχὴ αὐτῆς ἐπὶ τὸ αὐτό.

Ε κεῖ γὰρ ἀνέβησαν αἱ φυλαὶ, φυλαὶ κυρίου μαρτύριον τοῦ Ἰσραήλ,

θοντο τῶν λόγων σου οἱ ἐχθροί μου.

Πεπυρωμένον τὸ λόγιόν σου σφόδρα, καὶ ὁ δοῦλός σου ἠγάπησεν αὐτό.

Νεώτερος ἐγώ εἰμι καὶ ἐξουδενωμένος, τὰ δικαιώματά σου οὐκ ἐπελαθόμην.

Ἡ δικαιοσύνη σου δικαιοσύνη εἰς τὸν αἰῶνα, καὶ ὁ νόμος σου ἀλήθεια.

Θλίψεις καὶ ἀνάγκαι εὕροσάν με, ἐντολαί σου μελέτη μου.

Δικαιοσύνη τὰ μαρτύριά σου εἰς τὸν αἰῶνα, συνέτισόν με, καὶ ζήσομαι.

Ἐκέκραξα ἐν ὅλῃ καρδίᾳ μου, ἐπάκουσόν μου κύριε, τὰ δικαιώματά σου ἐκζητήσω.

Ἐκέκραξά σοι, σῶσόν με, καὶ φυλάξω τὰ μαρτύριά σου.

Προέφθασα ἐν ἀωρίᾳ καὶ ἐκέκραξα, εἰς τοὺς λόγους σου ἐπήλπισα.

Προέφθασαν οἱ ὀφθαλμοί μου πρὸς ὄρθρον τοῦ μελετᾶν τὰ λόγιά σου.

Τῆς φωνῆς μου ἄκουσον κύριε κατὰ τὸ ἔλεός σου, κατὰ τὸ κρῖμά σου ζῆσόν με.

Προσήγγισαν οἱ καταδιώκοντές με ἀνομίᾳ, ἀπὸ δὲ τοῦ νόμου σου ἐμακρύνθησαν.

Ἐγγὺς εἶ κύριε, καὶ πᾶσαι αἱ ὁδοί σου ἀλήθεια.

Κατ' ἀρχὰς ἔγνων τῶν μαρτυρίων σου, ὅτι εἰς τὸν αἰῶνα ἐθεμελίωσας αὐτά.

Ἴδε τὴν ταπείνωσίν μου καὶ ἐξελοῦ με, ὅτι τοῦ νόμου σου οὐκ ἐπελαθόμην.

Κρῖνον τὴν κρίσιν μου καὶ λύτρωσαί με, διὰ τὸν λόγον σου ζῆσόν με.

Μακρὰν ἀπὸ ἁμαρτωλῶν σωτηρία, ὅτι τὰ δικαιώματά σου οὐκ ἐξεζήτησαν.

Οἱ οἰκτιρμοί σου πολλοὶ κύριε, κατὰ τὸ κρῖμά σου ζῆσόν με.

Πολλοὶ οἱ ἐκδιώκοντές με καὶ θλίβοντές με, ἐκ τῶν μαρτυρίων σου οὐκ ἐξέκλινα.

Εἶδον ἀσυνετοῦντας καὶ ἐξετηκόμην, ὅτι τὰ λόγιά σου οὐκ ἐφυλάξαντο.

Ἴδε ὅτι τὰς ἐντολάς σου ἠγάπησα, κύριε ἐν τῷ ἐλέει σου ζῆσόν με.

Ἀρχὴ τῶν λόγων σου ἀλήθεια, καὶ εἰς τὸν αἰῶνα πάντα τὰ κρίματα τῆς δικαιοσύνης σου.

Ἄρχοντες κατεδίωξάν με δωρεάν, καὶ ἀπὸ τῶν λόγων σου ἐδειλίασεν ἡ καρδία μου.

Ἀγαλλιάσομαι ἐγὼ ἐπὶ τὰ λόγιά σου, ὡς ὁ εὑρίσκων σκῦλα πολλά.

Ἀδικίαν ἐμίσησα καὶ ἐβδελυξάμην, τὸν δὲ νόμον σου ἠγάπησα.

Ἑπτάκις τῆς ἡμέρας ᾔνεσά σε ἐπὶ τὰ κρίματα τῆς δικαιοσύνης σου.

Εἰρήνη πολλὴ τοῖς ἀγαπῶσι τὸν νόμον σου, καὶ οὐκ ἔστιν αὐτοῖς σκάνδαλον.

Προσεδόκων τὸ σωτήριόν σου κύριε, καὶ τὰς ἐντολάς σου ἠγάπησα.

Ἐφύλαξεν ἡ ψυχή μου τὰ μαρτύριά σου, καὶ ἠγάπησεν αὐτὰ σφόδρα.

Ἐφύλαξα τὰς ἐντολάς σου καὶ τὰ μαρτύριά σου, ὅτι πᾶσαι αἱ ὁδοί μου ἐναντίον σου κύριε.

Ἐγγισάτω ἡ δέησίς μου ἐνώπιόν σου κύριε,

Ἐκληρονόμησα τὰ μαρτύριά σου εἰς τὸν αἰῶνα, ὅτι ἀγαλλίαμα τῆς καρδίας μου εἰσίν.

Ἔκλινα τὴν καρδίαν μου τοῦ ποιῆσαι τὰ δικαιώματά σου εἰς τὸν αἰῶνα δι' ἀντάμειψιν.

Παρανόμους ἐμίσησα, τὸν δὲ νόμον σου ἠγάπησα.

Βοηθός μου, καὶ ἀντιλήπτωρ μου εἶ σύ, εἰς τοὺς λόγους σου ἐπήλπισα.

Ἐκκλίνατε ἀπ' ἐμοῦ πονηρευόμενοι, καὶ ἐξερευνήσω τὰς ἐντολὰς τοῦ θεοῦ μου.

Ἀντιλαβοῦ μου κατὰ τὸ λόγιόν σου καὶ ζῆσόν με, καὶ μὴ καταισχύνῃς με ἀπὸ τῆς προσδοκίας μου.

Βοήθησόν μοι, καὶ σωθήσομαι, καὶ μελετήσω ἐν τοῖς δικαιώμασί σου διαπαντός.

Ἐξουδένωσας πάντας τοὺς ἀποστατοῦντας ἀπὸ τῶν δικαιωμάτων σου, ὅτι ἄδικον τὸ ἐνθύμημα αὐτῶν.

Παραβαίνοντας ἐλογισάμην πάντας τοὺς ἁμαρτωλοὺς τῆς γῆς, διὰ τοῦτο ἠγάπησα τὰ μαρτύριά σου.

Καθήλωσον ἐκ τοῦ φόβου σου τὰς σάρκας μου, ἀπὸ γὰρ τῶν κριμάτων σου ἐφοβήθην.

Ἐποίησα κρῖμα καὶ δικαιοσύνην, μὴ παραδῷς με τοῖς ἀδικοῦσί με.

Ἔκδεξαι τὸν δοῦλόν σου εἰς ἀγαθόν, μὴ συκοφαντησάτωσάν με ὑπερήφανοι.

Οἱ ὀφθαλμοί μου ἐξέλιπον εἰς τὸ σωτήριόν σου, καὶ εἰς τὸ λόγιον τῆς δικαιοσύνης σου.

Ποίησον μετὰ τοῦ δούλου σου κατὰ τὸ ἔλεός σου, καὶ τὰ δικαιώματά σου δίδαξόν με.

Δοῦλός σου εἰμὶ ἐγώ, συνέτισόν με, καὶ γνώσομαι τὰ μαρτύριά σου.

Καιρὸς τοῦ ποιῆσαι τῷ κυρίῳ, διεσκέδασαν τὸν νόμον σου.

Διὰ τοῦτο ἠγάπησα τὰς ἐντολάς σου ὑπὲρ χρυσίον καὶ τοπάζιον.

Διὰ τοῦτο πρὸς πάσας τὰς ἐντολάς σου κατωρθούμην, πᾶσαν ὁδὸν ἄδικον ἐμίσησα.

Θαυμαστὰ τὰ μαρτύριά σου, διὰ τοῦτο ἐξηρεύνησεν αὐτὰ ἡ ψυχή μου.

Ἡ δήλωσις τῶν λόγων σου φωτιεῖ, καὶ συνετιεῖ νηπίους.

Τὸ στόμα μου ἤνοιξα, καὶ εἵλκυσα πνεῦμα, ὅτι τὰς ἐντολάς σου ἐπεπόθουν. Δόξα.

Στάσις. γ'.

Ἐπίβλεψον ἐπ' ἐμὲ καὶ ἐλέησόν με κατὰ τὸ κρῖμα τῶν ἀγαπώντων τὸ ὄνομά σου.

Τὰ διαβήματά μου κατεύθυνον κατὰ τὸ λόγιόν σου, καὶ μὴ κατακυριευσάτω μου πᾶσα ἀνομία.

Λύτρωσαί με ἀπὸ συκοφαντίας ἀνθρώπων, καὶ φυλάξω τὰς ἐντολάς σου.

Τὸ πρόσωπόν σου ἐπίφανον ἐπὶ τὸν δοῦλόν σου, καὶ δίδαξόν με τὰ δικαιώματά σου.

Διεξόδους ὑδάτων κατέβησαν οἱ ὀφθαλμοί μου, ἐπεὶ οὐκ ἐφύλαξα τὸν νόμον σου.

Δίκαιος εἶ κύριε, καὶ εὐθεῖς αἱ κρίσεις σου.

Ἐνετείλω δικαιοσύνην τὰ μαρτύριά σου, καὶ ἀλήθειαν σφόδρα.

Ἐξέτηξέ με ὁ ζῆλός σου, ὅτι ἐπελάθοντο

χή μου, εἰς τοὺς λόγους σου ἐπήλπισα.

Ἐξέλιπον οἱ ὀφθαλμοί μου εἰς τὸ λόγιόν σου, λέγοντες, πότε παρακαλέσεις με;

Ὅτι ἐγενήθην ὡς ἀσκὸς ἐν πάχνῃ, τὰ δικαιώματά σου οὐκ ἐπελαθόμην.

Πόσαι εἰσὶν αἱ ἡμέραι τοῦ δούλου σου, πότε ποιήσεις μοι ἐκ τῶν καταδιωκόντων με κρίσιν;

Διηγήσαντό μοι παράνομοι ἀδολεσχίας, ἀλλ' οὐχ ὡς ὁ νόμος σου κύριε.

Πᾶσαι αἱ ἐντολαί σου ἀλήθεια.

Ἀδίκως κατεδίωξάν με, βοήθησόν μοι. Παραβραχὺ συνετέλεσάν με ἐν τῇ γῇ,

Ἐγὼ δὲ οὐκ ἐγκατέλιπον τὰς ἐντολάς σου.

Κατὰ τὸ ἔλεός σου ζῆσόν με, καὶ φυλάξω τὰ μαρτύρια τοῦ στόματός σου.

Εἰς τὸν αἰῶνα κύριε ὁ λόγος σου διαμένει ἐν τῷ οὐρανῷ, εἰς γενεὰν καὶ γενεὰν ἡ ἀλήθειά σου.

Ἐθεμελίωσας τὴν γῆν καὶ διαμένει, τῇ διατάξει σου διαμένει ἡμέρα, ὅτι τὰ σύμπαντα δοῦλα σά.

Εἰ μὴ ὅτι ὁ νόμος σου μελέτη μου ἐστὶ τότε ἂν ἀπωλόμην ἐν τῇ ταπεινώσει μου.

Εἰς τὸν αἰῶνα οὐ μὴ ἐπιλάθωμαι τῶν δικαιωμάτων σου, ὅτι ἐν αὐτοῖς ἔζησάς με.

Στάσις. β'.

Σός εἰμι ἐγὼ, σῶσόν με, ὅτι τὰ δικαιώματά σου ἐξεζήτησα.

Ἐμὲ ὑπέμειναν ἁμαρτωλοὶ τοῦ ἀπολέσαι με, τὰ μαρτύριά σου συνῆκα.

Πάσης συντελείας εἶδον πέρας, πλατεῖα ἡ ἐντολή σου σφόδρα.

Ὡς ἠγάπησα τὸν νόμον σου κύριε, ὅλην τὴν ἡμέραν μελέτη μου ἐστί.

Ὑπὲρ τοὺς ἐχθρούς μου ἐσόφισάς με τὴν ἐντολήν σου, ὅτι εἰς τὸν αἰῶνα ἐμή ἐστιν.

Ὑπὲρ πάντας τοὺς διδάσκοντάς με συνῆκα, ὅτι τὰ μαρτύριά σου μελέτη μου ἐστίν.

Ὑπὲρ πρεσβυτέρους συνῆκα, ὅτι τὰς ἐντολάς σου ἐξεζήτησα.

Ἐκ πάσης ὁδοῦ πονηρᾶς ἐκώλυσα τοὺς πόδας μου, ὅπως ἂν φυλάξω τοὺς λόγους σου.

Ἀπὸ τῶν κριμάτων σου οὐκ ἐξέκλινα, ὅτι σὺ ἐνομοθέτησάς με.

Ὡς γλυκέα τῷ λάρυγγί μου τὰ λόγιά σου, ὑπὲρ μέλι τῷ στόματί μου.

Ἀπὸ τῶν ἐντολῶν σου συνῆκα, διὰ τοῦτο ἐμίσησα πᾶσαν ὁδὸν ἀδικίας.

Λύχνος τοῖς ποσί μου ὁ νόμος σου, καὶ φῶς ταῖς τρίβοις μου.

Ὤμοσα καὶ ἔστησα τοῦ φυλάξασθαι τὰ κρίματα τῆς δικαιοσύνης σου.

Ἐταπεινώθην ἕως σφόδρα κύριε, ζῆσόν με κατὰ τὸν λόγον σου.

Τὰ ἑκούσια τοῦ στόματός μου εὐδόκησον δὴ κύριε, καὶ τὰ κρίματά σου δίδαξόν με.

Ἡ ψυχή μου ἐν ταῖς χερσί σου διαπαντός, καὶ τοῦ νόμου σου οὐκ ἐπελαθόμην.

Ἔθεντο ἁμαρτωλοὶ παγίδα μοι, καὶ ἐκ τῶν ἐντολῶν σου οὐκ ἐπλανήθην.

πη.
τὸν νόμον σου.
αλτὰ ἦσάν μοι τὰ δικαιώματά
σου, ἐν τόπῳ παροικίας μου.
μνήσθην ἐν νυκτὶ τοῦ ὀνόματός
σου κύριε, καὶ ἐφύλαξα τὸν νόμον
σου.
ὕτη ἐγενήθη μοι, ὅτι τὰ δικαιώ-
Ζματά σου ἐξεζήτησα.
έρις μου εἶ κύριε, εἶπα τοῦ φυλά-
Μξασθαι τὸν νόμον σου.
δεήθην τοῦ προσώπου σου ἐν ὅλῃ
καρδίᾳ μου, ἐλέησόν με κατὰ τὸ λό-
γιόν σου.
ιελογισάμην τὰς ὁδούς σου, καὶ ἐπέ-
στρεψα τοὺς πόδας μου εἰς τὰ μαρ-
Δτύριά σου.
τοιμάσθην καὶ οὐκ ἐταράχθην, τοῦ
Ηφυλάξασθαι τὰς ἐντολάς σου.
χοινία ἁμαρτωλῶν περιεπλάκη-
σάν μοι, καὶ τοῦ νόμου σου οὐκ ἐπελα-
Σθόμην.
εσονύκτιον ἐξεγειρόμην, τοῦ ἐ-
ξομολογεῖσθαί σοι ἐπὶ τὰ κρίματα
Μτῆς δικαιοσύνης σου.
έτοχος ἐγώ εἰμι πάντων τῶν φο-
βουμένων σε, καὶ τῶν φυλασσόντων τὰς
Μἐντολάς σου.
ῦ ἐλέους σου κύριε πλήρης ἡ γῆ, τὰ
Χδικαιώματά σου δίδαξόν με.
ρηστότητα ἐποίησας μετὰ τοῦ δούλου
Χσου κύριε κατὰ τὸν λόγον σου.
ρηστότητα καὶ παιδείαν καὶ γνῶσιν δί-
δαξόν με, ὅτι ταῖς ἐντολαῖς σου ἐπί-
Πστευσα.
ρὸ τοῦ με ταπεινωθῆναι, ἐγὼ ἐ-
πλημμέλησα, διὰ τοῦτο τὸ λόγιόν
Χσου ἐφύλαξα.
ρηστὸς εἶ σὺ κύριε, καὶ ἐν τῇ χρηστότη

τί σου δίδαξόν με τὰ δικαιώματά
Εσου.
πληθύνθη ἐπ᾽ ἐμὲ ἀδικία ὑπερη-
φάνων, ἐγὼ δὲ ἐν ὅλῃ καρδίᾳ μου
Εἐξερευνήσω τὰς ἐντολάς σου.
τυρώθη ὡς γάλα ἡ καρδία αὐτῶν,
Αἐγὼ δὲ τὸν νόμον σου ἐμελέτησα.
γαθόν μοι ὅτι ἐταπείνωσάς με,
ὅπως ἂν μάθω τὰ δικαιώματά σου.
γαθός μοι νόμος τοῦ στόματός σου,
ὑπὲρ χιλιάδας χρυσίου καὶ ἀργυρίου.
Δόξα. Στάσις. α.

ΑΙ χεῖρές σου ἐποίησάν με καὶ
ἔπλασάν με, συνέτισόν με καὶ
μαθήσομαι τὰς ἐντολάς σου.
ἱ φοβούμενοί σε ὄψονταί με καὶ εὐ-
φρανθήσονται, ὅτι εἰς τοὺς λόγους σου
Εἐπήλπισα.
γνων κύριε ὅτι δικαιοσύνη τὰ κρί-
ματά σου, καὶ ἀληθείᾳ ἐταπείνωσάς
Γμε.
ενηθήτω δὴ τὸ ἔλεός σου τοῦ παρα-
καλέσαι με κατὰ τὸ λόγιόν σου τῷ δού-
Ελῳ σου.
λθέτωσάν μοι οἱ οἰκτιρμοί σου καὶ
ζήσομαι ὅτι ὁ νόμος σου μελέτη μού
Αἐστιν.
ἰσχυνθήτωσαν ὑπερήφανοι, ὅτι ἀ-
δίκως ἠνόμησαν εἰς ἐμέ, ἐγὼ δὲ ἀ-
Εδολεσχήσω ἐν ταῖς ἐντολαῖς σου.
πιστρεψάτωσάν με οἱ φοβούμενοί
σε, καὶ οἱ γινώσκοντες τὰ μαρτύριά
Γσου.
ενηθήτω ἡ καρδία μου ἄμωμος ἐν
τοῖς δικαιώμασί σου, ὅπως ἂν μὴ αἰ-
Εσχυνθῶ.
κλείπει εἰς τὸ σωτήριόν σου ἡ ψυ-
χή

ἐμοῦ κατελάλουν, ὁ δὲ δοῦλός σου ἠδολέσχει ἐν τοῖς δικαιώμασί σου.

Καὶ γὰρ τὰ μαρτύριά σου μελέτη μου ἐστὶ, καὶ αἱ συμβουλίαι μου τὰ δικαιώματά σου.

Ἐκολλήθη τῷ ἐδάφει ἡ ψυχή μου, ζῆσόν με κατὰ τὸν λόγον σου.

Τὰς ὁδούς μου ἐξήγγειλα, καὶ ἐπήκουσάς μου, δίδαξόν με τὰ δικαιώματά σου.

Ὁδὸν δικαιωμάτων σου συνέτισόν με, καὶ ἀδολεσχήσω ἐν τοῖς θαυμασίοις σου.

Ἐνύσταξεν ἡ ψυχή μου ἀπὸ ἀκηδίας, βεβαίωσόν με ἐν τοῖς λόγοις σου.

Ὁδὸν ἀδικίας ἀπόστησον ἀπ᾽ ἐμοῦ, καὶ τῷ νόμῳ σου ἐλέησόν με.

Ὁδὸν ἀληθείας ἡρετισάμην, καὶ τὰ κρίματά σου οὐκ ἐπελαθόμην.

Ἐκολλήθην τοῖς μαρτυρίοις σου κύριε, μή με καταισχύνῃς.

Ὁδὸν ἐντολῶν σου ἔδραμον, ὅταν ἐπλάτυνας τὴν καρδίαν μου.

Νομοθέτησόν με κύριε τὴν ὁδὸν τῶν δικαιωμάτων σου, καὶ ἐκζητήσω αὐτὴν διαπαντός.

Συνέτισόν με, καὶ ἐξερευνήσω τὸν νόμον σου, καὶ φυλάξω αὐτὸν ἐν ὅλῃ καρδίᾳ μου.

Ὁδήγησόν με ἐν τῇ τρίβῳ τῶν ἐντολῶν σου, ὅτι αὐτὴν ἠθέλησα.

Κλῖνον τὴν καρδίαν μου εἰς τὰ μαρτύριά σου, καὶ μὴ εἰς πλεονεξίαν.

Ἀπόστρεψον τοὺς ὀφθαλμούς μου τοῦ μὴ ἰδεῖν ματαιότητα, ἐν τῇ ὁδῷ σου ζῆσόν με.

Στῆσον τῷ δούλῳ σου τὸ λόγιόν σου εἰς τὸν φόβον σου.

Περίελε τὸν ὀνειδισμόν μου ὃν ὑπώπτευσα, ὅτι τὰ κρίματά σου χρηστά.

Ἰδοὺ ἐπεθύμησα τὰς ἐντολάς σου, ἐν τῇ δικαιοσύνῃ σου ζῆσόν με.

Καὶ ἔλθοι ἐπ᾽ ἐμὲ τὸ ἔλεός σου, κύριε, τὸ σωτήριόν σου κατὰ τὸν λόγον σου.

Καὶ ἀποκριθήσομαι τοῖς ὀνειδίζουσί μοι λόγον, ὅτι ἤλπισα ἐπὶ τοῖς λόγοις σου.

Καὶ μὴ περιέλῃς ἐκ τοῦ στόματός μου λόγον ἀληθείας ἕως σφόδρα, ὅτι ἐπὶ τοῖς κρίμασί σου ἐπήλπισα.

Καὶ φυλάξω τὸν νόμον σου διαπαντὸς, εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Καὶ ἐπορευόμην ἐν πλατυσμῷ, ὅτι τὰς ἐντολάς σου ἐξεζήτησα.

Καὶ ἐλάλουν ἐν τοῖς μαρτυρίοις σου ἐναντίον βασιλέων, καὶ οὐκ ᾐσχυνόμην.

Καὶ ἐμελέτων ἐν ταῖς ἐντολαῖς σου, αἷς ἠγάπησα σφόδρα.

Καὶ ἦρα τὰς χεῖράς μου πρὸς τὰς ἐντολάς σου ἃς ἠγάπησα, καὶ ἠδολέσχουν ἐν τοῖς δικαιώμασί σου.

Μνήσθητι τῶν λόγων σου τῷ δούλῳ σου ὧν ἐπήλπισάς με.

Αὕτη με παρεκάλεσεν ἐν τῇ ταπεινώσει μου, ὅτι τὸ λόγιόν σου ἔζησέ με.

Ὑπερήφανοι παρηνόμουν ἕως σφόδρα, ἀπὸ δὲ τοῦ νόμου σου οὐκ ἐξέκλινα.

Ἐμνήσθην τῶν κριμάτων σου ἀπ᾽ αἰῶνος κύριε, καὶ παρεκλήθην.

Ἀθυμία κατέχε με ἀπὸ ἁμαρτωλῶν τῶν ἐγκαταλιμπανόντων

σον δή.

Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου.


Εὐλογήκαμεν ὑμᾶς ἐξ οἴκου κυρίου. θεὸς κύριος καὶ ἐπέφανεν ἡμῖν.

Συστήσασθε ἑορτὴν ἐν τοῖς πυκάζουσιν, ἕως τῶν κεράτων τοῦ θυσιαστηρίου.

Θεός μου εἶ σὺ, καὶ ἐξομολογήσομαί σοι, θεός μου εἶ σὺ, καὶ ὑψώσω σε.

Ἐξομολογήσομαί σοι, ὅτι ἐπήκουσάς μου, καὶ ἐγένου μοι εἰς σωτηρίαν.

Ἐξομολογεῖσθε τῷ κυρίῳ, ὅτι ἀγαθὸς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Δόξα.



ΚΑΘΙΣΜΑ. ις´.

Ἀλληλούϊα. ριη´.

Μακάριοι ἄμωμοι ἐν ὁδῷ, οἱ πορευόμενοι ἐν νόμῳ κυρίου.

Μακάριοι οἱ ἐξερευνῶντες τὰ μαρτύρια αὐτοῦ, ἐν ὅλῃ καρδίᾳ ἐκζητήσουσιν αὐτόν.

Οὐ γὰρ οἱ ἐργαζόμενοι τὴν ἀνομίαν ἐν ταῖς ὁδοῖς αὐτοῦ ἐπορεύθησαν.

Σὺ ἐνετείλω τὰς ἐντολάς σου, τοῦ φυλάξασθαι σφόδρα.

Ὄφελον κατευθυνθείησαν αἱ ὁδοί μου, τοῦ φυλάξασθαι τὰ δικαιώματά σου.

Τότε οὐ μὴ αἰσχυνθῶ, ἐν τῷ με ἐπιβλέπειν ἐπὶ πάσας τὰς ἐντολάς σου.

Ἐξομολογήσομαί σοι ἐν εὐθύτητι καρδίας, ἐν τῷ μεμαθηκέναι τὰ κρίματα τῆς δικαιοσύνης σου.

Τὰ δικαιώματά σου φυλάξω, μή με ἐγκαταλίπῃς ἕως σφόδρα.

Ἐν τίνι κατορθώσει νεώτερος τὴν ὁδὸν αὐτοῦ; ἐν τῷ φυλάξασθαι τοὺς λόγους σου.

Ἐν ὅλῃ καρδίᾳ μου ἐξεζήτησά σε, μὴ ἀπώσῃ με ἀπὸ τῶν ἐντολῶν σου.

Ἐν τῇ καρδίᾳ μου ἔκρυψα τὰ λόγιά σου, ὅπως ἂν μὴ ἁμάρτω σοι.

Εὐλογητὸς εἶ κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Ἐν τοῖς χείλεσί μου ἐξήγγειλα πάντα τὰ κρίματα τοῦ στόματός σου, ἐν τῇ ὁδῷ τῶν μαρτυρίων σου ἐτέρφθην, ὡς ἐπὶ παντὶ πλούτῳ.

Ἐν ταῖς ἐντολαῖς σου ἀδολεσχήσω καὶ κατανοήσω τὰς ὁδούς σου.

Ἐν τοῖς δικαιώμασί σου μελετήσω, οὐκ ἐπιλήσομαι τῶν λόγων σου.

Ἀνταπόδος τῷ δούλῳ σου, ζήσομαι καὶ φυλάξω τοὺς λόγους σου.

Ἀποκάλυψον τοὺς ὀφθαλμούς μου, καὶ κατανοήσω τὰ θαυμάσια ἐκ τοῦ νόμου σου.

Πάροικος ἐγώ εἰμι ἐν τῇ γῇ, μὴ ἀποκρύψῃς ἀπ᾽ ἐμοῦ τὰς ἐντολάς σου.

Ἐπεπόθησεν ἡ ψυχή μου τοῦ ἐπιθυμῆσαι τὰ κρίματά σου ἐν παντὶ καιρῷ.

Ἐπετίμησας ὑπερηφάνοις, ἐπικατάρατοι οἱ ἐκκλίνοντες ἀπὸ τῶν ἐντολῶν σου.

Περίελε ἀπ᾽ ἐμοῦ ὄνειδος καὶ ἐξουδένωσιν, ὅτι τὰ μαρτύριά σου ἐξεζήτησα.

Καὶ γὰρ ἐκάθισαν ἄρχοντες, καὶ κατ᾽

ἐμοῦ

Σ οἰ θύσω θυσίαν αἰνέσεως, καὶ ἐν
ὀνόματι κυρίου ἐπικαλέσομαι.
Τ ὰς εὐχάς μου τῷ κυρίῳ ἀποδώσω,
ἐναντίον παντὸς τοῦ λαοῦ αὐτοῦ,
Ε ν αὐλαῖς οἴκου κυρίου ἐν μέσῳ σου
Ἱερουσαλήμ.

Ἀλληλούϊα. ριϛ΄.

Α ἰνεῖτε τὸν κύριον πάντα τὰ ἔ-
θνη, ἐπαινέσατε αὐτὸν πάντες
οἱ λαοί.
Ο τι ἐκραταιώθη τὸ ἔλεος αὐτοῦ ἐφ'
ἡμᾶς, καὶ ἡ ἀλήθεια τοῦ κυρίου μένει
εἰς τὸν αἰῶνα.

Ἀλληλούϊα. ριζ΄.

Ε ξομολογεῖσθε τῷ κυρίῳ ὅτι ἀ-
γαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔ-
λεος αὐτοῦ.
Ε ἰπάτω δὴ οἶκος Ἰσραήλ, ὅτι ἀγα-
θός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐ-
τοῦ.
Ε ἰπάτω δὴ οἶκος Ἀαρών, ὅτι ἀγα-
θός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐ-
τοῦ.
Ε ἰπάτωσαν δὴ πάντες οἱ φοβούμενοι
τὸν κύριον, ὅτι ἀγαθός, ὅτι εἰς τὸν
αἰῶνα τὸ ἔλεος αὐτοῦ.
Ε κ θλίψεως ἐπεκαλεσάμην τὸν
κύριον, καὶ ἐπήκουσέ μου εἰς πλατυσ-
μόν.
Κ ύριος ἐμοὶ βοηθός, καὶ οὐ φοβηθή-
σομαι τί ποιήσει μοι ἄνθρωπος.
Κ ύριος ἐμοὶ βοηθός, κἀγὼ ἐπιψό-
μαι τοὺς ἐχθρούς μου.
Α γαθὸν πεποιθέναι ἐπὶ κύριον, ἢ
πεποιθέναι ἐπ' ἄνθρωπον.
Α γαθὸν ἐλπίζειν ἐπὶ κύριον, ἢ ἐλ-
πίζειν ἐπ' ἄρχουσι.
Π άντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ
τῷ ὀνόματι κυρίου ἠμυνάμην αὐ-
τούς.
Κ υκλώσαντες ἐκύκλωσάν με, καὶ
τῷ ὀνόματι κυρίου ἠμυνάμην αὐ-
τούς.
Ε κύκλωσάν με ὡσεὶ μέλισσαι κη-
ρίον, καὶ ἐξεκαύθησαν ὡς πῦρ ἐν ἀ-
κάνθαις, καὶ τῷ ὀνόματι κυρίου ἠμυ-
νάμην αὐτούς.
Ω σθεὶς ἀνετράπην τοῦ πεσεῖν, καὶ ὁ
κύριος ἀντελάβετό μου.
Ι σχύς μου καὶ ὕμνησίς μου ὁ κύριος, καὶ
ἐγένετό μοι εἰς σωτηρίαν.
Φ ωνὴ ἀγαλλιάσεως καὶ σωτηρίας ἐν
σκηναῖς δικαίων.
Δ εξιὰ κυρίου ἐποίησε δύναμιν, δε-
ξιὰ κυρίου ὕψωσέ με.
Δ εξιὰ κυρίου ἐποίησε δύναμιν, οὐκ
ἀποθανοῦμαι, ἀλλὰ ζήσομαι, καὶ διη-
γήσομαι τὰ ἔργα κυρίου.
Π αιδεύων ἐπαίδευσέ με ὁ κύριος,
καὶ τῷ θανάτῳ οὐ παρέδωκέ με.
Α νοίξατέ μοι πύλας δικαιοσύνης,
εἰσελθὼν ἐν αὐταῖς ἐξομολογήσο-
μαι τῷ κυρίῳ.
Α ὕτη ἡ πύλη τοῦ κυρίου, δίκαιοι εἰ-
σελεύσονται ἐν αὐτῇ.
Ε ξομολογήσομαί σοι, ὅτι ἐπήκου-
σάς μου καὶ ἐγένου μοι εἰς σωτηρίαν.
Λ ίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδο-
μοῦντες, οὗτος ἐγενήθη εἰς κεφαλὴν
γωνίας.
Π αρὰ κυρίου ἐγένετο αὕτη, καὶ ἔστι θαυ-
μαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.
Α ὕτη ἡ ἡμέρα ἣν ἐποίησεν ὁ κύ-
ριος, ἀγαλλιασώμεθα καὶ εὐφρανθῶ-
μεν ἐν αὐτῇ.
Ω κύριε σῶσον δή, ὦ κύριε εὐόδω-

χρυσίον, ἔργα χειρῶν ἀνθρώπων.
Στόμα ἔχουσι καὶ οὐ λαλήσουσιν, ὀφθαλμοὺς ἔχουσι καὶ οὐκ ὄψονται.
Ὦτα ἔχουσι καὶ οὐκ ἀκούσονται, ῥῖνας ἔχουσι καὶ οὐκ ὀσφρανθήσονται.
Χεῖρας ἔχουσι καὶ οὐ ψηλαφήσουσι, πόδας ἔχουσι καὶ οὐ περιπατήσουσιν, οὐ φωνήσουσιν ἐν τῷ λάρυγγι αὐτῶν.
Ὅμοιοι αὐτοῖς γένοιντο οἱ ποιοῦντες αὐτὰ, καὶ πάντες οἱ πεποιθότες ἐπ᾽ αὐτοῖς.
Οἶκος Ἰσραὴλ ἤλπισεν ἐπὶ κύριον, βοηθὸς καὶ ὑπερασπιστὴς αὐτῶν ἐστιν.
Οἶκος Ἀαρὼν ἤλπισεν ἐπὶ κύριον, βοηθὸς καὶ ὑπερασπιστὴς αὐτῶν ἐστιν.
Οἱ φοβούμενοι τὸν κύριον ἤλπισαν ἐπὶ κύριον, βοηθὸς καὶ ὑπερασπιστὴς αὐτῶν ἐστι.
Κύριος μνησθεὶς ἡμῶν, εὐλόγησεν ἡμᾶς, εὐλόγησε τὸν οἶκον Ἰσραὴλ, εὐλόγησε τὸν οἶκον Ἀαρών.
Εὐλόγησε τοὺς φοβουμένους τὸν κύριον, τοὺς μικροὺς μετὰ τῶν μεγάλων.
Προσθείη κύριος ἐφ᾽ ὑμᾶς ἐφ᾽ ὑμᾶς καὶ ἐπὶ τοὺς υἱοὺς ὑμῶν.
Εὐλογημένοι ἡμεῖς τῷ κυρίῳ τῷ ποιήσαντι τὸν οὐρανὸν καὶ τὴν γῆν.
Ὁ οὐρανὸς τοῦ οὐρανοῦ τῷ κυρίῳ, τὴν δὲ γῆν ἔδωκε τοῖς υἱοῖς τῶν ἀνθρώπων.
Οὐχ οἱ νεκροὶ αἰνέσουσί σε κύριε, οὐδὲ πάντες οἱ καταβαίνοντες εἰς ᾅδου.
Ἀλλ᾽ ἡμεῖς οἱ ζῶντες εὐλογήσομεν τὸν κύριον, ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος.

Ἀλληλούια. ριδ΄.

Ἠγάπησα, ὅτι εἰσακούσεται κύριος τῆς φωνῆς δεήσεώς μου.
Ὅτι ἔκλινε τὸ οὖς αὐτοῦ ἐμοὶ, καὶ ἐν ταῖς ἡμέραις μου ἐπικαλέσομαι.
Περιέσχον με ὠδῖνες θανάτου, κίνδυνοι ᾅδου εὕροσάν με.
Θλίψιν καὶ ὀδύνην εὗρον· καὶ τὸ ὄνομα κυρίου ἐπεκαλεσάμην, ὦ κύριε ῥῦσαι τὴν ψυχήν μου.
Ἐλεήμων ὁ κύριος καὶ δίκαιος, καὶ ὁ θεὸς ἡμῶν ἐλεεῖ, φυλάσσων τὰ νήπια ὁ κύριος, ἐταπεινώθην καὶ ἔσωσέ με.
Ἐπίστρεψον ψυχή μου εἰς τὴν ἀνάπαυσίν σου, ὅτι κύριος εὐηργέτησέ σε.
Ὅτι ἐξείλετο τὴν ψυχήν μου ἐκ θανάτου, τοὺς ὀφθαλμούς μου ἀπὸ δακρύων, καὶ τοὺς πόδας μου ἀπὸ ὀλισθήματος.
Εὐαρεστήσω ἐνώπιον κυρίου ἐν χώρᾳ ζώντων. Δόξα.

Ἀλληλούια. ριε΄.

Ἐπίστευσα, διὸ ἐλάλησα, ἐγὼ δὲ ἐταπεινώθην σφόδρα.
Ἐγὼ δὲ εἶπα ἐν τῇ ἐκστάσει μου, πᾶς ἄνθρωπος ψεύστης.
Τί ἀνταποδώσω τῷ κυρίῳ περὶ πάντων ὧν ἀνταπέδωκέ μοι;
Ποτήριον σωτηρίου λήψομαι καὶ τὸ ὄνομα κυρίου ἐπικαλέσομαι.
Τὰς εὐχάς μου τῷ κυρίῳ ἀποδώσω, ἐναντίον παντὸς τοῦ λαοῦ αὐτοῦ.
Τίμιος ἐναντίον κυρίου ὁ θάνατος τῶν ὁσίων αὐτοῦ.
Ὦ κύριε ἐγὼ δοῦλος σὸς, ἐγὼ δοῦλος σὸς, καὶ υἱὸς τῆς παιδίσκης σου, διέῤῥηξας τοὺς δεσμούς μου.

αὐτοῦ, γνωρά δ᾽ ἐθέων δ᾽ ἀλογηθήσεται.

Δόξα καὶ πλοῦτος ἐν τῷ οἴκῳ αὐτοῦ, καὶ ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Ἐξανέτειλεν ἐν σκότει φῶς τοῖς εὐθέσιν ἐλεήμων καὶ οἰκτίρμων καὶ δίκαιος.

Χρηστὸς ἀνὴρ ὁ οἰκτείρων καὶ κιχρῶν, οἰκονομήσει τοὺς λόγους αὐτοῦ ἐν κρίσει, ὅτι εἰς τὸν αἰῶνα οὐ σαλευθήσεται.

Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος, ἀπὸ ἀκοῆς πονηρᾶς οὐ φοβηθήσεται.

Ἑτοίμη ἡ καρδία αὐτοῦ ἐλπίζειν ἐπὶ κύριον, ἐστήρικται ἡ καρδία αὐτοῦ, οὐ φοβηθῇ, ἕως οὗ ἐπίδῃ ἐπὶ τοὺς ἐχθροὺς αὐτοῦ.

Ἐσκόρπισεν, ἔδωκε τοῖς πένησιν, ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. τὸ κέρας αὐτοῦ ὑψωθήσεται ἐν δόξῃ.

Ἁμαρτωλὸς ὄψεται καὶ ὀργισθήσεται, τοὺς ὀδόντας αὐτοῦ βρύξει καὶ τακήσεται. ἐπιθυμία ἁμαρτωλοῦ ἀπολεῖται. Δόξα.

Ἀλληλούια. ριϚ.

Αἰνεῖτε παῖδες κύριον, αἰνεῖτε τὸ ὄνομα κυρίου.

Εἴη τὸ ὄνομα κυρίου εὐλογημένον ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος.

Ἀπὸ ἀνατολῶν ἡλίου μέχρι δυσμῶν, αἰνετὸν τὸ ὄνομα κυρίου.

Ὑψηλὸς ἐπὶ πάντα τὰ ἔθνη ὁ κύριος, ἐπὶ τοὺς οὐρανοὺς ἡ δόξα αὐτοῦ.

Τίς ὡς κύριος ὁ θεὸς ἡμῶν; ὁ ἐν ὑψηλοῖς κατοικῶν, καὶ τὰ ταπεινὰ ἐφορῶν

Ἐν τῷ οὐρανῷ, καὶ ἐν τῇ γῇ; ὁ ἐγείρων ἀπὸ γῆς πτωχὸν, καὶ ἀπὸ κοπρίας ἀνυψῶν πένητα.

Τοῦ καθίσαι αὐτὸν μετὰ ἀρχόντων, μετὰ ἀρχόντων λαοῦ αὐτοῦ.

Ὁ κατοικίζων στεῖραν ἐν οἴκῳ, μητέρα ἐπὶ τέκνοις εὐφραινομένην.

Ἀλληλούια. ριζ.

Ἐν ἐξόδῳ Ἰσραὴλ ἐξ Αἰγύπτου, οἴκου Ἰακὼβ ἐκ λαοῦ βαρβάρου.

Ἐγενήθη Ἰουδαία ἁγίασμα αὐτοῦ, Ἰσραὴλ ἐξουσία αὐτοῦ.

Ἡ θάλασσα εἶδε καὶ ἔφυγεν, ὁ Ἰορδάνης ἐστράφη εἰς τὰ ὀπίσω.

Τὰ ὄρη ἐσκίρτησαν ὡσεὶ κριοὶ, καὶ οἱ βουνοὶ ὡς ἀρνία προβάτων.

Τί σοι ἐστὶ θάλασσα ὅτι ἔφυγες; καὶ σὺ Ἰορδάνη ὅτι ἐστράφης εἰς τὰ ὀπίσω;

Τὰ ὄρη ὅτι σκιρτήσατε ὡσεὶ κριοὶ, καὶ οἱ βουνοὶ ὡς ἀρνία προβάτων;

Ἀπὸ προσώπου κυρίου ἐσαλεύθη ἡ γῆ, ἀπὸ προσώπου τοῦ θεοῦ Ἰακώβ.

Τοῦ στρέψαντος τὴν πέτραν εἰς λίμνας ὑδάτων, καὶ τὴν ἀκρότομον εἰς πηγὰς ὑδάτων.

Μὴ ἡμῖν κύριε μὴ ἡμῖν, ἀλλ᾽ ἢ τῷ ὀνόματί σου δὸς δόξαν,

Ἐπὶ τῷ ἐλέει σου καὶ τῇ ἀληθείᾳ σου. μήποτε εἴπωσι τὰ ἔθνη, ποῦ ἐστιν ὁ θεὸς αὐτῶν;

Ὁ δὲ θεὸς ἡμῶν ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ, πάντα ὅσα ἠθέλησεν ἐποίησε.

Τὰ εἴδωλα τῶν ἐθνῶν, ἀργύριον καὶ χρυ-

Ἐξομολογήσομαι τῷ κυρίῳ σφόδρα ἐν τῷ στόματί μου, καὶ ἐν μέσῳ πολλῶν αἰνέσω αὐτόν.

Ὅτι παρέστη ἐκ δεξιῶν πένητος, τοῦ σῶσαι ἐκ τῶν καταδιωκόντων τὴν ψυχήν μου.

Δόξα.



ΚΑΘΙΣΜΑ. ιϛ´.

Ψαλμὸς τῷ Δαβίδ. ρθ´.

Εἶπεν ὁ κύριος τῷ κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου, ὑποπόδιον τῶν ποδῶν σου.

Ῥάβδον δυνάμεως ἐξαποστελεῖ σοι κύριος ἐκ Σιών, κατακυρίευε ἐν μέσῳ τῶν ἐχθρῶν σου.

Μετὰ σοῦ ἡ ἀρχὴ ἐν ἡμέρᾳ τῆς δυνάμεώς σου, ἐν ταῖς λαμπρότησι τῶν ἁγίων σου.

Ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε. ὤμοσε κύριος καὶ οὐ μεταμεληθήσεται.

Σὺ ἱερεὺς εἰς τὸν αἰῶνα, κατὰ τὴν τάξιν Μελχισεδέκ.

Κύριος ἐκ δεξιῶν σου συνέθλασεν ἐν ἡμέρᾳ ὀργῆς αὐτοῦ βασιλεῖς.

Κρινεῖ ἐν τοῖς ἔθνεσι, πληρώσει πτώματα, συνθλάσει κεφαλὰς ἐπὶ γῆς πολλῶν.

Ἐκ χειμάῤῥου ἐν ὁδῷ πίεται, διὰ τοῦτο ὑψώσει κεφαλήν.

Ἀλληλούϊα. ρι´.

Ἐξομολογήσομαί σοι κύριε ἐν ὅλῃ καρδίᾳ μου, ἐν βουλῇ εὐθέων καὶ συναγωγῇ.

Μεγάλα τὰ ἔργα κυρίου, ἐξεζητημένα εἰς πάντα τὰ θελήματα αὐτοῦ.

Ἐξομολόγησις καὶ μεγαλοπρέπεια τὸ ἔργον αὐτοῦ, καὶ ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Μνείαν ἐποιήσατο τῶν θαυμασίων αὐτοῦ,

Ἐλεήμων καὶ οἰκτίρμων ὁ κύριος, τροφὴν ἔδωκε τοῖς φοβουμένοις αὐτόν.

Μνησθήσεται εἰς τὸν αἰῶνα διαθήκης αὐτοῦ. ἰσχὺν ἔργων αὐτοῦ ἀνήγγειλε τῷ λαῷ αὐτοῦ,

Τοῦ δοῦναι αὐτοῖς κληρονομίαν ἐθνῶν. ἔργα χειρῶν αὐτοῦ, ἀλήθεια καὶ κρίσις.

Πισταὶ πᾶσαι αἱ ἐντολαὶ αὐτοῦ, ἐστηριγμέναι εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, πεποιημέναι ἐν ἀληθείᾳ καὶ εὐθύτητι.

Λύτρωσιν ἀπέστειλε τῷ λαῷ αὐτοῦ. ἐνετείλατο εἰς τὸν αἰῶνα διαθήκην αὐτοῦ, ἅγιον καὶ φοβερὸν τὸ ὄνομα αὐτοῦ.

Ἀρχὴ σοφίας φόβος κυρίου, σύνεσις δὲ ἀγαθὴ πᾶσι τοῖς ποιοῦσιν αὐτήν.

Ἡ αἴνεσις αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Ἀλληλούϊα. ρια´.

Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν κύριον, ἐν ταῖς ἐντολαῖς αὐτοῦ θελήσει σφόδρα.

Δυνατὸν ἐν τῇ γῇ ἔσται τὸ σπέρμα αὐτοῦ,

ἀγαπήσεώς μου.

Κατάστησον ἐπ' αὐτὸν ἁμαρτωλὸν, καὶ διάβολος στήτω ἐκ δεξιῶν αὐτοῦ.

Ἐν τῷ κρίνεσθαι αὐτὸν, ἐξέλθοι καταδεδικασμένος, καὶ ἡ προσευχὴ αὐτοῦ γενέσθω εἰς ἁμαρτίαν.

Γενηθήτωσαν αἱ ἡμέραι αὐτοῦ ὀλίγαι, καὶ τὴν ἐπισκοπὴν αὐτοῦ λάβοι ἕτερος.

Γενηθήτωσαν οἱ υἱοὶ αὐτοῦ ὀρφανοὶ, καὶ ἡ γυνὴ αὐτοῦ χήρα.

Σαλευόμενοι μετανασθήτωσαν οἱ υἱοὶ αὐτοῦ, καὶ ἐπαιτησάτωσαν, ἐκβληθήτωσαν ἐκ τῶν οἰκοπέδων αὐτῶν.

Ἐξερευνησάτω δανειστὴς πάντα ὅσα ὑπάρχει αὐτῷ, καὶ διαρπασάτωσαν ἀλλότριοι τοὺς πόνους αὐτοῦ.

Μὴ ὑπαρξάτω αὐτῷ ἀντιλήπτωρ, μηδὲ γενηθήτω οἰκτίρμων τοῖς ὀρφανοῖς αὐτοῦ.

Γενηθήτω τὰ τέκνα αὐτοῦ εἰς ἐξολόθρευσιν, ἐν γενεᾷ μιᾷ ἐξαλειφθείη τὸ ὄνομα αὐτοῦ.

Ἀναμνησθείη ἡ ἀνομία τῶν πατέρων αὐτοῦ ἔναντι κυρίου, καὶ ἡ ἁμαρτία τῆς μητρὸς αὐτοῦ μὴ ἐξαλειφθείη.

Γενηθήτωσαν ἐναντίον κυρίου διαπαντὸς, καὶ ἐξολοθρευθείη ἐκ γῆς τὸ μνημόσυνον αὐτῶν.

Ἀνθ' ὧν οὐκ ἐμνήσθη ποιῆσαι ἔλεος, καὶ κατεδίωξεν ἄνθρωπον πένητα καὶ πτωχὸν, καὶ κατανενυγμένον τῇ καρδίᾳ τοῦ θανατῶσαι.

Καὶ ἠγάπησε κατάραν καὶ ἥξει αὐτῷ, καὶ οὐκ ἠθέλησεν εὐλογίαν, καὶ μακρυνθήσεται ἀπ' αὐτοῦ.

Καὶ ἐνεδύσατο κατάραν ὡς ἱμάτιον, καὶ εἰσῆλθεν ὡσεὶ ὕδωρ εἰς τὰ ἔγκατα αὐτοῦ, καὶ ὡσεὶ ἔλαιον ἐν τοῖς ὀστέοις αὐτοῦ.

Γενηθήτω αὐτῷ ὡς ἱμάτιον ὃ περιβάλλεται, καὶ ὡσεὶ ζώνη ἣν διαπαντὸς περιζώννυται.

Τοῦτο τὸ ἔργον τῶν ἐνδιαβαλλόντων με παρὰ κυρίου, καὶ τῶν λαλούντων πονηρὰ κατὰ τῆς ψυχῆς μου.

Καὶ σὺ κύριε κύριε ποίησον μετ' ἐμοῦ, ἕνεκεν τοῦ ὀνόματός σου, ὅτι χρηστὸν τὸ ἔλεός σου.

Ῥῦσαί με ὅτι πτωχὸς καὶ πένης εἰμὶ ἐγὼ, καὶ ἡ καρδία μου τετάρακται ἐντός μου.

Ὡσεὶ σκιὰ ἐν τῷ ἐκκλῖναι αὐτὴν ἀντανῃρέθην, ἐξετινάχθην ὡσεὶ ἀκρίδες.

Τὰ γόνατά μου ἠσθένησαν ἀπὸ νηστείας, καὶ ἡ σάρξ μου ἠλλοιώθη δι' ἔλαιον.

Κἀγὼ ἐγενήθην ὄνειδος αὐτοῖς, εἴδοσάν με, ἐσάλευσαν κεφαλὰς αὐτῶν.

Βοήθησόν μοι κύριε ὁ θεός μου, καὶ σῶσόν με κατὰ τὸ ἔλεός σου.

Καὶ γνώτωσαν ὅτι ἡ χείρ σου αὕτη, καὶ σὺ κύριε ἐποίησας αὐτήν.

Καταράσονται αὐτοὶ, καὶ σὺ εὐλογήσεις.

Οἱ ἐπανιστάμενοί μοι αἰσχυνθήτωσαν, ὁ δὲ δοῦλός σου εὐφρανθήσεται.

Ἐνδυσάσθωσαν οἱ ἐνδιαβάλλοντές με ἐντροπὴν, καὶ περιβαλέσθωσαν ὡς διπλοΐδα αἰσχύνην αὐτῶν.

Καὶ κατῴκισεν ἐκεῖ πεινῶντας, καὶ συνεστήσαντο πόλεις κατοικεσίας.

Καὶ ἔσπειραν ἀγροὺς, καὶ ἐφύτευσαν ἀμπελῶνας, καὶ ἐποίησαν καρπὸν γεννήματος.

Καὶ εὐλόγησεν αὐτοὺς, καὶ ἐπληθύνθησαν σφόδρα, καὶ τὰ κτήνη αὐτῶν οὐκ ἐσμίκρυνε.

Καὶ ὠλιγώθησαν καὶ ἐκακώθησαν ἀπὸ θλίψεως κακῶν καὶ ὀδύνης.

Ἐξεχύθη ἐξουδένωσις ἐπ' ἄρχοντας αὐτῶν, καὶ ἐπλάνησεν αὐτοὺς ἐν ἀβάτῳ καὶ οὐχ ὁδῷ.

Καὶ ἐβοήθησε πένητι ἐκ πτωχείας, καὶ ἔθετο ὡς πρόβατα πατριάς.

Ὄψονται εὐθεῖς καὶ εὐφρανθήσονται, καὶ πᾶσα ἀνομία ἐμφράξει τὸ στόμα αὐτῆς.

Τίς σοφὸς καὶ φυλάξει ταῦτα, καὶ συνήσει τὰ ἐλέη τοῦ κυρίου;

Δόξα.

Ὠδὴ ψαλμοῦ τῷ Δαβίδ. ρζʹ.

Ἑτοίμη ἡ καρδία μου ὁ θεὸς, ἑτοίμη ἡ καρδία μου, ᾄσομαι καὶ ψαλῶ ἐν τῇ δόξῃ μου.

Ἐξεγέρθητι ἡ δόξα μου, ἐξεγέρθητι ψαλτήριον καὶ κιθάρα, ἐξεγερθήσομαι ὄρθρου.

Ἐξομολογήσομαί σοι ἐν λαοῖς κύριε, ψαλῶ σοι ἐν ἔθνεσιν.

Ὅτι μέγα ἐπάνω τῶν οὐρανῶν τὸ ἔλεός σου, καὶ ἕως τῶν νεφελῶν ἡ ἀλήθειά σου.

Ὑψώθητι ἐπὶ τοὺς οὐρανοὺς ὁ θεὸς, καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σου.

Ὅπως ἂν ῥυσθῶσιν οἱ ἀγαπητοί σου, σῶσον τῇ δεξιᾷ σου καὶ ἐπάκουσόν μου.

Ὁ θεὸς ἐλάλησεν ἐν τῷ ἁγίῳ αὐτοῦ, ὑψωθήσομαι καὶ διαμεριῶ σίκιμα, καὶ τὴν κοιλάδα τῶν σκηνῶν διαμετρήσω.

Ἐμός ἐστι Γαλαὰδ καὶ ἐμός ἐστι Μανασσῆς, καὶ Ἐφραῒμ ἀντίληψις τῆς κεφαλῆς μου.

Ἰούδας βασιλεύς μου, Μωὰβ λέβης τῆς ἐλπίδος μου.

Ἐπὶ τὴν Ἰδουμαίαν ἐπιβαλῶ τὸ ὑπόδημά μου, ἐμοὶ ἀλλόφυλοι ὑπετάγησαν.

Τίς ἀπάξει με εἰς πόλιν περιοχῆς; ἢ τίς ὁδηγήσει με ἕως τῆς Ἰδουμαίας;

Οὐχὶ σὺ ὁ θεὸς ὁ ἀπωσάμενος ἡμᾶς; καὶ οὐκ ἐξελεύσῃ ὁ θεὸς ἐν ταῖς δυνάμεσιν ἡμῶν;

Δὸς ἡμῖν βοήθειαν ἐκ θλίψεως, καὶ ματαία σωτηρία ἀνθρώπου.

Ἐν τῷ θεῷ ποιήσωμεν δύναμιν, καὶ αὐτὸς ἐξουδενώσει τοὺς ἐχθροὺς ἡμῶν.

Εἰς τὸ τέλος ψαλμὸς τῷ Δαβίδ. ρηʹ.

Ὁ θεὸς τὴν αἴνεσίν μου μὴ παρασιωπήσῃς, ὅτι στόμα ἁμαρτωλοῦ καὶ στόμα δολίου ἐπ' ἐμὲ ἠνοίχθη.

Ἐλάλησαν κατ' ἐμοῦ γλώσσῃ δολίᾳ, καὶ λόγοις μίσους ἐκύκλωσάν με, καὶ ἐπολέμησάν με δωρεάν.

Ἀντὶ τοῦ ἀγαπᾶν με, ἐνδιέβαλλόν με, ἐγὼ δὲ προσηυχόμην.

Καὶ ἔθεντο κατ' ἐμοῦ κακὰ ἀντὶ ἀγαθῶν, καὶ μῖσος ἀντὶ τῆς

ἀγα-

Ὅτι ἐχόρτασε ψυχὴν κενὴν, καὶ πεινῶσαν ἐνέπλησεν ἀγαθῶν.

Καθημένους ἐν σκότει καὶ σκιᾷ θανάτου, πεπεδημένους ἐν πτωχείᾳ καὶ σιδήρῳ.

Ὅτι παρεπίκραναν τὰ λόγια τοῦ θεοῦ, ϗ τὴν βουλὴν τοῦ ὑψίστου παρώξυναν.

Καὶ ἐταπεινώθη ἐν κόποις ἡ καρδία αὐτῶν, ἠσθένησαν καὶ οὐκ ἦν ὁ βοηθῶν.

Καὶ ἐκέκραξαν πρὸς κύριον ἐν τῷ θλίβεσθαι αὐτοὺς, ϗ ἐκ τῶν ἀναγκῶν αὐτῶν ἔσωσεν αὐτούς.

Καὶ ἐξήγαγεν αὐτοὺς ἐκ σκότους ϗ σκιᾶς θανάτου, ϗ τοὺς δεσμοὺς αὐτῶν διέρρηξεν.

Ἐξομολογησάσθωσαν τῷ κυρίῳ τὰ ἐλέη αὐτοῦ, καὶ τὰ θαυμάσια αὐτοῦ τοῖς υἱοῖς τῶν ἀνθρώπων.

Ὅτι συνέτριψε πύλας χαλκᾶς, καὶ μοχλοὺς σιδηροῦς συνέθλασε.

Ἀντελάβετο αὐτῶν ἐξ ὁδοῦ ἀνομίας αὐτῶν, διὰ γὰρ τὰς ἀνομίας αὐτῶν ἐταπεινώθησαν.

Πᾶν βρῶμα ἐβδελύξατο ἡ ψυχὴ αὐτῶν, ϗ ἤγγισαν ἕως τῶν πυλῶν τοῦ θανάτου.

Καὶ ἐκέκραξαν πρὸς κύριον ἐν τῷ θλίβεσθαι αὐτοὺς, ϗ ἐκ τῶν ἀναγκῶν αὐτῶν ἔσωσεν αὐτούς.

Ἀπέστειλε τὸν λόγον αὐτοῦ, ϗ ἰάσατο αὐτοὺς, ϗ ἐῤῥύσατο αὐτοὺς ἐκ τῶν διαφθορῶν αὐτῶν.

Ἐξομολογησάσθωσαν τῷ κυρίῳ τὰ ἐλέη αὐτοῦ, ϗ τὰ θαυμάσια αὐτοῦ τοῖς υἱοῖς τῶν ἀνθρώπων.

Καὶ θυσάτωσαν αὐτῷ θυσίαν αἰνέσεως, ϗ ἐξαγγειλάτωσαν τὰ ἔργα αὐτοῦ ἐν ἀγαλλιάσει.

Οἱ καταβαίνοντες εἰς θάλασσαν ἐν πλοίοις, ποιοῦντες ἐργασίαν ἐν ὕδασι πολλοῖς.

Αὐτοὶ εἶδον τὰ ἔργα κυρίου, ϗ τὰ θαυμάσια αὐτοῦ ἐν τῷ βυθῷ.

Εἶπε, ϗ ἔστη πνεῦμα καταιγίδος, καὶ ὑψώθη τὰ κύματα αὐτῆς.

Ἀναβαίνουσιν ἕως τῶν οὐρανῶν, καὶ καταβαίνουσιν ἕως τῶν ἀβύσσων.

Ἡ ψυχὴ αὐτῶν ἐν κακοῖς ἐτήκετο, ἐταράχθησαν, ἐσαλεύθησαν ὡς ὁ μεθύων, ϗ πᾶσα ἡ σοφία αὐτῶν κατεπόθη.

Καὶ ἐκέκραξαν πρὸς κύριον ἐν τῷ θλίβεσθαι αὐτοὺς, ϗ ἐκ τῶν ἀναγκῶν αὐτῶν ἐξήγαγεν αὐτούς.

Καὶ ἐπέταξε τῇ καταιγίδι, καὶ ἔστη εἰς αὔραν, ϗ ἐσίγησαν τὰ κύματα αὐτῆς.

Καὶ εὐφράνθησαν, ὅτι ἡσύχασαν, ϗ ὡδήγησεν αὐτοὺς ἐπὶ λιμένα θελήματος αὐτῶν.

Ἐξομολογησάσθωσαν τῷ κυρίῳ τὰ ἐλέη αὐτοῦ, ϗ τὰ θαυμάσια αὐτοῦ τοῖς υἱοῖς τῶν ἀνθρώπων.

Ὑψωσάτωσαν αὐτὸν ἐν ἐκκλησίᾳ λαοῦ, ϗ ἐν καθέδρᾳ πρεσβυτέρων αἰνεσάτωσαν αὐτόν.

Ἔθετο ποταμοὺς εἰς ἔρημον, ϗ διεξόδους ὑδάτων εἰς δίψαν.

Γῆν καρποφόρον εἰς ἅλμην, ἀπὸ κακίας τῶν κατοικούντων ἐν αὐτῇ.

Ἔθετο ἔρημον εἰς λίμνας ὑδάτων, καὶ γῆν ἄνυδρον εἰς διεξόδους ὑδάτων.

Ὅτι παρεπίκραναν τὸ πνεῦμα αὐτοῦ, καὶ διέστειλεν ἐν τοῖς χείλεσιν αὐτοῦ.

Οὐκ ἐξωλόθρευσαν τὰ ἔθνη ἃ εἶπε κύριος αὐτοῖς, καὶ ἐμίγησαν ἐν τοῖς ἔθνεσι καὶ ἔμαθον τὰ ἔργα αὐτῶν.

Καὶ ἐδούλευσαν τοῖς γλυπτοῖς αὐτῶν, καὶ ἐγενήθη αὐτοῖς εἰς σκάνδαλον.

Καὶ ἔθυσαν τοὺς υἱοὺς αὐτῶν, καὶ τὰς θυγατέρας αὐτῶν τοῖς δαιμονίοις,

Καὶ ἐξέχεαν αἷμα ἀθῷον, αἷμα υἱῶν αὐτῶν καὶ θυγατέρων, ὧν ἔθυσαν τοῖς γλυπτοῖς Χαναάν.

Καὶ ἐφονοκτονήθη ἡ γῆ ἐν τοῖς αἵμασι, καὶ ἐμιάνθη ἐν τοῖς ἔργοις αὐτῶν.

Καὶ ἐπόρνευσαν ἐν τοῖς ἐπιτηδεύμασιν αὐτῶν.

Καὶ ὠργίσθη θυμῷ κύριος ἐπὶ τὸν λαὸν αὐτοῦ, καὶ ἐβδελύξατο τὴν κληρονομίαν αὐτοῦ.

Καὶ παρέδωκεν αὐτοὺς εἰς χεῖρας ἐχθρῶν, καὶ ἐκυρίευσαν αὐτῶν οἱ μισοῦντες αὐτούς.

Καὶ ἔθλιψαν αὐτοὺς οἱ ἐχθροὶ αὐτῶν, καὶ ἐταπεινώθησαν ὑπὸ τὰς χεῖρας αὐτῶν.

Πλεονάκις ἐρρύσατο αὐτούς, αὐτοὶ δὲ παρεπίκραναν αὐτὸν ἐν τῇ βουλῇ αὐτῶν.

Καὶ ἐταπεινώθησαν ἐν ταῖς ἀνομίαις αὐτῶν.

Καὶ εἶδε κύριος ἐν τῷ θλίβεσθαι αὐτούς, ἐν τῷ αὐτὸν εἰσακοῦσαι τῆς δεήσεως αὐτῶν.

Καὶ ἐμνήσθη τῆς διαθήκης αὐτοῦ, καὶ μετεμελήθη κατὰ τὸ πλῆθος τοῦ ἐλέους αὐτοῦ.

Καὶ ἔδωκεν αὐτοὺς εἰς οἰκτιρμοὺς ἐναντίον πάντων τῶν αἰχμαλωτευσάντων αὐτούς.

Σῶσον ἡμᾶς κύριε ὁ θεὸς ἡμῶν, καὶ ἐπισυνάγαγε ἡμᾶς ἐκ τῶν ἐθνῶν.

Τοῦ ἐξομολογήσασθαι τῷ ὀνόματί σου τῷ ἁγίῳ, τοῦ ἐγκαυχᾶσθαι ἐν τῇ αἰνέσει σου.

Εὐλογητὸς κύριος ὁ θεὸς Ἰσραήλ, ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος, καὶ ἐρεῖ πᾶς ὁ λαὸς γένοιτο γένοιτο.

Δόξα.

Ἀλληλούϊα. ρϛ΄.

Ἐξομολογεῖσθε τῷ κυρίῳ, ὅτι χρηστός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

Εἰπάτωσαν οἱ λελυτρωμένοι ὑπὸ κυρίου, οὓς ἐλυτρώσατο ἐκ χειρὸς ἐχθροῦ, καὶ ἐκ τῶν χωρῶν συνήγαγεν αὐτούς.

Ἀπὸ ἀνατολῶν, καὶ δυσμῶν, καὶ βορρᾶ, καὶ θαλάσσης, ἐπλανήθησαν ἐν τῇ ἐρήμῳ ἐν ἀνύδρῳ.

Ὁδὸν πόλεως κατοικητηρίου οὐχ εὗρον πεινῶντες καὶ διψῶντες, ἡ ψυχὴ αὐτῶν ἐν αὐτοῖς ἐξέλιπε.

Καὶ ἐκέκραξαν πρὸς κύριον ἐν τῷ θλίβεσθαι αὐτούς, καὶ ἐκ τῶν ἀναγκῶν αὐτῶν ἐρρύσατο αὐτούς.

Καὶ ὡδήγησεν αὐτοὺς εἰς ὁδὸν εὐθεῖαν, τοῦ πορευθῆναι εἰς πόλιν κατοικητηρίου.

Ἐξομολογησάσθωσαν τῷ κυρίῳ τὰ ἐλέη αὐτοῦ, καὶ τὰ θαυμάσια αὐτοῦ τοῖς υἱοῖς τῶν ἀνθρώπων.

Ἡμάρτομεν μετὰ τῶν πατέρων ἡμῶν, ἠνομήσαμεν, ἠδικήσαμεν.

Οἱ πατέρες ἡμῶν ἐν Αἰγύπτῳ οὐ συνῆκαν τὰ θαυμάσιά σου, καὶ οὐκ ἐμνήσθησαν τοῦ πλήθους τοῦ ἐλέους σου.

Καὶ παρεπίκραναν ἀναβαίνοντες ἐν τῇ ἐρυθρᾷ θαλάσσῃ. καὶ ἔσωσεν αὐτοὺς ἕνεκεν τοῦ ὀνόματος αὐτοῦ,

Τοῦ γνωρίσαι τὴν δυναστείαν αὐτοῦ. καὶ ἐπετίμησε τῇ ἐρυθρᾷ θαλάσσῃ, καὶ ἐξηράνθη.

Καὶ ὡδήγησεν αὐτοὺς ἐν ἀβύσσῳ ὡς ἐν ἐρήμῳ, καὶ ἔσωσεν αὐτοὺς ἐκ χειρὸς μισούντων,

Καὶ ἐλυτρώσατο αὐτοὺς ἐκ χειρὸς ἐχθροῦ.

Ἐκάλυψεν ὕδωρ τοὺς θλίβοντας αὐτούς, εἷς ἐξ αὐτῶν οὐχ ὑπελείφθη.

Καὶ ἐπίστευσαν τοῖς λόγοις αὐτοῦ, καὶ ᾖνεσαν τὴν αἴνεσιν αὐτοῦ.

Ἐτάχυναν, ἐπελάθοντο τῶν ἔργων αὐτοῦ, οὐχ ὑπέμειναν τὴν βουλὴν αὐτοῦ.

Καὶ ἐπεθύμησαν ἐπιθυμίαν ἐν τῇ ἐρήμῳ, καὶ ἐπείρασαν τὸν θεὸν ἐν ἀνύδρῳ.

Καὶ ἔδωκεν αὐτοῖς τὸ αἴτημα αὐτῶν, καὶ ἐξαπέστειλε πλησμονὴν εἰς τὴν ψυχὴν αὐτῶν.

Καὶ παρώργισαν Μωϋσῆν ἐν τῇ παρεμβολῇ, καὶ Ἀαρὼν τὸν ἅγιον κυρίου.

Ἠνοίχθη ἡ γῆ καὶ κατέπιε Δαθάν, καὶ ἐκάλυψεν ἐπὶ τὴν συναγωγὴν Ἀβειρών.

Καὶ ἐξεκαύθη πῦρ ἐν τῇ συναγωγῇ αὐτῶν, καὶ φλὸξ κατέφλεξεν ἁμαρτωλούς.

Καὶ ἐποίησαν μόσχον ἐν Χωρήβ, καὶ προσεκύνησαν τῷ γλυπτῷ.

Καὶ ἠλλάξαντο τὴν δόξαν αὐτῶν, ἐν ὁμοιώματι μόσχου ἐσθίοντος χόρτον.

Ἐπελάθοντο τοῦ θεοῦ τοῦ σώζοντος αὐτούς, τοῦ ποιήσαντος μεγάλα ἐν Αἰγύπτῳ,

Θαυμαστὰ ἐν γῇ Χάμ, καὶ φοβερὰ ἐπὶ θαλάσσης ἐρυθρᾶς.

Καὶ εἶπε τοῦ ἐξολοθρεῦσαι αὐτούς, εἰ μὴ Μωϋσῆς ὁ ἐκλεκτὸς αὐτοῦ ἔστη ἐν τῇ θραύσει ἐνώπιον αὐτοῦ, τοῦ ἀποστρέψαι ἀπὸ θυμοῦ ὀργῆς αὐτοῦ, τοῦ μὴ ἐξολοθρεῦσαι.

Καὶ ἐξουδένωσαν γῆν ἐπιθυμητήν, καὶ οὐκ ἐπίστευσαν τῷ λόγῳ αὐτοῦ.

Καὶ ἐγόγγυσαν ἐν τοῖς σκηνώμασιν αὐτῶν, οὐκ εἰσήκουσαν τῆς φωνῆς κυρίου.

Καὶ ἐπῆρε τὴν χεῖρα αὐτοῦ ἐπ' αὐτούς, τοῦ καταβαλεῖν αὐτοὺς ἐν τῇ ἐρήμῳ,

Καὶ τοῦ καταβαλεῖν τὸ σπέρμα αὐτῶν ἐν τοῖς ἔθνεσι, καὶ διασκορπίσαι αὐτοὺς ἐν ταῖς χώραις.

Καὶ ἐτελέσθησαν τῷ Βεελφεγώρ, καὶ ἔφαγον θυσίας νεκρῶν.

Καὶ παρώξυναν αὐτὸν ἐν τοῖς ἐπιτηδεύμασιν αὐτῶν, καὶ ἐπληθύνθη ἐν αὐτοῖς ἡ πτῶσις.

Καὶ ἔστη Φινεὲς καὶ ἐξιλάσατο, καὶ ἐκόπασεν ἡ θραῦσις. καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην, εἰς γενεὰν καὶ γενεὰν ἕως τοῦ αἰῶνος.

Καὶ παρώργισαν αὐτὸν ἐπὶ ὕδατος ἀντιλογίας, καὶ ἐκακώθη Μωϋσῆς δι' αὐτούς.

Ἔθετο ἐν αὐτοῖς τοὺς λόγους τῶν σημείων αὐτοῦ, καὶ τῶν τεράτων ἐν γῇ Χάμ.

Ἐξαπέστειλε σκότος καὶ ἐσκότασε, καὶ παρεπίκραναν τοὺς λόγους αὐτοῦ.

Μετέστρεψε τὰ ὕδατα αὐτῶν εἰς αἷμα, καὶ ἀπέκτεινε τοὺς ἰχθύας αὐτῶν.

Ἐξῆρψεν ἡ γῆ αὐτῶν βατράχους, ἐν τοῖς ταμείοις τῶν βασιλέων αὐτῶν.

Εἶπε καὶ ἦλθε κυνόμυια, καὶ σκνῖπες ἐν πᾶσι τοῖς ὁρίοις αὐτῶν.

Ἔθετο τὰς βροχὰς αὐτῶν χάλαζαν, πῦρ καταφλέγον ἐν τῇ γῇ αὐτῶν.

Καὶ ἐπάταξε τὰς ἀμπέλους αὐτῶν καὶ τὰς συκᾶς αὐτῶν, καὶ συνέτριψε πᾶν ξύλον ὁρίου αὐτῶν.

Εἶπε καὶ ἦλθεν ἀκρὶς, καὶ βροῦχος οὗ οὐκ ἦν ἀριθμός.

Καὶ κατέφαγε πάντα τὸν χόρτον ἐν τῇ γῇ αὐτῶν, καὶ κατέφαγε πάντα τὸν καρπὸν τῆς γῆς αὐτῶν,

Καὶ ἐπάταξε πᾶν πρωτότοκον ἐν τῆς γῆς αὐτῶν, ἀπαρχὴν παντὸς πόνου αὐτῶν.

Καὶ ἐξήγαγεν αὐτοὺς ἐν ἀργυρίῳ καὶ χρυσίῳ, καὶ οὐκ ἦν ἐν ταῖς φυλαῖς αὐτῶν ὁ ἀσθενῶν.

Εὐφράνθη Αἴγυπτος ἐν τῇ ἐξόδῳ αὐτῶν, ὅτι ἐπέπεσεν ὁ φόβος αὐτῶν ἐπ' αὐτούς.

Διεπέτασε νεφέλην εἰς σκέπην αὐτοῖς, καὶ πῦρ τοῦ φωτίσαι αὐτοῖς τὴν νύκτα.

Ἤτησαν καὶ ἦλθεν ὀρτυγομήτρα καὶ ἄρτον οὐρανοῦ ἐνέπλησεν αὐτούς.

Διέῤῥηξε πέτραν, καὶ ἐῤῥύησαν ὕδατα, ἐπορεύθησαν ἐν ἀνύδροις ποταμοί.

Ὅτι ἐμνήσθη τοῦ λόγου τοῦ ἁγίου αὐτοῦ, τοῦ πρὸς Ἀβραὰμ τὸν δοῦλον αὐτοῦ.

Καὶ ἐξήγαγε τὸν λαὸν αὐτοῦ ἐν ἀγαλλιάσει, καὶ τοὺς ἐκλεκτοὺς αὐτοῦ ἐν εὐφροσύνῃ.

Καὶ ἔδωκεν αὐτοῖς χώρας ἐθνῶν, καὶ πόνους λαῶν ἐκληρονόμησαν.

Ὅπως ἂν φυλάξωσι τὰ δικαιώματα αὐτοῦ, καὶ τὸν νόμον αὐτοῦ ἐκζητήσωσιν. Δόξα.



ΚΑΘΙΣΜΑ. ιδ´.

Ἀλληλούϊα. ρε´.

Ἐξομολογεῖσθε τῷ κυρίῳ ὅτι χρηστὸς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

Τίς λαλήσει τὰς δυναστείας τοῦ κυρίου, ἀκουστὰς ποιήσει πάσας τὰς αἰνέσεις αὐτοῦ;

Μακάριοι οἱ φυλάσσοντες κρίσιν, καὶ ποιοῦντες δικαιοσύνην ἐν παντὶ καιρῷ.

Μνήσθητι ἡμῶν κύριε ἐν τῇ εὐδοκίᾳ τοῦ λαοῦ σου, ἐπίσκεψαι ἡμᾶς ἐν τῷ σωτηρίῳ σου.

Τοῦ ἰδεῖν ἐν τῇ χρηστότητι τῶν ἐκλεκτῶν σου, τοῦ εὐφρανθῆναι ἐν τῇ εὐφροσύνῃ τοῦ ἔθνους σου, τοῦ ἐπαινεῖσθαι μετὰ τῆς κληρονομίας σου.

Ἡμάρ-

ἐγὼ δὲ εὐφρανθήσομαι ἐπὶ τῷ κυρίῳ.

Ἐκλείποισαν ἁμαρτωλοὶ ἀπὸ τῆς γῆς καὶ ἄνομοι ὥστε μὴ ὑπάρχειν αὐτούς. εὐλόγει ἡ ψυχή μου τὸν κύριον.

Δόξα. Ἀλληλούϊα ρδʹ.

Ἐξομολογεῖσθε τῷ κυρίῳ, καὶ ἐπικαλεῖσθε τὸ ὄνομα αὐτοῦ.

Ἀπαγγείλατε ἐν τοῖς ἔθνεσι τὰ ἔργα αὐτοῦ, ᾄσατε αὐτῷ καὶ ψάλατε αὐτῷ.

Διηγήσασθε πάντα τὰ θαυμάσια αὐτοῦ, ἐπαινεῖσθε ἐν τῷ ὀνόματι τῷ ἁγίῳ αὐτοῦ.

Εὐφρανθήτω καρδία ζητούντων τὸν κύριον, ζητήσατε τὸν κύριον καὶ κραταιώθητε.

Ζητήσατε τὸ πρόσωπον αὐτοῦ διαπαντός, μνήσθητε τῶν θαυμασίων αὐτοῦ ὧν ἐποίησε. τὰ τέρατα αὐτοῦ, καὶ τὰ κρίματα τοῦ στόματος αὐτοῦ.

Σπέρμα Ἀβραὰμ δοῦλοι αὐτοῦ, υἱοὶ Ἰακὼβ ἐκλεκτοὶ αὐτοῦ.

Αὐτὸς κύριος ὁ θεὸς ἡμῶν, ἐν πάσῃ τῇ γῇ τὰ κρίματα αὐτοῦ.

Ἐμνήσθη εἰς τὸν αἰῶνα διαθήκης αὐτοῦ, λόγου οὗ ἐνετείλατο εἰς χιλίας γενεάς:

Ὃν διέθετο τῷ Ἀβραάμ, καὶ τοῦ ὅρκου αὐτοῦ τῷ Ἰσαάκ.

Καὶ ἔστησεν αὐτὸν τῷ Ἰακὼβ εἰς πρόσταγμα, καὶ τῷ Ἰσραὴλ εἰς διαθήκην αἰώνιον.

Λέγων, σοὶ δώσω τὴν γῆν Χαναάν, σχοίνισμα κληρονομίας ὑμῶν.

Ἐν τῷ εἶναι αὐτοὺς ἀριθμῷ βραχεῖς, ὀλιγοστοὺς καὶ παροίκους ἐν αὐτῇ.

Καὶ διῆλθον ἐξ ἔθνους εἰς ἔθνος, καὶ ἐκ βασιλείας εἰς λαὸν ἕτερον.

Οὐκ ἀφῆκεν ἄνθρωπον ἀδικῆσαι αὐτούς, καὶ ἤλεγξεν ὑπὲρ αὐτῶν βασιλεῖς.

Μὴ ἅψησθε τῶν χριστῶν μου, καὶ ἐν τοῖς προφήταις μου μὴ πονηρεύεσθε.

Καὶ ἐκάλεσε λιμὸν ἐπὶ τὴν γῆν, πᾶν στήριγμα ἄρτου συνέτριψεν.

Ἀπέστειλεν ἔμπροσθεν αὐτῶν ἄνθρωπον, εἰς δοῦλον ἐπράθη Ἰωσήφ.

Ἐταπείνωσαν ἐν πέδαις τοὺς πόδας αὐτοῦ, σίδηρον διῆλθεν ἡ ψυχὴ αὐτοῦ.

Μέχρι τοῦ ἐλθεῖν τὸν λόγον αὐτοῦ, τὸ λόγιον τοῦ κυρίου ἐπύρωσεν αὐτόν.

Ἀπέστειλε βασιλεὺς καὶ ἔλυσεν αὐτόν, ἄρχων λαῶν καὶ ἀφῆκεν αὐτόν.

Κατέστησεν αὐτὸν κύριον τοῦ οἴκου αὐτοῦ, καὶ ἄρχοντα πάσης τῆς κτίσεως αὐτοῦ.

Τοῦ παιδεῦσαι τοὺς ἄρχοντας αὐτοῦ ὡς ἑαυτόν, καὶ τοὺς πρεσβυτέρους αὐτοῦ σοφίσαι.

Καὶ εἰσῆλθεν Ἰσραὴλ εἰς Αἴγυπτον, καὶ Ἰακὼβ παρῴκησεν ἐν γῇ Χάμ.

Καὶ ηὔξησε τὸν λαὸν αὐτοῦ σφόδρα, καὶ ἐκραταίωσεν αὐτὸν ὑπὲρ τοὺς ἐχθροὺς αὐτοῦ.

Καὶ μετέστρεψε τὴν καρδίαν αὐτῶν τοῦ μισῆσαι τὸν λαὸν αὐτοῦ, τοῦ δολιοῦσθαι ἐν τοῖς δούλοις αὐτοῦ.

Ἐξαπέστειλε Μωϋσῆν τὸν δοῦλον αὐτοῦ, Ἀαρὼν ὃν ἐξελέξατο αὐτόν.

Ορειον ἔθου ὃ οὐ παρελεύσονται, οὐδὲ ἐπιστρέψουσι καλύψαι τὴν γῆν.

Ο ἐξαποστέλλων πηγὰς ἐν φάραγξιν, ἀνὰ μέσον τῶν ὀρέων διελεύσονται ὕδατα.

Ποτιοῦσι πάντα τὰ θηρία τοῦ ἀγροῦ, προσδέξονται ὄναγροι εἰς δίψαν αὐτῶν.

Επ' αὐτὰ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσει, ἐκ μέσου τῶν πετρῶν δώσουσι φωνήν.

Ποτίζων ὄρη ἐκ τῶν ὑπερῴων αὐτοῦ, ἀπὸ καρποῦ τῶν ἔργων σου χορτασθήσεται ἡ γῆ.

Ο ἐξανατέλλων χόρτον τοῖς κτήνεσι, καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων.

Τοῦ ἐξαγαγεῖν ἄρτον ἐκ τῆς γῆς, καὶ οἶνος εὐφραίνει καρδίαν ἀνθρώπου.

Τοῦ ἱλαρῦναι πρόσωπον ἐν ἐλαίῳ, καὶ ἄρτος καρδίαν ἀνθρώπου στηρίζει.

Χορτασθήσονται τὰ ξύλα τοῦ πεδίου, αἱ κέδροι τοῦ Λιβάνου ἃς ἐφύτευσεν.

Εκεῖ στρουθία ἐννοσσεύσουσι, τοῦ ἐρωδιοῦ ἡ οἰκία ἡγεῖται αὐτῶν.

Ορη τὰ ὑψηλὰ ταῖς ἐλάφοις, πέτρα καταφυγὴ τοῖς λαγωοῖς.

Εποίησε σελήνην εἰς καιρούς, ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ.

Εθου σκότος καὶ ἐγένετο νύξ, ἐν αὐτῇ διελεύσονται πάντα τὰ θηρία τοῦ δρυμοῦ.

Σκύμνοι ὠρυόμενοι ἁρπάσαι, καὶ ζητῆσαι παρὰ τοῦ θεοῦ βρῶσιν αὐτοῖς.

Ανέτειλεν ὁ ἥλιος καὶ συνήχθησαν, καὶ ἐν ταῖς μάνδραις αὐτῶν κοιτασθήσονται.

Εξελεύσεται ἄνθρωπος ἐπὶ τὸ ἔργον αὐτοῦ, καὶ ἐπὶ τὴν ἐργασίαν αὐτοῦ ἕως ἑσπέρας.

Ως ἐμεγαλύνθη τὰ ἔργα σου κύριε, πάντα ἐν σοφίᾳ ἐποίησας.

Επληρώθη ἡ γῆ τῆς κτίσεώς σου, αὕτη ἡ θάλασσα ἡ μεγάλη καὶ εὐρύχωρος.

Εκεῖ ἑρπετὰ ὧν οὐκ ἔστιν ἀριθμός, ζῶα μικρὰ μετὰ μεγάλων.

Εκεῖ πλοῖα διαπορεύονται, δράκων οὗτος ὃν ἔπλασας ἐμπαίζειν αὐτῷ.

Πάντα πρὸς σὲ προσδοκῶσι, δοῦναι τὴν τροφὴν αὐτοῖς εὔκαιρον. δόντος σου αὐτοῖς, συλλέξουσιν.

Ανοίξαντος δέ σου τὴν χεῖρα, τὰ σύμπαντα πλησθήσονται χρηστότητος. ἀποστρέψαντος δέ σου τὸ πρόσωπον, ταραχθήσονται.

Αντανελεῖς τὸ πνεῦμα αὐτῶν, καὶ ἐκλείψουσι, καὶ εἰς τὸν χοῦν αὐτῶν ἐπιστρέψουσιν.

Εξαποστελεῖς τὸ πνεῦμά σου καὶ κτισθήσονται, καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς.

Ητω ἡ δόξα κυρίου εἰς τὸν αἰῶνα, εὐφρανθήσεται κύριος ἐπὶ τοῖς ἔργοις αὐτοῦ.

Ο ἐπιβλέπων ἐπὶ τὴν γῆν καὶ ποιῶν αὐτὴν τρέμειν, ὁ ἁπτόμενος τῶν ὀρέων καὶ καπνίζονται.

Ασω τῷ κυρίῳ ἐν τῇ ζωῇ μου, ψαλῶ τῷ θεῷ μου ἕως ὑπάρχω.

Ηδυνθείη αὐτῷ ἡ διαλογή μου,

ἐγὼ

Οἰκτίρμων καὶ ἐλεήμων ὁ κύριος, μακρόθυμος καὶ πολυέλεος.

Οὐκ εἰς τέλος ὀργισθήσεται, οὐδὲ εἰς τὸν αἰῶνα μηνιεῖ. οὐ κατὰ τὰς ἁμαρτίας ἡμῶν ἐποίησεν ἡμῖν, οὐδὲ κατὰ τὰς ἀνομίας ἡμῶν ἀνταπέδωκεν ἡμῖν.

Ὅτι κατὰ τὸ ὕψος τοῦ οὐρανοῦ ἀπὸ τῆς γῆς, ἐκραταίωσε κύριος τὸ ἔλεος αὐτοῦ ἐπὶ τοὺς φοβουμένους αὐτόν.

Καθόσον ἀπέχουσιν ἀνατολαὶ ἀπὸ δυσμῶν, ἐμάκρυνεν ἀφ᾽ ἡμῶν τὰς ἀνομίας ἡμῶν.

Καθὼς οἰκτείρει πατὴρ υἱοὺς, ᾠκτείρησε κύριος τοὺς φοβουμένους αὐτόν.

Ὅτι αὐτὸς ἔγνω τὸ πλάσμα ἡμῶν. μνήσθητι ὅτι χοῦς ἐσμέν.

Ἄνθρωπος ὡσεὶ χόρτος αἱ ἡμέραι αὐτοῦ, ὡσεὶ ἄνθος τοῦ ἀγροῦ οὕτως ἐξανθήσει.

Ὅτι πνεῦμα διῆλθεν ἐν αὐτῷ, καὶ οὐχ ὑπάρξει, καὶ οὐκ ἐπιγνώσεται ἔτι τὸν τόπον αὐτοῦ.

Τὸ δὲ ἔλεος τοῦ κυρίου ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος ἐπὶ τοὺς φοβουμένους αὐτόν.

Καὶ ἡ δικαιοσύνη αὐτοῦ ἐπὶ υἱοὺς υἱῶν, τοῖς φυλάσσουσι τὴν διαθήκην αὐτοῦ, καὶ μεμνημένοις τῶν ἐντολῶν αὐτοῦ, τοῦ ποιῆσαι αὐτάς.

Κύριος ἐν τῷ οὐρανῷ ἡτοίμασε τὸν θρόνον αὐτοῦ, καὶ ἡ βασιλεία αὐτοῦ πάντων δεσπόζει.

Εὐλογεῖτε τὸν κύριον πάντες ἄγγελοι αὐτοῦ, δυνατοὶ ἰσχύϊ ποιοῦντες τὸν λόγον αὐτοῦ, τοῦ ἀκοῦσαι τῆς φωνῆς τῶν λόγων αὐτοῦ.

Εὐλογεῖτε τὸν κύριον πᾶσαι αἱ δυνάμεις αὐτοῦ, λειτουργοὶ αὐτοῦ ποιοῦντες τὰ θελήματα αὐτοῦ.

Εὐλογεῖτε τὸν κύριον πάντα τὰ ἔργα αὐτοῦ, ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ, εὐλόγει ἡ ψυχή μου τὸν κύριον.

Δόξα.

Ψαλμὸς τῷ Δαβὶδ ὑπὲρ τῆς τοῦ κόσμου συστάσεως. ργ.

Εὐλόγει ἡ ψυχή μου τὸν κύριον, κύριε ὁ θεός μου, ἐμεγαλύνθης σφόδρα.

Ἐξομολόγησιν καὶ μεγαλοπρέπειαν ἐνεδύσω,

Ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον, ἐκτείνων τὸν οὐρανὸν ὡσεὶ δέρριν.

Ὁ στεγάζων ἐν ὕδασι τὰ ὑπερῷα αὐτοῦ, ὁ τιθεὶς νέφη τὴν ἐπίβασιν αὐτοῦ.

Ὁ περιπατῶν ἐπὶ πτερύγων ἀνέμων, ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πῦρ φλέγον.

Ὁ θεμελιῶν τὴν γῆν ἐπὶ τὴν ἀσφάλειαν αὐτῆς, οὐ κλιθήσεται εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Ἄβυσσος ὡς ἱμάτιον τὸ περιβόλαιον αὐτοῦ, ἐπὶ τῶν ὀρέων στήσονται ὕδατα.

Ἀπὸ ἐπιτιμήσεώς σου φεύξονται, ἀπὸ φωνῆς βροντῆς σου δειλιάσουσιν.

Ἀναβαίνουσιν ὄρη, καὶ καταβαίνουσι πεδία εἰς τόπον ὃν ἐθεμελίωσας αὐτοῖς.

τέρραξάς με.

Αἱ ἡμέραι μου ὡσεὶ σκιὰ ἐκλίθησαν, κἀγὼ ὡσεὶ χόρτος ἐξηράνθην.

Σὺ δὲ κύριε εἰς τὸν αἰῶνα μένεις, καὶ τὸ μνημόσυνόν σου, εἰς γενεὰν καὶ γενεάν.

Σὺ ἀναστὰς οἰκτειρήσεις τὴν Σιὼν, ὅτι καιρὸς τοῦ οἰκτειρῆσαι αὐτὴν, ὅτι ἥκει καιρός.

Ὅτι εὐδόκησαν οἱ δοῦλοί σου τοὺς λίθους αὐτῆς, καὶ τὸν χοῦν αὐτῆς οἰκτειρήσουσι.

Καὶ φοβηθήσονται τὰ ἔθνη τὸ ὄνομά σου κύριε, καὶ πάντες οἱ βασιλεῖς τὴν δόξαν σου.

Ὅτι οἰκοδομήσει κύριος τὴν Σιὼν, καὶ ὀφθήσεται ἐν τῇ δόξῃ αὐτοῦ.

Ἐπέβλεψεν ἐπὶ τὴν προσευχὴν τῶν ταπεινῶν, καὶ οὐκ ἐξουδένωσε τὴν δέησιν αὐτῶν.

Γραφήτω αὕτη εἰς γενεὰν ἑτέραν, καὶ λαὸς ὁ κτιζόμενος αἰνέσει τὸν κύριον.

Ὅτι ἐξέκυψεν ἐξ ὕψους ἁγίου αὐτοῦ, κύριος ἐξ οὐρανοῦ ἐπὶ τὴν γῆν ἐπέβλεψε,

Τοῦ ἀκοῦσαι τοῦ στεναγμοῦ τῶν πεπεδημένων, τοῦ λῦσαι τοὺς υἱοὺς τῶν τεθανατωμένων,

Τοῦ ἀναγγεῖλαι ἐν Σιὼν τὸ ὄνομα κυρίου, καὶ τὴν αἴνεσιν αὐτοῦ ἐν Ἱερουσαλήμ.

Ἐν τῷ συναχθῆναι λαοὺς ἐπὶ τὸ αὐτὸ, καὶ βασιλεῖς τοῦ δουλεύειν τῷ κυρίῳ.

Ἀπεκρίθη αὐτῷ ἐν ὁδῷ ἰσχύος αὐτοῦ, τὴν ὀλιγότητα τῶν ἡμερῶν μου ἀνάγγειλόν μοι.

Μὴ ἀναγάγῃς με ἐν ἡμίσει ἡμερῶν μου, ἐν γενεᾷ γενεῶν τὰ ἔτη σου.

Κατ' ἀρχὰς σὺ κύριε τὴν γῆν ἐθεμελίωσας, καὶ ἔργα τῶν χειρῶν σου εἰσὶν οἱ οὐρανοί.

Αὐτοὶ ἀπολοῦνται, σὺ δὲ διαμένεις.

Καὶ πάντες ὡς ἱμάτιον παλαιωθήσονται, καὶ ὡσεὶ περιβόλαιον ἑλίξεις αὐτοὺς καὶ ἀλλαγήσονται.

Σὺ δὲ ὁ αὐτὸς εἶ, καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσιν.

Οἱ υἱοὶ τῶν δούλων σου κατασκηνώσουσι, καὶ τὸ σπέρμα αὐτῶν εἰς τὸν αἰῶνα κατευθυνθήσεται.

Ψαλμὸς τῷ Δαβίδ. ρβ´.

Εὐλόγει ἡ ψυχή μου τὸν κύριον, καὶ πάντα τὰ ἐντός μου τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ.

Εὐλόγει ἡ ψυχή μου τὸν κύριον, καὶ μὴ ἐπιλανθάνου πάσας τὰς αἰνέσεις αὐτοῦ.

Τὸν εὐιλατεύοντα πάσαις ταῖς ἀνομίαις σου, τὸν ἰώμενον πάσας τὰς νόσους σου,

Τὸν λυτρούμενον ἐκ φθορᾶς τὴν ζωήν σου, τὸν στεφανοῦντά σε ἐν ἐλέει καὶ οἰκτιρμοῖς,

Τὸν ἐμπιπλῶντα ἐν ἀγαθοῖς τὴν ἐπιθυμίαν σου. ἀνακαινισθήσεται ὡς ἀετοῦ ἡ νεότης σου.

Ποιῶν ἐλεημοσύνας ὁ κύριος, καὶ κρῖμα πᾶσι τοῖς ἀδικουμένοις.

Ἐγνώρισε τὰς ὁδοὺς αὐτοῦ τῷ Μουσῇ, τοῖς υἱοῖς Ἰσραὴλ τὰ θελήματα αὐτοῦ.

Οἰκτί-

Ἐξομολογεῖσθε αὐτῷ, αἰνεῖτε τὸ ὄνομα αὐτοῦ ὅτι χρηστὸς κύριος, εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ,

Καὶ ἕως γενεᾶς καὶ γενεᾶς ἡ ἀλήθεια αὐτοῦ.

Ψαλμὸς τῷ Δαβίδ. ρ´.

Ἔλεος καὶ κρίσιν ᾄσομαί σοι κύριε. ψαλῶ καὶ συνήσω ἐν ὁδῷ ἀμώμῳ πότε ἥξεις πρός με;

Διεπορευόμην ἐν ἀκακίᾳ καρδίας μου, ἐν μέσῳ τοῦ οἴκου μου.

Οὐ προεθέμην πρὸ ὀφθαλμῶν μου πρᾶγμα παράνομον, ποιοῦντας παραβάσεις ἐμίσησα.

Οὐκ ἐκολλήθη μοι καρδία σκαμβή, ἐκκλίνοντος ἀπ' ἐμοῦ τοῦ πονηροῦ οὐκ ἐγίνωσκον.

Τὸν καταλαλοῦντα λάθρα τοῦ πλησίον αὐτοῦ, τοῦτον ἐξεδίωκον.

Ὑπερηφάνῳ ὀφθαλμῷ καὶ ἀπλήστῳ καρδίᾳ, τούτῳ οὐ συνήσθιον.

Οἱ ὀφθαλμοί μου ἐπὶ τοὺς πιστοὺς τῆς γῆς, τοῦ συγκαθῆσθαι αὐτοὺς μετ' ἐμοῦ.

Πορευόμενος ἐν ὁδῷ ἀμώμῳ, οὗτός μοι ἐλειτούργει.

Οὐ κατῴκει ἐν μέσῳ τῆς οἰκίας μου ποιῶν ὑπερηφανίαν.

Λαλῶν ἄδικα, οὐ κατηύθυνεν ἐναντίον τῶν ὀφθαλμῶν μου.

Εἰς τὰς πρωΐας ἀπέκτενον πάντας τοὺς ἁμαρτωλοὺς τῆς γῆς.

Τοῦ ἐξολοθρεῦσαι ἐκ πόλεως κυρίου πάντας τοὺς ἐργαζομένους τὴν ἀνομίαν.



ΚΑΘΙΣΜΑ. ιγ´.

Προσευχὴ τῷ πτωχῷ, ὅταν ἀκηδιάσῃ καὶ ἐναντίον κυρίου ἐκχέῃ τὴν δέησιν αὐτοῦ. ρα´.

Κύριε εἰσάκουσον τῆς προσευχῆς μου, καὶ ἡ κραυγή μου πρὸς σὲ ἐλθέτω.

Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ.

Ἐν ᾗ ἂν ἡμέρᾳ θλίβομαι, κλῖνον πρός με τὸ οὖς σου. ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλέσωμαί σε, ταχὺ εἰσάκουσόν μου.

Ὅτι ἐξέλιπον ὡσεὶ καπνὸς αἱ ἡμέραι μου, καὶ τὰ ὀστᾶ μου ὡσεὶ φρύγιον συνεφρύγησαν.

Ἐπλήγην ὡσεὶ χόρτος, καὶ ἐξηράνθη ἡ καρδία μου, ὅτι ἐπελαθόμην τοῦ φαγεῖν τὸν ἄρτον μου.

Ἀπὸ φωνῆς τοῦ στεναγμοῦ μου, ἐκολλήθη τὸ ὀστοῦν μου τῇ σαρκί μου.

Ὡμοιώθην πελεκᾶνι ἐρημικῷ, ἐγενήθην ὡσεὶ νυκτικόραξ ἐν οἰκοπέδῳ.

Ἠγρύπνησα, καὶ ἐγενόμην ὡς στρουθίον μονάζον ἐπὶ δώματι.

Ὅλην τὴν ἡμέραν ὠνείδιζόν με οἱ ἐχθροί μου, καὶ οἱ ἐπαινοῦντές με κατ' ἐμοῦ ὤμνυον.

Ὅτι σποδὸν ὡσεὶ ἄρτον ἔφαγον, καὶ τὸ πόμα μου μετὰ κλαυθμοῦ ἐκίρνων.

Ἀπὸ προσώπου τῆς ὀργῆς σου καὶ τοῦ θυμοῦ σου, ὅτι ἐπάρας κα-

Ψαλμὸς τῷ Δαβίδ. ϟζ'.

Ἄσατε τῷ κυρίῳ ᾆσμα καινόν, ὅτι θαυμαστὰ ἐποίησεν ὁ κύριος.

Ἔσωσεν αὐτῷ ἡ δεξιὰ αὐτοῦ, καὶ ὁ βραχίων ὁ ἅγιος αὐτοῦ.

Ἐγνώρισε κύριος τὸ σωτήριον αὐτοῦ, ἐναντίον τῶν ἐθνῶν ἀπεκάλυψε τὴν δικαιοσύνην αὐτοῦ.

Ἐμνήσθη τοῦ ἐλέους αὐτοῦ τῷ Ἰακώβ, καὶ τῆς ἀληθείας αὐτοῦ τῷ οἴκῳ Ἰσραήλ.

Εἴδοσαν πάντα τὰ πέρατα τῆς γῆς τὸ σωτήριον τοῦ θεοῦ ἡμῶν.

Ἀλαλάξατε τῷ θεῷ πᾶσα ἡ γῆ, ᾄσατε καὶ ἀγαλλιᾶσθε καὶ ψάλατε.

Ψάλατε τῷ κυρίῳ ἐν κιθάρᾳ, ἐν κιθάρᾳ καὶ φωνῇ ψαλμοῦ, ἐν σάλπιγξιν ἐλαταῖς, καὶ φωνῇ σάλπιγγος κερατίνης.

Ἀλαλάξατε ἐνώπιον τοῦ βασιλέως κυρίου.

Σαλευθήτω ἡ θάλασσα καὶ τὸ πλήρωμα αὐτῆς, ἡ οἰκουμένη καὶ οἱ κατοικοῦντες αὐτήν.

Ποταμοὶ κροτήσουσι χειρὶ ἐπὶ τὸ αὐτὸ, τὰ ὄρη ἀγαλλιάσονται ἀπὸ προσώπου κυρίου, ὅτι ἔρχεται, ὅτι ἥκει κρῖναι τὴν γῆν.

Κρινεῖ τὴν οἰκουμένην ἐν δικαιοσύνῃ, καὶ λαοὺς ἐν εὐθύτητι.

Ψαλμὸς τῷ Δαβίδ. ϟη'.

Ὁ Κύριος ἐβασίλευσεν, ὀργιζέσθωσαν λαοί. ὁ καθήμενος ἐπὶ τῶν χερουβὶμ, σαλευθήτω ἡ γῆ.

Κύριος ἐν Σιὼν μέγας, καὶ ὑψηλὸς ἐστὶν ἐπὶ πάντας τοὺς λαούς.

Ἐξομολογησάσθωσαν τῷ ὀνόματί σου τῷ μεγάλῳ, ὅτι φοβερὸν καὶ ἅγιόν ἐστι, καὶ τιμὴ βασιλέως κρίσιν ἀγαπᾷ.

Σὺ ἡτοίμασας εὐθύτητας, κρίσιν καὶ δικαιοσύνην ἐν Ἰακὼβ σὺ ἐποίησας.

Ὑψοῦτε κύριον τὸν θεὸν ἡμῶν, καὶ προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ, ὅτι ἅγιός ἐστι.

Μωϋσῆς καὶ Ἀαρὼν ἐν τοῖς ἱερεῦσιν αὐτοῦ, καὶ Σαμουὴλ ἐν τοῖς ἐπικαλουμένοις τὸ ὄνομα αὐτοῦ.

Ἐπεκαλοῦντο τὸν κύριον, καὶ αὐτὸς εἰσήκουεν, ἐν στύλῳ νεφέλης ἐλάλει πρὸς αὐτούς.

Ἐφύλασσον τὰ μαρτύρια αὐτοῦ, καὶ τὰ προστάγματα ἃ ἔδωκεν αὐτοῖς.

Κύριε ὁ θεὸς ἡμῶν, σὺ ἐπήκουες αὐτῶν. ὁ θεὸς, εὐίλατος ἐγίνου αὐτοῖς, καὶ ἐκδικῶν ἐπὶ πάντα τὰ ἐπιτηδεύματα αὐτῶν.

Ὑψοῦτε κύριον τὸν θεὸν ἡμῶν, καὶ προσκυνεῖτε εἰς ὄρος ἅγιον αὐτοῦ, ὅτι ἅγιος κύριος ὁ θεὸς ἡμῶν.

Ψαλμὸς εἰς ἐξομολόγησιν. ϟθ'.

Ἀλαλάξατε τῷ κυρίῳ πᾶσα ἡ γῆ, δουλεύσατε τῷ κυρίῳ ἐν εὐφροσύνῃ.

Εἰσέλθετε ἐνώπιον αὐτοῦ ἐν ἀγαλλιάσει, γνῶτε ὅτι κύριος αὐτός ἐστιν ὁ θεός.

Αὐτὸς ἐποίησεν ἡμᾶς, καὶ οὐχ ἡμεῖς, λαὸς αὐτοῦ καὶ πρόβατα τῆς νομῆς αὐτοῦ.

Εἰσέλθετε εἰς τὰς πύλας αὐτοῦ ἐν ἐξομολογήσει, τὰς αὐλὰς αὐτοῦ ἐν ὕμνοις.

Ἐξομο-

Ὅτι μέγας κύριος καὶ αἰνετὸς σφόδρα, φοβερός ἐστιν ἐπὶ πάντας τοὺς θεούς.

Ὅτι πάντες οἱ θεοὶ τῶν ἐθνῶν δαιμόνια, ὁ δὲ κύριος τοὺς οὐρανοὺς ἐποίησεν.

Ἐξομολόγησις καὶ ὡραιότης ἐνώπιον αὐτοῦ, ἁγιωσύνη καὶ μεγαλοπρέπεια ἐν τῷ ἁγιάσματι αὐτοῦ.

Ἐνέγκατε τῷ κυρίῳ αἱ πατριαὶ τῶν ἐθνῶν, ἐνέγκατε τῷ κυρίῳ δόξαν καὶ τιμήν,

Ἐνέγκατε τῷ κυρίῳ δόξαν ὀνόματι αὐτοῦ, ἄρατε θυσίας καὶ εἰσπορεύεσθε εἰς τὰς αὐλὰς αὐτοῦ.

Προσκυνήσατε τῷ κυρίῳ ἐν αὐλῇ ἁγίᾳ αὐτοῦ, σαλευθήτω ἀπὸ προσώπου αὐτοῦ πᾶσα ἡ γῆ.

Εἴπατε ἐν τοῖς ἔθνεσιν, ὁ κύριος ἐβασίλευσε, καὶ γὰρ κατώρθωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται, κρινεῖ λαοὺς ἐν εὐθύτητι.

Εὐφρανέσθωσαν οἱ οὐρανοὶ καὶ ἀγαλλιάσθω ἡ γῆ, σαλευθήτω ἡ θάλασσα, καὶ τὸ πλήρωμα αὐτῆς.

Χαρήσεται τὰ πεδία, καὶ πάντα τὰ ἐν αὐτοῖς. τότε ἀγαλλιάσονται πάντα τὰ ξύλα τοῦ δρυμοῦ πρὸ προσώπου τοῦ κυρίου, ὅτι ἔρχεται, ὅτι ἔρχεται κρῖναι τὴν γῆν.

Κρινεῖ τὴν οἰκουμένην ἐν δικαιοσύνῃ, καὶ λαοὺς ἐν τῇ ἀληθείᾳ αὐτοῦ.

Ψαλμὸς τῷ Δαβὶδ ὅτε ἡ γῆ αὐτοῦ καθίσταται, ἀνεπίγραφος παρ' Ἑβραίοις. ϙϛʹ.

Ὁ Κύριος ἐβασίλευσεν, ἀγαλλιάσθω ἡ γῆ, εὐφρανθήτωσαν νῆσοι πολλαί.

Νεφέλη καὶ γνόφος κύκλῳ αὐτοῦ, δικαιοσύνη καὶ κρίμα κατόρθωσις τοῦ θρόνου αὐτοῦ.

Πῦρ ἐναντίον αὐτοῦ προπορεύσεται καὶ φλογιεῖ κύκλῳ τοὺς ἐχθροὺς αὐτοῦ.

Ἔφαναν αἱ ἀστραπαὶ αὐτοῦ τῇ οἰκουμένῃ, εἶδε καὶ ἐσαλεύθη ἡ γῆ.

Τὰ ὄρη ὡσεὶ κηρὸς ἐτάκησαν ἀπὸ προσώπου κυρίου, ἀπὸ προσώπου κυρίου πάσης τῆς γῆς.

Ἀνήγγειλαν οἱ οὐρανοὶ τὴν δικαιοσύνην αὐτοῦ, καὶ εἴδοσαν πάντες οἱ λαοὶ τὴν δόξαν αὐτοῦ.

Αἰσχυνθήτωσαν πάντες οἱ προσκυνοῦντες τοῖς γλυπτοῖς, οἱ ἐγκαυχώμενοι ἐν τοῖς εἰδώλοις αὐτῶν.

Προσκυνήσατε αὐτῷ πάντες ἄγγελοι αὐτοῦ.

Ἤκουσε καὶ εὐφράνθη Σιών, καὶ ἠγαλλιάσαντο αἱ θυγατέρες τῆς Ἰουδαίας, ἕνεκεν τῶν κριμάτων σου κύριε.

Ὅτι σὺ εἶ κύριος ὁ ὕψιστος ἐπὶ πᾶσαν τὴν γῆν, σφόδρα ὑπερυψώθης ὑπὲρ πάντας τοὺς θεούς.

Οἱ ἀγαπῶντες τὸν κύριον, μισεῖτε πονηρόν. φυλάσσει κύριος τὰς ψυχὰς τῶν ὁσίων αὐτοῦ, ἐκ χειρὸς ἁμαρτωλῶν ῥύσεται αὐτούς.

ῶς ἀνέτειλε τῷ δικαίῳ, καὶ τοῖς εὐθέσι τῇ καρδίᾳ εὐφροσύνη.

Εὐφράνθητε δίκαιοι ἐν τῷ κυρίῳ, καὶ ἐξομολογεῖσθε τῇ μνήμῃ τῆς ἁγιωσύνης αὐτοῦ.

Δόξα

σιν, καὶ ἐχόμενοι αὐτῆς πάντες οἱ εὐθεῖς τῇ καρδίᾳ.

Τίς ἀναστήσεταί μοι ἐπὶ πονηρευομένους, ἢ τίς συμπαραστήσεταί μοι ἐπὶ τοὺς ἐργαζομένους τὴν ἀνομίαν;

Εἰ μὴ ὅτι κύριος ἐβοήθησέ μοι, παραβραχὺ παρῴκησε τῷ ᾅδῃ ἡ ψυχή μου.

Εἰ ἔλεγον σεσάλευται ὁ πούς μου, τὸ ἔλεός σου κύριε ἐβοήθει μοι.

Κύριε κατὰ τὸ πλῆθος τῶν ὀδυνῶν μου ἐν τῇ καρδίᾳ μου, αἱ παρακλήσεις σου ἠγάπησαν τὴν ψυχήν μου.

Μὴ συμπροσέσεταί σοι θρόνος ἀνομίας, ὁ πλάσσων κόπον ἐπὶ προστάγματι.

Θηρεύσουσιν ἐπὶ ψυχὴν δικαίου, καὶ αἷμα ἀθῶον καταδικάσονται.

Καὶ ἐγένετό μοι κύριος εἰς καταφυγήν, καὶ ὁ θεός μου εἰς βοηθὸν ἐλπίδος μου.

Καὶ ἀποδώσει αὐτοῖς τὴν ἀνομίαν αὐτῶν, καὶ τὴν πονηρίαν αὐτῶν, ἀφανιεῖ αὐτοὺς κύριος ὁ θεὸς ἡμῶν.

Δόξα.

Αἶνος ᾠδῆς τῷ Δαβίδ, ἀνεπίγραφος παρ' Ἑβραίοις. ϟδ'.

Δεῦτε ἀγαλλιασώμεθα τῷ κυρίῳ, ἀλαλάξωμεν τῷ θεῷ τῷ σωτῆρι ἡμῶν.

Προφθάσωμεν τὸ πρόσωπον αὐτοῦ ἐν ἐξομολογήσει, καὶ ἐν ψαλμοῖς ἀλαλάξωμεν αὐτῷ.

Ὅτι θεὸς μέγας κύριος, καὶ βασιλεὺς μέγας ἐπὶ πάντας τοὺς θεούς. ὅτι οὐκ ἀπώσεται κύριος τὸν λαὸν αὐτοῦ,

Ὅτι ἐν τῇ χειρὶ αὐτοῦ τὰ πέρατα τῆς γῆς, καὶ τὰ ὕψη τῶν ὀρέων αὐτοῦ ἐστιν.

Ὅτι αὐτοῦ ἐστιν ἡ θάλασσα καὶ αὐτὸς ἐποίησεν αὐτήν, καὶ τὴν ξηρὰν αἱ χεῖρες αὐτοῦ ἔπλασαν.

Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν αὐτῷ, καὶ κλαύσωμεν ἐναντίον κυρίου τοῦ ποιήσαντος ἡμᾶς.

Ὅτι αὐτός ἐστιν ὁ θεὸς ἡμῶν, καὶ ἡμεῖς λαὸς νομῆς αὐτοῦ, καὶ πρόβατα χειρὸς αὐτοῦ.

Σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν, ὡς ἐν τῷ παραπικρασμῷ.

Κατὰ τὴν ἡμέραν τοῦ πειρασμοῦ ἐν τῇ ἐρήμῳ, οὗ ἐπείρασάν με οἱ πατέρες ὑμῶν.

Ἐδοκίμασαν, καὶ εἶδον τὰ ἔργα μου, τεσσαράκοντα ἔτη προσώχθισα τῇ γενεᾷ ἐκείνῃ,

Καὶ εἶπα, ἀεὶ πλανῶνται τῇ καρδίᾳ, καὶ αὐτοὶ οὐκ ἔγνωσαν τὰς ὁδούς μου.

Ὡς ὤμοσα ἐν τῇ ὀργῇ μου, εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου.

Αἶνος ᾠδῆς τῷ Δαβίδ, ὅτε ὁ οἶκος ᾠκοδομεῖτο μετὰ τὴν αἰχμαλωσίαν, ἀνεπίγραφος παρ' Ἑβραίοις. ϟε'.

Ἄσατε τῷ κυρίῳ ᾆσμα καινόν, ᾄσατε τῷ κυρίῳ πᾶσα ἡ γῆ.

Ἄσατε τῷ κυρίῳ, εὐλογήσατε τὸ ὄνομα αὐτοῦ.

Εὐαγγελίζεσθε ἡμέραν ἐξ ἡμέρας τὸ σωτήριον αὐτοῦ.

Ἀναγγείλατε ἐν τοῖς ἔθνεσι τὴν δόξαν αὐτοῦ, ἐν πᾶσι τοῖς λαοῖς τὰ θαυμάσια αὐτοῦ.

ἐν ἐλαίῳ πίονι.

Καὶ ἐπεῖδεν ὁ ὀφθαλμός μου ἐν τοῖς ἐχθροῖς με, καὶ ἐν τοῖς ἐπανισταμένοις ἐπ' ἐμὲ πονηρευομένοις ἀκούσεται τὸ οὖς μου.

Δίκαιος ὡς φοῖνιξ ἀνθήσει, ὡς ἡ κέδρος ἡ ἐν τῷ λιβάνῳ πληθυνθήσεται.

Πεφυτευμένοι ἐν τῷ οἴκῳ κυρίου, ἐν ταῖς αὐλαῖς τοῦ θεοῦ ἡμῶν ἐξανθήσουσι.

Ἔτι πληθυνθήσονται ἐν γήρει πίονι, καὶ εὐπαθοῦντες ἔσονται τοῦ ἀναγγεῖλαι.

Ὅτι εὐθὴς κύριος ὁ θεός μου, καὶ οὐκ ἔστιν ἀδικία ἐν αὐτῷ.

Εἰς τὴν ἡμέραν τοῦ προσαββάτου ὅτε κατῴκισται ἡ γῆ, αἶνος ᾠδῆς τῷ δαβίδ. ϟβ.

Ὁ Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο,

Ἐνεδύσατο κύριος δύναμιν καὶ περιεζώσατο. καὶ γὰρ ἐστερέωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται.

Ἕτοιμος ὁ θρόνος σου ἀπὸ τότε, ἀπὸ τοῦ αἰῶνος σὺ εἶ.

Ἐπῆραν οἱ ποταμοὶ κύριε, ἐπῆραν οἱ ποταμοὶ φωνὰς αὐτῶν,

Ἀροῦσιν οἱ ποταμοὶ ἐπιτρίψεις αὐτῶν, ἀπὸ φωνῶν ὑδάτων πολλῶν.

Θαυμαστοὶ οἱ μετεωρισμοὶ τῆς θαλάσσης, θαυμαστὸς ἐν ὑψηλοῖς ὁ κύριος.

Τὰ μαρτύριά σου ἐπιστώθησαν σφόδρα. τῷ οἴκῳ σου πρέπει ἁγίασμα κύριε, εἰς μακρότητα ἡμερῶν.

Ψαλμὸς τῷ δαβὶδ τετράδι σαββάτου. ϟγ.

Θεὸς ἐκδικήσεων κύριος, ὁ θεὸς ἐκδικήσεων ἐπαρρησιάσατο.

Ὑψώθητι ὁ κρίνων τὴν γῆν, ἀπόδος ἀνταπόδοσιν τοῖς ὑπερηφάνοις.

Ἕως πότε ἁμαρτωλοὶ κύριε, ἕως πότε ἁμαρτωλοὶ καυχήσονται;

Φθέγξονται καὶ λαλήσουσιν ἀδικίαν, λαλήσουσι πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν.

Τὸν λαόν σου κύριε ἐταπείνωσαν, καὶ τὴν κληρονομίαν σου ἐκάκωσαν.

Χήραν καὶ ὀρφανὸν ἀπέκτειναν, καὶ προσήλυτον ἐφόνευσαν.

Καὶ εἶπαν, οὐκ ὄψεται κύριος, οὐδὲ συνήσει ὁ θεὸς τοῦ Ἰακώβ.

Σύνετε δὴ ἄφρονες ἐν τῷ λαῷ, καὶ μωροί, ποτὲ φρονήσατε.

Ὁ φυτεύσας τὸ οὖς, οὐχὶ ἀκούει; ἢ ὁ πλάσας τὸν ὀφθαλμὸν, οὐχὶ κατανοεῖ;

Ὁ παιδεύων ἔθνη, οὐχὶ ἐλέγξει; ὁ διδάσκων ἄνθρωπον γνῶσιν;

Κύριος γινώσκει τοὺς διαλογισμοὺς τῶν ἀνθρώπων, ὅτι εἰσὶ μάταιοι.

Μακάριος ὁ ἄνθρωπος ὃν σὺ παιδεύσῃς κύριε, καὶ ἐκ τοῦ νόμου σου διδάξῃς αὐτόν.

Τοῦ πραῦναι αὐτῷ ἀφ' ἡμερῶν πονηρῶν, ἕως οὗ ὀρυγῇ τῷ ἁμαρτωλῷ βόθρος.

Ὅτι οὐκ ἀπώσεται κύριος τὸν λαὸν αὐτοῦ, καὶ τὴν κληρονομίαν αὐτοῦ οὐκ ἐγκαταλείψει.

Ἕως οὗ δικαιοσύνη ἐπιστρέψει εἰς κρίσιν,

ἐλπιῶ ἐπ' αὐτόν,

Ὅτι αὐτὸς ῥύσεταί σε ἐκ παγίδος θηρευτῶν, καὶ ἀπὸ λόγου ταραχώδους.

Ἐν τοῖς μεταφρένοις αὐτοῦ ἐπισκιάσει σοι, καὶ ὑπὸ τὰς πτέρυγας αὐτοῦ ἐλπιεῖς.

Ὅπλῳ κυκλώσει σε ἡ ἀλήθεια αὐτοῦ, οὐ φοβηθήσῃ ἀπὸ φόβου νυκτερινοῦ,

Ἀπὸ βέλους πετομένου ἡμέρας, ἀπὸ πράγματος ἐν σκότει διαπορευομένου, ἀπὸ συμπτώματος καὶ δαιμονίου μεσημβρινοῦ.

Πεσεῖται ἐκ τοῦ κλίτους σου χιλιάς, καὶ μυριὰς ἐκ δεξιῶν σου, πρὸς σὲ δὲ οὐκ ἐγγιεῖ.

Πλὴν τοῖς ὀφθαλμοῖς σου κατανοήσεις, καὶ ἀνταπόδοσιν ἁμαρτωλῶν ὄψει.

Ὅτι σύ κύριε ἡ ἐλπίς μου, τὸν ὕψιστον ἔθου καταφυγήν σου.

Οὐ προσελεύσεται πρὸς σὲ κακά, καὶ μάστιξ οὐκ ἐγγιεῖ τῷ σκηνώματί σου.

Ὅτι τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ, τοῦ διαφυλάξαι σε ἐν πάσαις ταῖς ὁδοῖς σου.

Ἐπὶ χειρῶν ἀροῦσί σε, μήποτε προσκόψῃς πρὸς λίθον τὸν πόδα σου.

Ἐπ' ἀσπίδα καὶ βασιλίσκον ἐπιβήσῃ, καὶ καταπατήσεις λέοντα καὶ δράκοντα.

Ὅτι ἐπ' ἐμὲ ἤλπισε, καὶ ῥύσομαι αὐτόν. σκεπάσω αὐτόν, ὅτι ἔγνω τὸ ὄνομά μου.

Ἐπικαλέσεται πρὸς μέ, καὶ εἰσακούσομαι αὐτοῦ, μετ' αὐτοῦ εἰμι ἐν θλίψει,

Καὶ ἐξελοῦμαι αὐτόν, καὶ δοξάσω αὐτόν. μακρότητι ἡμερῶν ἐμπλήσω αὐτόν, καὶ δείξω αὐτῷ τὸ σωτήριόν μου. Δόξα.



ΚΑΘΙΣΜΑ. ιβ'.

Ψαλμὸς ᾠδῆς εἰς τὴν ἡμέραν τοῦ σαββάτου. ϙα'.

Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ κυρίῳ, καὶ ψάλλειν τῷ ὀνόματί σου ὕψιστε.

Τοῦ ἀναγγέλλειν τὸ πρωῒ τὸ ἔλεός σου, καὶ τὴν ἀλήθειάν σου κατὰ νύκτα,

Ἐν δεκαχόρδῳ ψαλτηρίῳ μετ' ᾠδῆς ἐν κιθάρᾳ.

Ὅτι εὔφρανάς με κύριε ἐν τῷ ποιήματί σου, καὶ ἐν τοῖς ἔργοις τῶν χειρῶν σου ἀγαλλιάσομαι.

Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου κύριε, σφόδρα ἐβαθύνθησαν οἱ διαλογισμοί σου.

Ἀνὴρ ἄφρων οὐ γνώσεται, καὶ ἀσύνετος οὐ συνήσει ταῦτα.

Ἐν τῷ ἀνατεῖλαι τοὺς ἁμαρτωλοὺς ὡσεὶ χόρτον, καὶ διέκυψαν πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν.

Ὅπως ἂν ἐξολοθρευθῶσιν εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, σὺ δὲ ὕψιστος εἰς τὸν αἰῶνα κύριε.

Ὅτι ἰδοὺ οἱ ἐχθροί σου ἀπολοῦνται, καὶ διασκορπισθήσονται πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν.

Καὶ ὑψωθήσεται ὡς μονοκέρωτος τὸ κέρας μου, καὶ τὸ γῆράς μου

οὐκ ὄψεται θάνατον, ῥύσεται τὴν ψυχὴν αὐτοῦ ἐκ χειρὸς ᾅδου;

Ποῦ εἰσι τὰ ἐλέη σου τὰ ἀρχαῖα κύριε, ἃ ὤμοσας τῷ Δαβὶδ ἐν τῇ ἀληθείᾳ σου;

Μνήσθητι κύριε τοῦ ὀνειδισμοῦ τῶν δούλων σου, οὗ ὑπέσχον ἐν τῷ κόλπῳ μου πολλῶν ἐθνῶν.

Οὗ ὠνείδισαν οἱ ἐχθροί σου κύριε, οὗ ὠνείδισαν τὸ ἀντάλλαγμα τοῦ Χριστοῦ σου.

Εὐλογητὸς κύριος εἰς τὸν αἰῶνα, γένοιτο γένοιτο. Δόξα.

Προσευχὴ τοῦ Μωσέως ἀνθρώπου τοῦ θεοῦ. πθ΄.

Κύριε καταφυγὴ ἐγενήθης ἡμῖν ἐν γενεᾷ καὶ γενεᾷ.

Πρὸ τοῦ ὄρη γενηθῆναι καὶ πλασθῆναι τὴν γῆν καὶ τὴν οἰκουμένην, καὶ ἀπὸ τοῦ αἰῶνος ἕως τοῦ αἰῶνος σὺ εἶ.

Μὴ ἀποστρέψῃς ἄνθρωπον εἰς ταπείνωσιν, καὶ εἶπας, ἐπιστρέψατε υἱοὶ ἀνθρώπων;

Ὅτι χίλια ἔτη ἐν ὀφθαλμοῖς σου, ὡς ἡμέρα ἡ ἐχθὲς ἥτις διῆλθε, καὶ φυλακὴ ἐν νυκτί.

Τὰ ἐξουδενώματα αὐτῶν ἔτη ἔσονται, τὸ πρωῒ ὡσεὶ χλόη παρέλθοι, τὸ πρωῒ ἀνθήσαι καὶ παρέλθοι.

Τὸ ἑσπέρας ἀποπέσοι, σκληρυνθείη καὶ ξηρανθείη.

Ὅτι ἐξελίπομεν ἐν τῇ ὀργῇ σου, καὶ ἐν τῷ θυμῷ σου ἐταράχθημεν.

Ἔθου τὰς ἀνομίας ἡμῶν ἐνώπιόν σου, ὁ αἰὼν ἡμῶν εἰς φωτισμὸν τοῦ προσώπου σου.

Ὅτι πᾶσαι αἱ ἡμέραι ἡμῶν ἐξέλιπον, καὶ ἐν τῇ ὀργῇ σου ἐξελίπομεν.

Τὰ ἔτη ἡμῶν ὡς ἀράχνη ἐμελέτων, αἱ ἡμέραι τῶν ἐτῶν ἡμῶν ἐν αὐτοῖς ἑβδομήκοντα ἔτη,

ἐὰν δὲ ἐν δυναστείαις, ὀγδοήκοντα ἔτη, καὶ τὸ πλεῖον αὐτῶν κόπος καὶ πόνος.

Ὅτι ἐπῆλθε πραΰτης ἐφ' ἡμᾶς, καὶ παιδευθησόμεθα.

Τίς γινώσκει τὸ κράτος τῆς ὀργῆς σου, καὶ ἀπὸ τοῦ φόβου τοῦ θυμοῦ σου ἐξαριθμήσασθαι;

Τὴν δεξιάν σου οὕτως γνώρισον, καὶ τοὺς πεπαιδευμένους τῇ καρδίᾳ ἐν σοφίᾳ.

Ἐπίστρεψον κύριε ἕως πότε, καὶ παρακλήθητι ἐπὶ τοῖς δούλοις σου.

Ἐνεπλήσθημεν τὸ πρωῒ τοῦ ἐλέους σου, καὶ ἠγαλλιασάμεθα καὶ εὐφράνθημεν.

Ἐν πάσαις ταῖς ἡμέραις ἡμῶν, ἀνθ' ὧν ἡμερῶν ἐταπείνωσας ἡμᾶς, ἐτῶν ὧν εἴδομεν κακά.

Καὶ ἴδε ἐπὶ τοὺς δούλους σου καὶ ἐπὶ τὰ ἔργα σου, καὶ ὁδήγησον τοὺς υἱοὺς αὐτῶν.

Καὶ ἔστω ἡ λαμπρότης κυρίου τοῦ θεοῦ ἡμῶν ἐφ' ἡμᾶς, καὶ τὰ ἔργα τῶν χειρῶν ἡμῶν κατεύθυνον ἐφ' ἡμᾶς.

Αἶνος ᾠδῆς τῷ Δαβίδ, ἀνεπίγραφος παρ' Ἑβραίοις. ϟ΄.

Ὁ κατοικῶν ἐν βοηθείᾳ τοῦ ὑψίστου, ἐν σκέπῃ τοῦ θεοῦ τοῦ οὐρανοῦ αὐλισθήσεται.

Ἐρεῖ τῷ κυρίῳ, ἀντιλήπτωρ μου εἶ καὶ καταφυγή μου, ὁ θεός μου

κακῶσαι αὐτόν.

Καὶ συγκόψω ἀπὸ προσώπου αὐτοῦ τοὺς ἐχθροὺς αὐτοῦ, καὶ τοὺς μισοῦντας αὐτὸν τροπώσομαι.

Καὶ ἡ ἀλήθειά μου καὶ τὸ ἔλεός μου μετ' αὐτοῦ, καὶ ἐν τῷ ὀνόματί μου ὑψωθήσεται τὸ κέρας αὐτοῦ.

Καὶ θήσομαι ἐν θαλάσσῃ χεῖρα αὐτοῦ, καὶ ἐν ποταμοῖς δεξιὰν αὐτοῦ.

Αὐτὸς ἐπικαλέσεταί με, πατήρ μου εἶ σύ, θεός μου καὶ ἀντιλήπτωρ τῆς σωτηρίας μου.

Κἀγὼ πρωτότοκον θήσομαι αὐτόν, ὑψηλὸν παρὰ τοῖς βασιλεῦσι τῆς γῆς.

Εἰς τὸν αἰῶνα φυλάξω αὐτῷ τὸ ἔλεός μου, καὶ ἡ διαθήκη μου πιστὴ αὐτῷ.

Καὶ θήσομαι εἰς τὸν αἰῶνα τοῦ αἰῶνος τὸ σπέρμα αὐτοῦ, καὶ τὸν θρόνον αὐτοῦ ὡς τὰς ἡμέρας τοῦ οὐρανοῦ.

Ἐὰν ἐγκαταλίπωσιν οἱ υἱοὶ αὐτοῦ τὸν νόμον μου, καὶ τοῖς κρίμασί μου μὴ πορευθῶσιν.

Ἐὰν τὰ δικαιώματά μου βεβηλώσωσι, καὶ τὰς ἐντολάς μου μὴ φυλάξωσιν.

Ἐπισκέψομαι ἐν ῥάβδῳ τὰς ἀνομίας αὐτῶν, καὶ ἐν μάστιξι τὰς ἁμαρτίας αὐτῶν.

Τὸ δὲ ἔλεός μου οὐ μὴ διασκεδάσω ἀπ' αὐτῶν, οὐδὲ μὴ ἀδικήσω ἐν τῇ ἀληθείᾳ μου.

Οὐδὲ μὴ βεβηλώσω τὴν διαθήκην μου, καὶ τὰ ἐκπορευόμενα διὰ τῶν χειλέων μου, οὐ μὴ ἀθετήσω.

Ἅπαξ ὤμοσα ἐν τῷ ἁγίῳ μου, εἰ τῷ Δαβὶδ ψεύσομαι.

Τὸ σπέρμα αὐτοῦ εἰς τὸν αἰῶνα μένει, καὶ ὁ θρόνος αὐτοῦ ὡς ὁ ἥλιος ἐναντίον μου,

Καὶ ὡς ἡ σελήνη κατηρτισμένη εἰς τὸν αἰῶνα, καὶ ὁ μάρτυς ἐν οὐρανῷ πιστός.

Σὺ δὲ ἀπώσω καὶ ἐξουδένωσας, ἀνεβάλου τὸν χριστόν σου.

Κατέστρεψας τὴν διαθήκην τοῦ δούλου σου, ἐβεβήλωσας εἰς τὴν γῆν τὸ ἁγίασμα αὐτοῦ.

Καθεῖλες πάντας τοὺς φραγμοὺς αὐτοῦ, ἔθου τὰ ὀχυρώματα αὐτοῦ δειλίαν.

Διήρπασαν αὐτὸν πάντες οἱ διοδεύοντες ὁδόν, ἐγενήθη ὄνειδος τοῖς γείτοσιν αὐτοῦ.

Ὕψωσας τὴν δεξιὰν τῶν ἐχθρῶν αὐτοῦ, εὔφρανας πάντας τοὺς ἐχθροὺς αὐτοῦ.

Ἀπέστρεψας τὴν βοήθειαν τῆς ῥομφαίας αὐτοῦ, καὶ οὐκ ἀντελάβου αὐτοῦ ἐν τῷ πολέμῳ.

Κατέλυσας ἀπὸ καθαρισμοῦ αὐτοῦ, τὸν θρόνον αὐτοῦ εἰς τὴν γῆν κατέρραξας.

Ἐσμίκρυνας τὰς ἡμέρας τοῦ χρόνου αὐτοῦ, κατέχεας αὐτοῦ αἰσχύνην.

Ἕως πότε κύριε ἀποστρέφῃ εἰς τέλος, ἐκκαυθήσεται ὡς πῦρ ἡ ὀργή σου;

Μνήσθητι τίς ἡ ὑπόστασίς μου, μὴ γὰρ ματαίως ἔκτισας πάντας τοὺς υἱοὺς τῶν ἀνθρώπων;

Τίς ἐστιν ἄνθρωπος, ὃς ζήσεται καὶ

οὐκ

οἱ φοβερισμοί σου ἐξετάραξάν με· ἐκύκλωσάν με ὡς ὕδωρ·

Ὅλην τὴν ἡμέραν περιέσχον με ἅμα, ἐμάκρυνας ἀπ' ἐμοῦ φίλον, καὶ τοὺς γνωστούς μου ἀπὸ ταλαιπωρίας. Δόξα.

Συνέσεως Αἰθὰμ τῷ Ἰσραηλίτῃ. πη.

Τὰ ἐλέη σου κύριε εἰς τὸν αἰῶνα ᾄσομαι, εἰς γενεὰν καὶ γενεὰν ἀπαγγελῶ τὴν ἀλήθειάν σου ἐν τῷ στόματί μου.

Ὅτι εἶπας, εἰς τὸν αἰῶνα ἔλεος οἰκοδομηθήσεται, ἐν τοῖς οὐρανοῖς ἑτοιμασθήσεται ἡ ἀλήθειά σου.

Διεθέμην διαθήκην τοῖς ἐκλεκτοῖς μου, ὤμοσα Δαβὶδ τῷ δούλῳ μου. ἕως τοῦ αἰῶνος

Ἑτοιμάσω τὸ σπέρμα σου, καὶ οἰκοδομήσω εἰς γενεὰν καὶ γενεὰν τὸν θρόνον σου.

Ἐξομολογήσονται οἱ οὐρανοὶ τὰ θαυμάσιά σου κύριε, καὶ τὴν ἀλήθειάν σου ἐν ἐκκλησίᾳ ἁγίων.

Ὅτι τίς ἐν νεφέλαις ἰσωθήσεται τῷ κυρίῳ; καὶ τίς ὁμοιωθήσεται τῷ κυρίῳ ἐν υἱοῖς θεοῦ;

Ὁ θεὸς ἐνδοξαζόμενος ἐν βουλῇ ἁγίων, μέγας καὶ φοβερὸς ἐπὶ πάντας τοὺς περικύκλῳ αὐτοῦ.

Κύριε ὁ θεὸς τῶν δυνάμεων, τίς ὅμοιός σοι; δυνατὸς εἶ κύριε, καὶ ἡ ἀλήθειά σου κύκλῳ σου.

Σὺ δεσπόζεις τοῦ κράτους τῆς θαλάσσης, τὸν δὲ σάλον τῶν κυμάτων αὐτῆς σὺ καταπραΰνεις.

Σὺ ἐταπείνωσας ὡς τραυματίαν ὑπερήφανον, ἐν τῷ βραχίονι τῆς δυνάμεώς σου, διεσκόρπισας τοὺς ἐχθρούς σου.

Σοί εἰσιν οἱ οὐρανοὶ καὶ σή ἐστιν ἡ γῆ, τὴν οἰκουμένην καὶ τὸ πλήρωμα αὐτῆς σὺ ἐθεμελίωσας, τὸν βορρᾶν καὶ θάλασσαν σὺ ἔκτισας,

Θαβὼρ καὶ Ἑρμὼν ἐν τῷ ὀνόματί σου ἀγαλλιάσονται, σὸς ὁ βραχίων μετὰ δυναστείας.

Κραταιωθήτω ἡ χείρ σου, ὑψωθήτω ἡ δεξιά σου.

Δικαιοσύνη καὶ κρίμα ἑτοιμασία τοῦ θρόνου σου.

Ἔλεος καὶ ἀλήθεια προπορεύσονται πρὸ προσώπου σου.

Μακάριος ὁ λαὸς ὁ γινώσκων ἀλαλαγμόν.

Κύριε ἐν τῷ φωτὶ τοῦ προσώπου σου πορεύσονται, καὶ ἐν τῷ ὀνόματί σου ἀγαλλιάσονται ὅλην τὴν ἡμέραν, καὶ ἐν τῇ δικαιοσύνῃ σου ὑψωθήσονται.

Ὅτι τὸ καύχημα τῆς δυνάμεως αὐτῶν σὺ εἶ, καὶ ἐν τῇ εὐδοκίᾳ σου ὑψωθήσεται τὸ κέρας ἡμῶν.

Ὅτι τοῦ κυρίου ἡ ἀντίληψις, καὶ τοῦ ἁγίου Ἰσραὴλ βασιλέως ἡμῶν.

Τότε ἐλάλησας ἐν ὁράσει τοῖς υἱοῖς σου, καὶ εἶπας, ἐθέμην βοήθειαν ἐπὶ δυνατὸν, ὕψωσα ἐκλεκτὸν ἐκ τοῦ λαοῦ μου.

Εὗρον Δαβὶδ τὸν δοῦλόν μου, ἐν ἐλαίῳ ἁγίῳ ἔχρισα αὐτόν.

Ἡ γὰρ χείρ μου συναντιλήψεται αὐτῷ, καὶ ὁ βραχίων μου κατισχύσει αὐτόν.

Οὐκ ὠφελήσει ἐχθρὸς ἐν αὐτῷ, καὶ υἱὸς ἀνομίας οὐ προσθήσει τοῦ

κακῶ-

Τοῖς υἱοῖς Κορὲ ψαλμὸς ᾠδῆς. πϛʹ.

Οἱ θεμέλιοι αὐτοῦ ἐν τοῖς ὄρεσι τοῖς ἁγίοις.

Ἀγαπᾷ κύριος τὰς πύλας Σιὼν, ὑπὲρ πάντα τὰ σκηνώματα Ἰακώβ.

Δεδοξασμένα ἐλαλήθη περὶ σοῦ ἡ πόλις τοῦ θεοῦ.

Μνησθήσομαι Ῥαὰβ, καὶ Βαβυλῶνος τοῖς γινώσκουσί με.

Καὶ ἰδοὺ ἀλλόφυλοι καὶ Τύρος καὶ λαὸς Αἰθιόπων, οὗτοι ἐγεννήθησαν ἐκεῖ.

Μήτηρ Σιὼν ἐρεῖ ἄνθρωπος, καὶ ἄνθρωπος ἐγεννήθη ἐν αὐτῇ, καὶ αὐτὸς ἐθεμελίωσεν αὐτὴν ὁ ὕψιστος.

Κύριος διηγήσεται ἐν γραφῇ λαῶν, καὶ ἀρχόντων τούτων τῶν γεγενημένων ἐν αὐτῇ.

Ὡς εὐφραινομένων πάντων ἡ κατοικία ἐν σοί.

Ὠδὴ ψαλμοῦ τοῖς υἱοῖς Κορὲ εἰς τὸ τέλος ὑπὲρ Μαελὲθ τοῦ ἀποκριθῆναι, συνέσεως Αἰμὰν τῷ Ἰσραηλίτῃ. πζʹ.

Κύριε ὁ θεὸς τῆς σωτηρίας μου, ἡμέρας ἐκέκραξα καὶ ἐν νυκτὶ ἐναντίον σου.

Εἰσελθέτω ἐνώπιόν σου ἡ προσευχή μου,

Κλῖνον τὸ οὖς σου εἰς τὴν δέησίν μου κύριε, ὅτι ἐπλήσθη κακῶν ἡ ψυχή μου, καὶ ἡ ζωή μου τῷ ᾅδῃ ἤγγισε.

Προσελογίσθην μετὰ τῶν καταβαινόντων εἰς λάκκον,

Ἐγενήθην ὡς ἄνθρωπος ἀβοήθητος, ἐν νεκροῖς ἐλεύθερος.

Ὡσεὶ τραυματίαι ἐῤῥιμμένοι καθεύδοντες ἐν τάφῳ, ὧν οὐκ ἐμνήσθης ἔτι, καὶ αὐτοὶ ἐκ τῆς χειρός σου ἀπώσθησαν.

Ἔθεντό με ἐν λάκκῳ κατωτάτῳ, ἐν σκοτεινοῖς καὶ ἐν σκιᾷ θανάτου.

Ἐπ' ἐμὲ ἐπεστηρίχθη ὁ θυμός σου, καὶ πάντας τοὺς μετεωρισμούς σου ἐπήγαγες ἐπ' ἐμέ.

Ἐμάκρυνας τοὺς γνωστούς μου ἀπ' ἐμοῦ, ἔθεντό με βδέλυγμα ἑαυτοῖς.

Παρεδόθην καὶ οὐκ ἐξεπορευόμην, οἱ ὀφθαλμοί μου ἠσθένησαν ἀπὸ πτωχείας.

Καὶ ἐκέκραξα πρὸς σὲ κύριε ὅλην τὴν ἡμέραν, διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου.

Μὴ τοῖς νεκροῖς ποιήσεις θαυμάσια; ἢ ἰατροὶ ἀναστήσουσι καὶ ἐξομολογήσονταί σοι;

Μὴ διηγήσεταί τις ἐν τάφῳ τὸ ἔλεός σου, καὶ τὴν ἀλήθειάν σου ἐν τῇ ἀπωλείᾳ;

Μὴ γνωσθήσεται ἐν τῷ σκότει τὰ θαυμάσιά σου, καὶ ἡ δικαιοσύνη σου ἐν γῇ ἐπιλελησμένῃ;

Κἀγὼ πρὸς σὲ κύριε ἐκέκραξα, καὶ τὸ πρωῒ ἡ προσευχή μου προφθάσει σε.

Ἵνα τί κύριε ἀπωθεῖς τὴν ψυχήν μου, ἀποστρέφεις τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ;

Πτωχός εἰμι ἐγὼ, καὶ ἐν κόποις ἐκ νεότητός μου, ὑψωθεὶς δὲ ἐταπεινώθην καὶ ἐξηπορήθην.

Ἐπ' ἐμὲ διῆλθον αἱ ὀργαί σου, καὶ

Ὅτι λαλήσει εἰρήνην ἐπὶ τὸν λαὸν αὐτοῦ, καὶ ἐπὶ τοὺς ὁσίους αὐτοῦ, καὶ ἐπὶ τοὺς ἐπιστρέφοντας καρδίαν ἐπ' αὐτόν.


Πλὴν ἐγγὺς τῶν φοβουμένων αὐτὸν τὸ σωτήριον αὐτοῦ, τοῦ κατασκηνῶσαι δόξαν ἐν τῇ γῇ ἡμῶν.

Ἔλεος καὶ ἀλήθεια συνήντησαν, δικαιοσύνη καὶ εἰρήνη κατεφίλησαν.

Ἀλήθεια ἐκ τῆς γῆς ἀνέτειλε, καὶ δικαιοσύνη ἐκ τοῦ οὐρανοῦ διέκυψε.

Καὶ γὰρ ὁ κύριος δώσει χρηστότητα, καὶ ἡ γῆ ἡμῶν δώσει τὸν καρπὸν αὐτῆς.

Δικαιοσύνη ἐναντίον αὐτοῦ προπορεύσεται, καὶ θήσει εἰς ὁδὸν τὰ διαβήματα αὐτοῦ. Δόξα.



ΚΑΘΙΣΜΑ.

Προσευχὴ τοῦ Δαβίδ. πε'.

Κλῖνον κύριε τὸ οὖς σου καὶ ἐπάκουσόν μου, ὅτι πτωχὸς καὶ πένης εἰμὶ ἐγώ.

Φύλαξον τὴν ψυχήν μου ὅτι ὅσιός εἰμι, σῶσον τὸν δοῦλόν σου ὁ θεός, τὸν ἐλπίζοντα ἐπὶ σέ.

Ἐλέησόν με κύριε, ὅτι πρὸς σὲ κεκράξομαι ὅλην τὴν ἡμέραν.

Εὔφρανον τὴν ψυχὴν τοῦ δούλου σου, ὅτι πρὸς σὲ κύριε ἦρα τὴν ψυχήν μου.

Ὅτι σὺ κύριε χρηστὸς καὶ ἐπιεικής, καὶ πολυέλεος πᾶσι τοῖς ἐπικαλουμένοις σε.

Ἐνώτισαι κύριε τὴν προσευχήν μου, καὶ πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου.

Ἐν ἡμέρᾳ θλίψεώς μου ἐκέκραξα πρὸς σέ, ὅτι εἰσήκουσάς μου.

Οὐκ ἔστιν ὅμοιός σοι ἐν θεοῖς κύριε, καὶ οὐκ ἔστι κατὰ τὰ ἔργα σου.

Πάντα τὰ ἔθνη ὅσα ἐποίησας, ἥξουσι, καὶ προσκυνήσουσιν ἐνώπιόν σου κύριε,

Καὶ δοξάσουσι τὸ ὄνομά σου, ὅτι μέγας εἶ σὺ, καὶ ποιῶν θαυμάσια, σὺ εἶ θεὸς μόνος ὁ μέγας.

Ὁδήγησόν με κύριε ἐν τῇ ὁδῷ σου, καὶ πορεύσομαι ἐν τῇ ἀληθείᾳ σου.

Εὐφρανθήτω ἡ καρδία μου τοῦ φοβεῖσθαι τὸ ὄνομά σου.

Ἐξομολογήσομαί σοι κύριε ὁ θεός μου ἐν ὅλῃ καρδίᾳ μου, καὶ δοξάσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα.

Ὅτι τὸ ἔλεός σου μέγα ἐπ' ἐμὲ, καὶ ἐρρύσω τὴν ψυχήν μου ἐξ ᾅδου κατωτάτου.

Ὁ θεὸς, παράνομοι ἐπανέστησαν ἐπ' ἐμὲ, καὶ συναγωγὴ κραταιῶν ἐζήτησαν τὴν ψυχήν μου, καὶ οὐ προέθεντό σε ἐνώπιον αὐτῶν.

Καὶ σὺ κύριε ὁ θεὸς οἰκτίρμων καὶ ἐλεήμων, μακρόθυμος καὶ πολυέλεος καὶ ἀληθινός.

Ἐπίβλεψον ἐπ' ἐμὲ καὶ ἐλέησόν με, δὸς τὸ κράτος σου τῷ παιδί σου, καὶ σῶσον τὸν υἱὸν τῆς παιδίσκης σου.

Ποίησον μετ' ἐμοῦ σημεῖον εἰς ἀγαθόν, καὶ ἰδέτωσαν οἱ μισοῦντές με καὶ αἰσχυνθήτωσαν.

Ὅτι σὺ κύριε ἐβοήθησάς μοι, καὶ παρεκάλεσάς με.

συντάξεις αὐτούς.

Πλήρωσον τὰ πρόσωπα αὐτῶν ἀτιμίας, καὶ ζητήσουσι τὸ ὄνομά σου κύριε.

Αἰσχυνθήτωσαν καὶ ταραχθήτωσαν εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, καὶ ἐντραπήτωσαν καὶ ἀπολέσθωσαν.

Καὶ γνώτωσαν ὅτι ὄνομά σοι κύριος, σὺ μόνος ὕψιστος ἐπὶ πᾶσαν τὴν γῆν.

Εἰς τὸ τέλος ὑπὲρ τῶν ληνῶν τοῖς υἱοῖς Κορὲ ψαλμός. πγ'.

Ὡς ἀγαπητὰ τὰ σκηνώματά σου κύριε δυνάμεων.

Ἐπιποθεῖ καὶ ἐκλείπει ἡ ψυχή μου εἰς τὰς αὐλὰς τοῦ κυρίου.

Ἡ καρδία μου καὶ ἡ σάρξ μου ἠγαλλιάσαντο ἐπὶ θεὸν ζῶντα.

Καὶ γὰρ στρουθίον εὗρεν ἑαυτῷ οἰκίαν, καὶ τρυγὼν νοσσιὰν ἑαυτῇ, οὗ θήσει τὰ νοσσία ἑαυτῆς.

Τὰ θυσιαστήριά σου κύριε τῶν δυνάμεων, ὁ βασιλεύς μου καὶ ὁ θεός μου.

Μακάριοι οἱ κατοικοῦντες ἐν τῷ οἴκῳ σου, εἰς τοὺς αἰῶνας τῶν αἰώνων αἰνέσουσί σε.

Μακάριος ἀνὴρ οὗ ἐστὶν ἀντίληψις αὐτοῦ παρὰ σοῦ κύριε. ἀναβάσεις ἐν τῇ καρδίᾳ αὐτοῦ διέθετο.

Εἰς τὴν κοιλάδα τοῦ κλαυθμῶνος, εἰς τὸν τόπον ὃν ἔθετο. καὶ γὰρ εὐλογίας δώσει ὁ νομοθετῶν,

Πορεύσονται ἐκ δυνάμεως εἰς δύναμιν, ὀφθήσεται ὁ θεὸς τῶν θεῶν ἐν Σιών.

Κύριε ὁ θεὸς τῶν δυνάμεων, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι ὁ θεὸς Ιακώβ.

Ὑπερασπιστὰ ἡμῶν ἴδε ὁ θεός, καὶ ἐπίβλεψον ἐπὶ τὸ πρόσωπον τοῦ Χριστοῦ σου.

Ὅτι κρείσσων ἡμέρα μία ἐν ταῖς αὐλαῖς σου, ὑπὲρ χιλιάδας.

Ἐξελεξάμην παραρριπτεῖσθαι ἐν τῷ οἴκῳ τοῦ θεοῦ μᾶλλον, ἢ οἰκεῖν με ἐπὶ σκηνώμασιν ἁμαρτωλῶν.

Ὅτι ἔλεος καὶ ἀλήθειαν ἀγαπᾷ κύριος, ὁ θεὸς χάριν καὶ δόξαν δώσει.

Κύριος οὐ στερήσει τὰ ἀγαθὰ τοῖς πορευομένοις ἐν ἀκακίᾳ.

Κύριε ὁ θεὸς τῶν δυνάμεων, μακάριος ἄνθρωπος ὁ ἐλπίζων ἐπὶ σέ.

Εἰς τὸ τέλος τοῖς υἱοῖς Κορὲ ψαλμός. πδ'.

Εὐδόκησας κύριε τὴν γῆν σου, ἀπέστρεψας τὴν αἰχμαλωσίαν Ιακώβ.

Ἀφῆκας τὰς ἀνομίας τοῦ λαοῦ σου, ἐκάλυψας πάσας τὰς ἁμαρτίας αὐτῶν.

Κατέπαυσας πᾶσαν τὴν ὀργήν σου, ἀπέστρεψας ἀπὸ ὀργῆς θυμοῦ σου.

Ἐπίστρεψον ἡμᾶς ὁ θεὸς τῶν σωτηρίων ἡμῶν, καὶ ἀπόστρεψον τὸν θυμόν σου ἀφ' ἡμῶν.

Μὴ εἰς τὸν αἰῶνα ὀργισθῇς ἡμῖν; ἢ διατενεῖς τὴν ὀργήν σου ἀπὸ γενεᾶς εἰς γενεάν;

Ὁ θεός, σὺ ἐπιστρέψας ζωώσεις ἡμᾶς, καὶ ὁ λαός σου εὐφρανθήσεται ἐπὶ σοί.

Δεῖξον ἡμῖν κύριε τὸ ἔλεός σου, καὶ τὸ σωτήριόν σου δῴης ἡμῖν.

Ἀκούσομαι τί λαλήσει ἐν ἐμοὶ κύριος ὁ θεός,

ταῖς ὁδοῖς μου εἰ ἐπορεύθη, ἐν τῷ μηδενὶ ἂν τοὺς ἐχθροὺς αὐτῶν ἐταπείνωσα,

Καὶ ἐπὶ τοὺς θλίβοντας αὐτοὺς ἐπέβαλον ἂν τὴν χεῖρά μου.

Οἱ ἐχθροὶ κυρίου ἐψεύσαντο αὐτῷ, καὶ ἔσται ὁ καιρὸς αὐτῶν εἰς τὸν αἰῶνα.

Καὶ ἐψώμισεν αὐτοὺς ἐκ στέατος πυροῦ, καὶ ἐκ πέτρας μέλι ἐχόρτασεν αὐτούς. Δόξα.

Ψαλμὸς τῷ Ἀσάφ. πα'.

Θεὸς ἔστη ἐν συναγωγῇ θεῶν, ἐν μέσῳ δὲ θεοὺς διακρινεῖ.

Ἕως πότε κρίνετε ἀδικίαν, καὶ πρόσωπα ἁμαρτωλῶν λαμβάνετε;

Κρίνατε ὀρφανὸν καὶ πτωχόν, ταπεινὸν καὶ πένητα δικαιώσατε.

Ἐξέλεσθε πένητα, καὶ πτωχὸν ἐκ χειρὸς ἁμαρτωλοῦ ῥύσασθε.

Οὐκ ἔγνωσαν οὐδὲ συνῆκαν, ἐν σκότει διαπορεύονται.

Σαλευθήσονται πάντα τὰ θεμέλια τῆς γῆς.

Ἐγὼ εἶπα, θεοί ἐστε, καὶ υἱοὶ ὑψίστου πάντες, ὑμεῖς δὲ ὡς ἄνθρωποι ἀποθνήσκετε, καὶ ὡς εἷς τῶν ἀρχόντων πίπτετε.

Ἀνάστα ὁ θεὸς, κρῖνον τὴν γῆν, ὅτι σὺ κατακληρονομήσεις ἐν πᾶσι τοῖς ἔθνεσιν.

ᾨδὴ ψαλμοῦ τῷ Ἀσάφ. πβ'.

Ὁ θεὸς τίς ὁμοιωθήσεταί σοι; μὴ σιγήσῃς, μηδὲ καταπραΰνῃς ὁ θεός.

Ὅτι ἰδοὺ οἱ ἐχθροί σου ἤχησαν, καὶ οἱ μισοῦντές σε ἦραν κεφαλήν.

Ἐπὶ τὸν λαόν σου κατεπανουργεύσαντο γνώμην, καὶ ἐβουλεύσαντο κατὰ τῶν ἁγίων σου.

Εἶπαν, δεῦτε καὶ ἐξολοθρεύσωμεν αὐτοὺς ἐξ ἔθνους, καὶ οὐ μὴ μνησθῇ τὸ ὄνομα Ἰσραὴλ ἔτι.

Ὅτι ἐβουλεύσαντο ἐν ὁμονοίᾳ ἐπὶ τὸ αὐτό, κατὰ σοῦ διαθήκην διέθεντο.

Τὰ σκηνώματα τῶν Ἰδουμαίων καὶ οἱ Ἰσμαηλῖται, Μωὰβ καὶ οἱ Ἀγαρηνοὶ, Γεβὰλ καὶ Ἀμμὼν καὶ Ἀμαλὴκ,

Καὶ ἀλλόφυλοι μετὰ τῶν κατοικούντων Τύρον.

Καὶ γὰρ καὶ Ἀσσοὺρ συμπαρεγένετο μετ' αὐτῶν, ἐγενήθησαν εἰς ἀντίληψιν τοῖς υἱοῖς Λώτ.

Ποίησον αὐτοῖς ὡς τῇ Μαδιὰμ καὶ τῷ Σισάρᾳ, ὡς τῷ Ἰαβεὶν ἐν τῷ χειμάρρῳ Κισσῶν.

Ἐξολοθρεύθησαν ἐν Ἀενδώρ, ἐγενήθησαν ὡσεὶ κόπρος τῇ γῇ.

Θοῦ τοὺς ἄρχοντας αὐτῶν ὡς τὸν Ὠρὴβ καὶ Ζὴβ καὶ Ζεβεὲ καὶ Σαλμανά, πάντας τοὺς ἄρχοντας αὐτῶν.

Οἵτινες εἶπαν, κληρονομήσωμεν ἑαυτοῖς τὸ θυσιαστήριον τοῦ θεοῦ.

Ὁ θεός μου θοῦ αὐτοὺς ὡς τροχὸν, καὶ ὡς καλάμην κατὰ πρόσωπον ἀνέμου.

Ὡσεὶ πῦρ ὃ διαφλέξει δρυμὸν, ὡσεὶ φλὸξ κατακαύσαι ὄρη.

Οὕτω καταδιώξεις αὐτοὺς ἐν τῇ καταιγίδι σου, καὶ ἐν τῇ ὀργῇ σου συντα-

Ὡδοποίησας ἔμπροσθεν αὐτῆς, καὶ κατεφύτευσας τὰς ῥίζας αὐτῆς, καὶ ἐπλήσθη ἡ γῆ.

Ἐκάλυψεν ὄρη ἡ σκιὰ αὐτῆς, καὶ αἱ ἀναδενδράδες αὐτῆς τὰς κέδρους τοῦ θεοῦ.

Ἐξέτεινε τὰ κλήματα αὐτῆς ἕως θαλάσσης, καὶ ἕως ποταμοῦ τὰς παραφυάδας αὐτῆς.

Ἵνα τί καθεῖλες τὸν φραγμὸν αὐτῆς, καὶ τρυγῶσιν αὐτὴν πάντες οἱ παραπορευόμενοι τὴν ὁδόν;

Ἐλυμήνατο αὐτὴν σῦς ἐκ δρυμοῦ, καὶ μονιὸς ἄγριος κατενεμήσατο αὐτήν.

Ὁ θεὸς τῶν δυνάμεων ἐπίστρεψον δή, ἐπίβλεψον ἐξ οὐρανοῦ καὶ ἴδε,

Καὶ ἐπίσκεψαι τὴν ἄμπελον ταύτην. καὶ κατάρτισαι αὐτήν, ἣν ἐφύτευσεν ἡ δεξιά σου,

Καὶ ἐπὶ υἱὸν ἀνθρώπου ὃν ἐκραταίωσας σεαυτῷ.

Ἐμπεπυρισμένη πυρὶ καὶ ἀνεσκαμμένη, ἀπὸ ἐπιτιμήσεως τοῦ προσώπου σου ἀπολοῦνται.

Γενηθήτω ἡ χείρ σου ἐπ᾽ ἄνδρα δεξιᾶς σου, καὶ ἐπὶ υἱὸν ἀνθρώπου, ὃν ἐκραταίωσας σεαυτῷ.

Καὶ οὐ μὴ ἀποστῶμεν ἀπὸ σοῦ, ζωώσεις ἡμᾶς, καὶ τὸ ὄνομά σου ἐπικαλεσόμεθα.

Κύριε ὁ θεὸς τῶν δυνάμεων ἐπίστρεψον ἡμᾶς, καὶ ἐπίφανον τὸ πρόσωπόν σου, καὶ σωθησόμεθα.

Εἰς τὸ τέλος ὑπὲρ τῶν ληνῶν ψαλμὸς τῷ Ἀσάφ. π.

Ἀγαλλιᾶσθε τῷ θεῷ τῷ βοηθῷ ἡμῶν, ἀλαλάξατε τῷ θεῷ Ἰακώβ.

Λάβετε ψαλμὸν καὶ δότε τύμπανον, ψαλτήριον τερπνὸν μετὰ κιθάρας.

Σαλπίσατε ἐν νεομηνίᾳ σάλπιγγι, ἐν εὐσήμῳ ἡμέρᾳ ἑορτῆς ὑμῶν.

Ὅτι πρόσταγμα τῷ Ἰσραήλ ἐστι, καὶ κρίμα τῷ θεῷ Ἰακώβ.

Μαρτύριον ἐν τῷ Ἰωσὴφ ἔθετο αὐτόν, ἐν τῷ ἐξελθεῖν αὐτὸν ἐκ γῆς Αἰγύπτου.

Γλῶσσαν ἣν οὐκ ἔγνω ἤκουσεν, ἀπέστησεν ἀπὸ ἄρσεων τὸν νῶτον αὐτοῦ.

Αἱ χεῖρες αὐτοῦ ἐν τῷ κοφίνῳ ἐδούλευσαν, ἐν θλίψει ἐπεκαλέσω με καὶ ἐρρυσάμην σε.

Ἐπήκουσά σου ἐν ἀποκρύφῳ καταιγίδος,

Ἐδοκίμασά σε ἐπὶ ὕδατος ἀντιλογίας.

Ἄκουσον λαός μου καὶ λαλήσω σοι, Ἰσραὴλ καὶ διαμαρτύρομαί σοι.

Ἐὰν ἀκούσῃς μου, οὐκ ἔσται ἐν σοὶ θεὸς πρόσφατος, οὐδὲ προσκυνήσεις θεῷ ἀλλοτρίῳ.

Ἐγὼ γάρ εἰμι κύριος ὁ θεός σου, ὁ ἀναγαγών σε ἐκ γῆς Αἰγύπτου,

Πλάτυνον τὸ στόμα σου. καὶ πληρώσω αὐτό.

Καὶ οὐκ ἤκουσεν ὁ λαός μου τῆς φωνῆς μου, καὶ Ἰσραὴλ οὐ προσέσχε μοι.

Καὶ ἐξαπέστειλα αὐτοὺς κατὰ τὰ ἐπιτηδεύματα τῶν καρδιῶν αὐτῶν, πορεύσονται ἐν τοῖς ἐπιτηδεύμασιν αὐτῶν.

Εἰ ὁ λαός μου ἤκουσέ μου, Ἰσραὴλ

λων σου βρώματα τοῖς πετεινοῖς τοῦ οὐρανοῦ,
Τὰς σάρκας τῶν ὁσίων σου τοῖς θηρίοις τῆς γῆς.
Ἐξέχεαν τὸ αἷμα αὐτῶν ὡς ὕδωρ, κύκλῳ Ἱερουσαλὴμ καὶ οὐκ ἦν ὁ θάπτων.
Ἐγενήθημεν εἰς ὄνειδος τοῖς γείτοσιν ἡμῶν, μυκτηρισμὸς καὶ χλευασμὸς τοῖς κύκλῳ ἡμῶν.
Ἕως πότε κύριε ὀργισθήσῃ εἰς τέλος, ἐκκαυθήσεται ὡς πῦρ ὁ ζῆλός σου;
Ἔκχεον τὴν ὀργήν σου ἐπὶ ἔθνη τὰ μὴ ἐπεγνωκότα σε, καὶ ἐπὶ βασιλείας αἳ τὸ ὄνομά σου οὐκ ἐπεκαλέσαντο.
Ὅτι κατέφαγον τὸν Ἰακὼβ, καὶ τὸν τόπον αὐτοῦ ἠρήμωσαν.
Μὴ μνησθῇς ἡμῶν ἀνομιῶν ἀρχαίων, ταχὺ προκαταλαβέτωσαν ἡμᾶς οἱ οἰκτιρμοί σου, ὅτι ἐπτωχεύσαμεν σφόδρα.
Βοήθησον ἡμῖν ὁ θεὸς ὁ σωτὴρ ἡμῶν, ἕνεκα τῆς δόξης τοῦ ὀνόματός σου κύριε ῥῦσαι ἡμᾶς,
Καὶ ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός σου.
Μήποτε εἴπωσι ἐν τοῖς ἔθνεσι, ποῦ ἐστὶν ὁ θεὸς αὐτῶν καὶ γνωσθήτω ἐν τοῖς ἔθνεσιν ἐνώπιον τῶν ὀφθαλμῶν ἡμῶν ἡ ἐκδίκησις τοῦ αἵματος τῶν δούλων σου τοῦ ἐκκεχυμένου.
Εἰσελθέτω ἐνώπιόν σου ὁ στεναγμὸς τῶν πεπεδημένων,
Κατὰ τὴν μεγαλωσύνην τοῦ βραχίονός σου, περιποίησαι τοὺς υἱοὺς τῶν τεθανατωμένων.
Ἀπόδος τοῖς γείτοσιν ἡμῶν ἑπταπλάσια εἰς τὸν κόλπον αὐτῶν, τὸν ὀνειδισμὸν αὐτῶν ὃν ὠνείδισάν σε κύριε.
Ἡμεῖς γὰρ λαός σου καὶ πρόβατα νομῆς σου,
Ἀνθομολογησόμεθά σοι εἰς τὸν αἰῶνα, εἰς γενεὰν καὶ γενεὰν ἐξαγγελοῦμεν τὴν αἴνεσίν σου.

Εἰς τὸ τέλος ὑπὲρ τῶν ἀλλοιωθησομένων μαρτύριον τῷ Ἀσάφ. ψαλμὸς ὑπὲρ τοῦ Ἀσσυρίου. οθ.

Ὁ ποιμαίνων τὸν Ἰσραὴλ πρόσχες, ὁ ὁδηγῶν ὡσεὶ πρόβατα τὸν Ἰωσήφ.
Ὁ καθήμενος ἐπὶ τῶν χερουβὶμ ἐμφάνηθι, ἐναντίον Ἐφραὶμ καὶ Βενιαμὶν καὶ Μανασσῆ,
Ἐξέγειρον τὴν δυναστείαν σου, καὶ ἐλθὲ εἰς τὸ σῶσαι ἡμᾶς.
Ὁ θεὸς ἐπίστρεψον ἡμᾶς, καὶ ἐπίφανον τὸ πρόσωπόν σου, καὶ σωθησόμεθα.
Κύριε ὁ θεὸς τῶν δυνάμεων ἕως πότε ὀργίζῃ ἐπὶ τὴν προσευχὴν τῶν δούλων σου;
Ψωμιεῖς ἡμᾶς ἄρτον δακρύων, καὶ ποτιεῖς ἡμᾶς ἐν δάκρυσιν ἐν μέτρῳ.
Ἔθου ἡμᾶς εἰς ἀντιλογίαν τοῖς γείτοσιν ἡμῶν, καὶ οἱ ἐχθροὶ ἡμῶν ἐμυκτήρισαν ἡμᾶς
Κύριε ὁ θεὸς τῶν δυνάμεων ἐπίστρεψον ἡμᾶς, καὶ ἐπίφανον τὸ πρόσωπόν σου, καὶ σωθησόμεθα.
Ἄμπελον ἐξ Αἰγύπτου μετῆρας, ἐξέβαλες ἔθνη καὶ κατεφύτευσας αὐτήν.

τον σωέκλεισε.

Καὶ ἐπάταξε πᾶν πρωτότοκον ἐν γῇ Αἰγύπτῳ, ἀπαρχὴν πόνων αὐτῶν ἐν τοῖς σκηνώμασι Χάμ.

Καὶ ἀπῆρεν ὡς πρόβατα τὸν λαὸν αὐτοῦ, ἤγαγεν αὐτοὺς ὡσεὶ ποίμνιον ἐν ἐρήμῳ.

Καὶ ὡδήγησεν αὐτοὺς ἐν ἐλπίδι, καὶ οὐκ ἐδειλίασαν, καὶ τοὺς ἐχθροὺς αὐτῶν ἐκάλυψε θάλασσα.

Καὶ εἰσήγαγεν αὐτοὺς εἰς ὄρος ἁγιάσματος αὐτοῦ, ὄρος τοῦτο ὃ ἐκτήσατο ἡ δεξιὰ αὐτοῦ.

Καὶ ἐξέβαλεν ἀπὸ προσώπου αὐτῶν ἔθνη, καὶ ἐκληροδότησεν αὐτοὺς ἐν σχοινίῳ κληροδοσίας, καὶ κατεσκήνωσεν ἐν τοῖ σκηνώμασιν αὐτῶν τὰς φυλὰς τοῦ Ισραήλ.

Καὶ ἐπείρασαν καὶ παρεπίκραναν τὸν θεὸν τὸν ὕψιστον, καὶ τὰ μαρτύρια αὐτοῦ οὐκ ἐφυλάξαντο.

Καὶ ἀπέστρεψαν, καὶ ἠσυνθέτησαν καθὼς καὶ οἱ πατέρες αὐτῶν, μετεστράφησαν εἰς τόξον στρεβλόν.

Καὶ παρώργισαν αὐτὸν ἐν τοῖς βουνοῖς αὐτῶν, καὶ ἐν τοῖς γλυπτοῖς αὐτῶν παρεζήλωσαν αὐτόν.

Ἤκουσεν ὁ θεὸς καὶ ὑπερεῖδε, καὶ ἐξουδένωσε σφόδρα τὸν Ισραήλ.

Καὶ ἀπώσατο τὴν σκηνὴν Σιλώμ, σκήνωμα αὐτοῦ οὗ κατεσκήνωσεν ἐν ἀνθρώποις.

Καὶ παρέδωκεν εἰς αἰχμαλωσίαν τὴν ἰσχὺν αὐτῶν, καὶ τὴν καλλονὴν αὐτῶν εἰς χεῖρας ἐχθροῦ.

Καὶ συνέκλεισεν εἰς ῥομφαίαν τὸν λαὸν αὐτοῦ· καὶ τὴν κληρονομίαν αὐτοῦ ὑπερεῖδε.

Τοὺς νεανίσκους αὐτῶν κατέφαγε πῦρ, καὶ αἱ παρθένοι αὐτῶν οὐκ ἐπενθήθησαν,

Οἱ ἱερεῖς αὐτῶν ἐν ῥομφαίᾳ ἔπεσον, καὶ αἱ χῆραι αὐτῶν οὐ κλαυσθήσονται.

Καὶ ἐξηγέρθη ὡς ὁ ὑπνῶν κύριος, ὡς δυνατὸς κεκραιπαληκὼς ἐξ οἴνου.

Καὶ ἐπάταξε τοὺς ἐχθροὺς αὐτοῦ εἰς τὰ ὀπίσω, ὄνειδος αἰώνιον ἔδωκεν αὐτοῖς.

Καὶ ἀπώσατο τὸ σκήνωμα Ιωσὴφ, καὶ τὴν φυλὴν Εφραὶμ οὐκ ἐξελέξατο.

Καὶ ἐξελέξατο τὴν φυλὴν Ιούδα, τὸ ὄρος τὸ Σιὼν ὃ ἠγάπησε.

Καὶ ᾠκοδόμησεν ὡς μονοκερώτων τὸ ἁγίασμα αὐτοῦ, ἐν τῇ γῇ ἐθεμελίωσεν αὐτὴν εἰς τὸν αἰῶνα.

Καὶ ἐξελέξατο Δαβὶδ τὸν δοῦλον αὐτοῦ, καὶ ἀνέλαβεν αὐτὸν ἐκ τῶν ποιμνίων τῶν προβάτων.

Ἐξόπισθεν τῶν λοχευομένων ἔλαβεν αὐτὸν, ποιμαίνειν Ιακὼβ τὸν δοῦλον αὐτοῦ, καὶ Ισραὴλ τὴν κληρονομίαν αὐτοῦ.

Καὶ ἐποίμανεν αὐτοὺς ἐν τῇ ἀκακίᾳ τῆς καρδίας αὐτοῦ, καὶ ἐν τῇ συνέσει τῶν χειρῶν αὐτοῦ ὡδήγησεν αὐτούς.

Δόξα.

Ψαλμὸς τῷ Ασάφ. οη.

Ὁ Θεὸς ἤλθοσαν ἔθνη εἰς τὴν κληρονομίαν σου, ἐμίαναν τὸν ναὸν τὸν ἅγιόν σου.

Ἔθεντο Ιερουσαλὴμ εἰς ὀπωροφυλάκιον, ἔθεντο τὰ θνησιμαῖα τῶν δούλων

Καὶ ὡσεὶ ἄμμον θαλασσῶν πετεινὰ πτερωτά.

Καὶ ἐπέπεσον εἰς μέσον τῆς παρεμβολῆς αὐτῶν, κύκλῳ τῶν σκηνωμάτων αὐτῶν.

Καὶ ἔφαγον καὶ ἐνεπλήσθησαν σφόδρα, καὶ τὴν ἐπιθυμίαν αὐτῶν ἤνεγκεν αὐτοῖς. οὐκ ἐστερήθησαν ἀπὸ τῆς ἐπιθυμίας αὐτῶν.

Ἔτι τῆς βρώσεως αὐτῶν οὔσης ἐν τῷ στόματι αὐτῶν, καὶ ὀργὴ τοῦ θεοῦ ἀνέβη ἐπ' αὐτοὺς,

Καὶ ἀπέκτεινεν ἐν τοῖς πίοσιν αὐτῶν, καὶ τοὺς ἐκλεκτοὺς τοῦ Ισραὴλ συνεπόδισεν.

Ἐν πᾶσι τούτοις ἥμαρτον ἔτι, καὶ οὐκ ἐπίστευσαν τοῖς θαυμασίοις αὐτοῦ.

Καὶ ἐξέλιπον ἐν ματαιότητι αἱ ἡμέραι αὐτῶν, καὶ τὰ ἔτη αὐτῶν μετὰ σπουδῆς.

Ὅταν ἀπέκτεινεν αὐτοὺς, ἐζήτουν αὐτὸν, καὶ ἐπέστρεφον καὶ ὤρθριζον πρὸς τὸν θεόν.

Καὶ ἐμνήσθησαν, ὅτι ὁ θεὸς βοηθὸς αὐτῶν ἐστι, καὶ ὁ θεὸς ὁ ὕψιστος λυτρωτὴς αὐτῶν ἐστι.

Καὶ ἠγάπησαν αὐτὸν ἐν τῷ στόματι αὐτῶν, καὶ τῇ γλώσσῃ αὐτῶν ἐψεύσαντο αὐτῷ.

Ἡ δὲ καρδία αὐτῶν οὐκ εὐθεῖα μετ' αὐτοῦ, οὐδὲ ἐπιστώθησαν ἐν τῇ διαθήκῃ αὐτοῦ.

Αὐτὸς δέ ἐστιν οἰκτίρμων καὶ ἱλάσεται ταῖς ἁμαρτίαις αὐτῶν, καὶ οὐ διαφθερεῖ.

Καὶ πληθυνεῖ τοῦ ἀποστρέψαι τὸν θυμὸν αὐτοῦ, καὶ οὐχὶ ἐκκαύσει πᾶσαν τὴν ὀργὴν αὐτοῦ.

Καὶ ἐμνήσθη ὅτι σάρξ εἰσι, πνεῦμα πορευόμενον καὶ οὐκ ἐπιστρέφον.

Ποσάκις παρεπίκραναν αὐτὸν ἐν τῇ ἐρήμῳ, παρώργισαν αὐτὸν ἐν γῇ ἀνύδρῳ,

Καὶ ἐπέστρεψαν καὶ ἐπείρασαν τὸν θεὸν, καὶ τὸν ἅγιον τοῦ Ισραὴλ παρώξυναν.

Οὐκ ἐμνήσθησαν τῆς χειρὸς αὐτοῦ ἡμέρας, ἧς ἐλυτρώσατο αὐτοὺς ἐκ χειρὸς θλίβοντος.

Ὡς ἔθετο ἐν Αἰγύπτῳ τὰ σημεῖα αὐτοῦ, καὶ τὰ τέρατα αὐτοῦ ἐν πεδίῳ Τάνεως.

Καὶ μετέστρεψεν εἰς αἷμα τοὺς ποταμοὺς αὐτῶν, καὶ τὰ ὀμβρήματα αὐτῶν ὅπως μὴ πίωσιν.

Ἐξαπέστειλεν εἰς αὐτοὺς κυνόμυιαν, καὶ κατέφαγεν αὐτοὺς, καὶ βάτραχον καὶ διέφθειρεν αὐτούς.

Καὶ ἔδωκε τῇ ἐρυσίβῃ τὸν καρπὸν αὐτῶν, καὶ τοὺς πόνους αὐτῶν τῇ ἀκρίδι.

Ἀπέκτεινεν ἐν χαλάζῃ τὴν ἄμπελον αὐτῶν, καὶ τὰς συκαμίνους αὐτῶν, ἐν τῇ πάχνῃ.

Καὶ παρέδωκεν εἰς χάλαζαν τὰ κτήνη αὐτῶν, καὶ τὴν ὕπαρξιν αὐτῶν τῷ πυρί.

Ἐξαπέστειλεν εἰς αὐτοὺς ὀργὴν θυμοῦ αὐτοῦ, θυμὸν καὶ ὀργὴν καὶ θλῖψιν ἀποστολὴν δι' ἀγγέλων πονηρῶν.

Ὡδοποίησε τρίβον τῇ ὀργῇ αὐτοῦ. οὐκ ἐφείσατο ἀπὸ θανάτου τῶν ψυχῶν αὐτῶν,

Καὶ τὰ κτήνη αὐτῶν εἰς θάνα-

τὰς αἰνέσεις κυρίου καὶ τὰς δυναστείας αὐτοῦ,

Καὶ τὰ θαυμάσια αὐτοῦ ἃ ἐποίησε. καὶ ἀνέστησε μαρτύριον ἐν Ἰακὼβ, καὶ νόμον ἔθετο ἐν Ἰσραήλ.

Ὃν ἐνετείλατο τοῖς πατράσιν ἡμῶν, γνωρίσαι αὐτὸν τοῖς υἱοῖς αὐτῶν,

Ὅπως ἂν γνῷ γενεὰ ἑτέρα, υἱοὶ οἱ τεχθησόμενοι, καὶ ἀναστήσονται καὶ ἀπαγγελοῦσιν αὐτὰ τοῖς υἱοῖς αὐτῶν.

Ἵνα θῶνται ἐπὶ τὸν θεὸν τὴν ἐλπίδα αὐτῶν, καὶ μὴ ἐπιλάθωνται τῶν ἔργων τοῦ θεοῦ.

Καὶ τὰς ἐντολὰς αὐτοῦ ἐκζητήσωσιν, ἵνα μὴ γένωνται ὡς οἱ πατέρες αὐτῶν, γενεὰ σκολιὰ καὶ παραπικραίνουσα.

Γενεὰ ἥτις οὐ κατεύθυνεν ἐν τῇ καρδίᾳ αὐτῆς, καὶ οὐκ ἐπιστώθη μετὰ τοῦ θεοῦ τὸ πνεῦμα αὐτῆς.

Υἱοὶ Ἐφραῒμ ἐντείνοντες καὶ βάλλοντες τόξον, ἐστράφησαν ἐν ἡμέρᾳ πολέμου.

Οὐκ ἐφύλαξαν τὴν διαθήκην τοῦ θεοῦ, καὶ ἐν τῷ νόμῳ αὐτοῦ οὐκ ἤθελον πορεύεσθαι.

Καὶ ἐπελάθοντο τῶν εὐεργεσιῶν αὐτοῦ, καὶ τῶν θαυμασίων αὐτοῦ, ὧν ἔδειξεν αὐτοῖς.

Ἐναντίον τῶν πατέρων αὐτῶν ἃ ἐποίησε θαυμάσια, ἐν γῇ Αἰγύπτῳ, ἐν πεδίῳ Τάνεως.

Διέῤῥηξε θάλασσαν καὶ διήγαγεν αὐτοὺς, ἔστησεν ὕδατα ὡσεὶ ἀσκόν.

Καὶ ὡδήγησεν αὐτοὺς ἐν νεφέλῃ ἡμέρας, καὶ ὅλην τὴν νύκτα ἐν φωτισμῷ πυρός.

Διέῤῥηξε πέτραν ἐν ἐρήμῳ, καὶ ἐπότισεν αὐτοὺς ὡς ἐν ἀβύσσῳ πολλῇ.

Καὶ ἐξήγαγεν ὕδωρ ἐκ πέτρας, καὶ κατήγαγεν ὡς ποταμοὺς ὕδατα. καὶ προσέθεντο ἔτι τοῦ ἁμαρτάνειν αὐτῷ.

Παρεπίκραναν τὸν ὕψιστον ἐν ἀνύδρῳ, καὶ ἐξεπείρασαν τὸν θεὸν ἐν ταῖς καρδίαις αὐτῶν.

Τοῦ αἰτῆσαι βρώματα ταῖς ψυχαῖς αὐτῶν.

Καὶ κατελάλησαν τοῦ θεοῦ, καὶ εἶπαν, μὴ δυνήσεται ὁ θεὸς ἑτοιμάσαι τράπεζαν ἐν ἐρήμῳ;

Ἐπεὶ ἐπάταξε πέτραν, καὶ ἐῤῥύησαν ὕδατα, καὶ χείμαῤῥοι κατεκλύσθησαν.

Μὴ καὶ ἄρτον δυνήσεται δοῦναι, ἢ ἑτοιμάσαι τράπεζαν τῷ λαῷ αὐτοῦ;

Διὰ τοῦτο ἤκουσε κύριος καὶ ἀνεβάλετο, καὶ πῦρ ἀνήφθη ἐν Ἰακὼβ, καὶ ὀργὴ ἀνέβη ἐπὶ τὸν Ἰσραήλ.

Ὅτι οὐκ ἐπίστευσαν ἐν τῷ θεῷ, οὐδὲ ἤλπισαν ἐπὶ τὸ σωτήριον αὐτοῦ.

Καὶ ἐνετείλατο νεφέλαις ὑπεράνωθεν, καὶ θύρας οὐρανοῦ ἀνέῳξε.


Καὶ ἔβρεξεν αὐτοῖς μάννα φαγεῖν, καὶ ἄρτον οὐρανοῦ ἔδωκεν αὐτοῖς.

Ἄρτον ἀγγέλων ἔφαγεν ἄνθρωπος, ἐπισιτισμὸν ἀπέστειλεν αὐτοῖς εἰς πλησμονήν.

Ἀπῆρεν νότον ἐξ οὐρανοῦ, καὶ ἐπήγαγεν ἐν τῇ δυναστείᾳ αὐτοῦ λίβα.

Καὶ ἔβρεξεν ἐπ᾽ αὐτοὺς ὡσεὶ χοῦν σάρκας,

θαυμασίων σου, καὶ μελετήσω ἐν πᾶσι τοῖς ἔργοις σου,
Καὶ ἐν τοῖς ἐπιτηδεύμασί σου ἀδολεσχήσω. ὁ θεὸς ἐν τῷ ἁγίῳ ἡ ὁδός σου,
Τίς θεὸς μέγας ὡς ὁ θεὸς ἡμῶν; σὺ εἶ ὁ θεὸς ὁ ποιῶν θαυμάσια,
Ἐγνώρισας ἐν τοῖς λαοῖς τὴν δύναμίν σου, ἐλυτρώσω ἐν τῷ βραχίονί σου τὸν λαόν σου, τοὺς υἱοὺς Ἰακὼβ καὶ Ἰωσήφ.
Εἴδοσάν σε ὕδατα ὁ θεὸς, εἴδοσάν σε ὕδατα καὶ ἐφοβήθησαν,
Καὶ ἐταράχθησαν ἄβυσσοι. πλῆθος ἤχους ὑδάτων, φωνὴν ἔδωκαν αἱ νεφέλαι,
Καὶ γὰρ τὰ βέλη σου διαπορεύονται φωνὴ τῆς βροντῆς σου ἐν τῷ τροχῷ,
Ἔφαναν αἱ ἀστραπαί σου τῇ οἰκουμένῃ, ἐσαλεύθη καὶ ἔντρομος ἐγενήθη ἡ γῆ.
Ἐν τῇ θαλάσσῃ ἡ ὁδός σου, καὶ αἱ τρίβοι σου ἐν ὕδασι πολλοῖς, καὶ τὰ ἴχνη σου οὐ γνωσθήσονται.
Ὡδήγησας ὡς πρόβατα τὸν λαόν σου, ἐν χειρὶ Μωσῆ καὶ Ἀαρών.
Δόξα.



ΚΑΘΙΣΜΑ.
ΣΤΙΧΟΙ ΕΙΣ ΤΟΝ θεῖον Δαβίδ.

Σίγησον Ὀρφεῦ ῥῖψον Ἑρμῆ τὴν λύραν,
Τρίπους ὁ Δελφοῖς, δῦνον εἰς λήθην ἔτι,
Δαβὶδ γὰρ ἡμῖν τοῦ πνεύματος κρέκων λύραν,
Τρανεῖ τὰ κρυπτὰ τῶν θεοῦ μυστηρίων,
Πλῆθος παλαιῶν ἱστορεῖ τεραστίων,
Κινεῖ πρὸς ὕμνον τοῦ κτίσαντος τὴν κτίσιν,
Ἅπαντας σώζων, μυσταγωγεῖ καὶ γράφει.
Ἁμαρτάνοντας εἰς ἐπιστροφὴν φέρει.
Πολλοῖς σὺν ἄλλοις, καὶ κριτοῦ δηλῶν κρίσιν.
Σμήχειν διδάσκει ψυχικὰς ἁμαρτάδας.
Τῷ θεῷ δόξα.



ΑΡΜΟΝΙΗΣ
ΙΕΡΗΣ ΜΕΛΙΗΔΕΑ
ἄσματα Δαβὶδ συνέσεως τοῦ Ἀσάφ. οζ'.

Προσέχετε λαός μου τὸν νόμον μου, κλίνατε τὸ οὖς ὑμῶν εἰς τὰ ῥήματα τοῦ στόματός μου.
Ἀνοίξω ἐν παραβολαῖς τὸ στόμα μου, φθέγξομαι προβλήματα ἀπ' ἀρχῆς.
Ὅσα ἠκούσαμεν καὶ ἔγνωμεν αὐτὰ, καὶ οἱ πατέρες ἡμῶν διηγήσαντο ἡμῖν.
Οὐκ ἐκρύβη ἀπὸ τῶν τέκνων αὐτῶν εἰς γενεὰν ἑτέραν, ἀπαγγέλλοντες

τῆς γῆς. ἐγὼ δὲ ἀγαλλιάσομαι εἰς τὸν αἰῶνα, ψαλῶ τῷ θεῷ Ἰακώβ.

Καὶ πάντα τὰ κέρατα τῶν ἁμαρτωλῶν συγκλάσω, καὶ ὑψωθήσεται τὰ κέρατα τοῦ δικαίου.

Εἰς τὸ τέλος ἐν ὕμνοις, ψαλμὸς τῷ Ἀσάφ, ᾠδὴ πρὸς τὸν Ἀσσύριον.

Γνωστὸς ἐν τῇ Ἰουδαίᾳ ὁ θεός, ἐν τῷ Ἰσραὴλ μέγα τὸ ὄνομα αὐτοῦ.

Καὶ ἐγενήθη ἐν εἰρήνῃ ὁ τόπος αὐτοῦ, καὶ τὸ κατοικητήριον αὐτοῦ ἐν Σιών.

Ἐκεῖ συνέτριψε τὰ κράτη τῶν τόξων, ὅπλον καὶ ῥομφαίαν καὶ πόλεμον.

Φωτίζεις σὺ θαυμαστῶς ἀπὸ ὀρέων αἰωνίων, ἐταράχθησαν πάντες οἱ ἀσύνετοι τῇ καρδίᾳ.

Ὕπνωσαν ὕπνον αὐτῶν, καὶ οὐχ εὗρον οὐδὲν, πάντες οἱ ἄνδρες τοῦ πλούτου ταῖς χερσὶν αὐτῶν.

Ἀπὸ ἐπιτιμήσεώς σου ὁ θεὸς Ἰακώβ, ἐνύσταξαν οἱ ἐπιβεβηκότες τοὺς ἵππους.

Σὺ φοβερὸς εἶ, καὶ τίς ἀντιστήσεταί σοι ἀπὸ τῆς ὀργῆς σου; ἐκ τοῦ οὐρανοῦ ἠκούτισας κρίσιν,

Γῆ ἐφοβήθη καὶ ἡσύχασεν, ἐν τῷ ἀναστῆναι εἰς κρίσιν τὸν θεὸν, τοῦ σῶσαι πάντας τοὺς πραεῖς τῇ καρδίᾳ.

Ὅτι ἐνθύμιον ἀνθρώπου ἐξομολογήσεταί σοι, καὶ ἐγκατάλειμμα ἐνθυμίου ἑορτάσει σοι.

Εὔξασθε καὶ ἀπόδοτε κυρίῳ τῷ θεῷ ἡμῶν, πάντες οἱ κύκλῳ αὐτοῦ οἴσουσι δῶρα.

Τῷ φοβερῷ καὶ ἀφαιρεμένῳ πνεύματα ἀρχόντων, φοβερῷ παρὰ τοῖς βασιλεῦσι τῆς γῆς.

Εἰς τὸ τέλος ὑπὲρ Ἰδιθοὺν ψαλμὸς τῷ Ἀσάφ. οϛ'.

Φωνῇ μου πρὸς κύριον ἐκέκραξα, καὶ ἡ φωνή μου πρὸς τὸν θεὸν, καὶ προσέσχε μοι.

Ἐν ἡμέρᾳ θλίψεώς μου τὸν θεὸν ἐξεζήτησα, ταῖς χερσί μου νυκτὸς ἐναντίον αὐτοῦ, καὶ οὐκ ἠπατήθην.

Ἀπηνήνατο παρακληθῆναι ἡ ψυχή μου, ἐμνήσθην τοῦ θεοῦ, καὶ εὐφράνθην,

Ἠδολέσχησα καὶ ὠλιγοψύχησε τὸ πνεῦμά μου.

Προκατελάβοντο φυλακὰς πάντες οἱ ἐχθροί μου,

Ἐταράχθην καὶ οὐκ ἐλάλησα. διελογισάμην ἡμέρας ἀρχαίας καὶ ἔτη αἰώνια ἐμνήσθην, καὶ ἐμελέτησα,

Νυκτὸς μετὰ τῆς καρδίας μου ἠδολέσχουν, καὶ ἔσκαλλον τὸ πνεῦμά μου.

Μὴ εἰς τοὺς αἰῶνας ἀπώσεται κύριος, καὶ οὐ προσθήσει τοῦ εὐδοκῆσαι ἔτι; ἢ εἰς τέλος ἀποκόψει τὸ ἔλεος ἀπὸ γενεᾶς καὶ γενεᾶς;

Ἢ ἐπιλήσεται τοῦ οἰκτειρῆσαι ὁ θεὸς,

Ἢ συνέξει ἐν τῇ ὀργῇ αὐτοῦ τοὺς οἰκτιρμοὺς αὐτοῦ;

Καὶ εἶπα, νῦν ἠρξάμην, αὕτη ἡ ἀλλοίωσις τῆς δεξιᾶς τοῦ ὑψίστου, ἐμνήσθην τῶν ἔργων κυρίου,

Ὅτι μνησθήσομαι ἀπὸ τῆς ἀρχῆς τῶν θαυ-

τῆς γῆς.

Τὰ σημεῖα ἡμῶν οὐκ εἴδομεν, οὐκ ἔστιν ἔτι προφήτης, καὶ ἡμᾶς οὐ γνώσεται ἔτι.

Ἕως πότε ὁ θεὸς, ὀνειδιεῖ ὁ ἐχθρὸς, παροξυνεῖ ὁ ὑπεναντίος τὸ ὄνομά σου εἰς τέλος;

Ἵνα τί ἀποστρέφεις τὴν χεῖρά σου, καὶ τὴν δεξιάν σου ἐκ μέσου τοῦ κόλπου σου εἰς τέλος;

Ὁ δὲ θεὸς βασιλεὺς ἡμῶν πρὸ αἰῶνος, εἰργάσατο σωτηρίαν ἐν μέσῳ τῆς γῆς.

Σὺ ἐκραταίωσας ἐν τῇ δυνάμει σου τὴν θάλασσαν, σὺ συνέτριψας τὰς κεφαλὰς τῶν δρακόντων ἐπὶ τοῦ ὕδατος.

Σὺ συνέτριψας τὰς κεφαλὰς τοῦ δράκοντος, ἔδωκας αὐτὸν βρῶμα λαοῖς τοῖς Αἰθίοψι.

Σὺ διέῤῥηξας πηγὰς καὶ χειμάῤῥους, σὺ ἐξήρανας ποταμοὺς Ἠθάμ.

Σὴ ἐστὶν ἡ ἡμέρα, καὶ σή ἐστιν ἡ νύξ, σὺ κατηρτίσω ἥλιον καὶ σελήνην.

Σὺ ἐποίησας πάντα τὰ ὅρια τῆς γῆς, θέρος καὶ ἔαρ σὺ ἐποίησας, μνήσθητι ταύτης τῆς κτίσεώς σου.

Ἐχθρὸς ὠνείδισε τὸν κύριον, καὶ λαὸς ἄφρων παρώξυνε τὸ ὄνομά σου.

Μὴ παραδῷς τοῖς θηρίοις ψυχὴν ἐξομολογουμένην σοι, τῶν ψυχῶν τῶν πενήτων σου μὴ ἐπιλάθῃ εἰς τέλος.

Ἐπίβλεψον εἰς τὴν διαθήκην σου, ὅτι ἐπληρώθησαν οἱ ἐσκοτισμένοι τῆς γῆς οἴκων ἀνομιῶν.

Μὴ ἀποστραφήτω τεταπεινωμένος καὶ κατῃσχυμμένος, πτωχὸς καὶ πένης αἰνέσουσι τὸ ὄνομά σου.

Ἀνάστα ὁ θεὸς δίκασον τὴν δίκην σου, μνήσθητι τῶν ὀνειδισμῶν σου τῶν ὑπὸ ἄφρονος ὅλην τὴν ἡμέραν.

Μὴ ἐπιλάθῃ τῆς φωνῆς τῶν ἱκετῶν σου, ἡ ὑπερηφανία τῶν μισούντων σε ἀναβαίη διαπαντὸς πρὸς σέ.

Δόξα.

Εἰς τὸ τέλος μὴ διαφθείρῃς ψαλμὸς ᾠδῆς τῷ Ἀσάφ. οδ΄.

Ἐξομολογησόμεθά σοι ὁ θεὸς, ἐξομολογησόμεθα, καὶ ἐπικαλεσόμεθα τὸ ὄνομά σου.

Διηγήσομαι πάντα τὰ θαυμάσιά σου. ὅταν λάβω καιρὸν, ἐγὼ εὐθύτητας κρινῶ.

Ἐτάκη ἡ γῆ, καὶ πάντες οἱ κατοικοῦντες αὐτήν,

Ἐγὼ ἐστερέωσα τοὺς στύλους αὐτῆς, Εἶπα τοῖς παρανομοῦσι, μὴ παρανομεῖν, καὶ τοῖς ἁμαρτάνουσι, μὴ ὑψοῦτε κέρας.

Μὴ ἐπαίρετε εἰς ὕψος τὸ κέρας ὑμῶν, μὴ λαλεῖτε κατὰ τοῦ θεοῦ ἀδικίαν.

Ὅτι οὔτε ἀπὸ ἐξόδων οὔτε ἀπὸ δυσμῶν, οὔτε ἀπὸ ἐρήμων ὀρέων, ὅτι ὁ θεὸς κριτής ἐστι.

Τοῦτον ταπεινοῖ, καὶ τοῦτον ὑψοῖ, ὅτι ποτήριον ἐν χειρὶ κυρίου, οἴνου ἀκράτου πλῆρες κεράσματος.

Καὶ ἔκλινεν ἐκ τούτου εἰς τοῦτο, πλὴν ὁ τρυγίας αὐτοῦ οὐκ ἐξεκενώθη.

Πίονται πάντες οἱ ἁμαρτωλοὶ

Ἰδοὺ οὗτοι οἱ ἁμαρτωλοὶ καὶ εὐθηνοῦντες εἰς τὸν αἰῶνα, κατέσχον πλούτου.

Καὶ εἶπα, ἄρα ματαίως ἐδικαίωσα τὴν καρδίαν μου, καὶ ἐνιψάμην ἐν ἀθώοις τὰς χεῖράς μου.

Καὶ ἐγενόμην μεμαστιγωμένος ὅλην τὴν ἡμέραν, καὶ ὁ ἔλεγχός μου εἰς τὰς πρωΐας.

Εἰ ἔλεγον, διηγήσομαι οὕτως, ἰδοὺ τῇ γενεᾷ τῶν υἱῶν σου ἠσυνθέτηκα, καὶ ὑπέλαβον τοῦ γνῶναι,

Τοῦτο κόπος ἐστὶν ἐναντίον μου, ἕως εἰσέλθω εἰς τὸ ἁγιαστήριον τοῦ θεοῦ, συνῶ εἰς τὰ ἔσχατα.

Πλὴν διὰ τὰς δολιότητας, ἔθου αὐτοῖς, κατέβαλες αὐτοὺς ἐν τῷ ἐπαρθῆναι.

Πῶς ἐγένοντο εἰς ἐρήμωσιν; ἐξάπινα ἐξέλιπον, ἀπώλοντο διὰ τὴν ἀνομίαν αὐτῶν.

Ὡσεὶ ἐνύπνιον ἐξεγειρομένου κύριε ἐν τῇ πόλει σου τὴν εἰκόνα αὐτῶν ἐξουδενώσεις.

Ὅτι ηὐφράνθη ἡ καρδία μου, καὶ οἱ νεφροί μου ἠλλοιώθησαν.

Κἀγὼ ἐξουδενωμένος, καὶ οὐκ ἔγνων, κτηνώδης ἐγενόμην παρὰ σοί, κἀγὼ διαπαντὸς μετὰ σοῦ.

Ἐκράτησας τῆς χειρὸς τῆς δεξιᾶς μου, ἐν τῇ βουλῇ σου ὡδήγησάς με, καὶ μετὰ δόξης προσελάβου με.

Τί γάρ μοι ὑπάρχει ἐν τῷ οὐρανῷ, καὶ παρὰ σοῦ τί ἠθέλησα ἐπὶ τῆς γῆς;

Ἐξέλιπεν ἡ καρδία μου καὶ ἡ σάρξ μου, ὁ θεὸς τῆς καρδίας μου, καὶ ἡ μερίς μου ὁ θεὸς εἰς τὸν αἰῶνα.

Ὅτι ἰδοὺ οἱ μακρύνοντες ἑαυτοὺς ἀπὸ σοῦ, ἀπολοῦνται, ἐξωλόθρευσας πάντα τὸν πορνεύοντα ἀπὸ σοῦ.

Ἐμοὶ δὲ τὸ προσκολλᾶσθαι τῷ θεῷ ἀγαθόν ἐστι, τίθεσθαι ἐν τῷ κυρίῳ τὴν ἐλπίδα μου.

Τοῦ ἐξαγγεῖλαι πάσας τὰς αἰνέσεις σου, ἐν ταῖς πύλαις τῆς θυγατρὸς Σιών.

Συνέσεως τῷ Ἀσάφ. ογ'.

Ἱνατί ἀπώσω ὁ θεὸς εἰς τέλος; ὠργίσθη ὁ θυμός σου ἐπὶ πρόβατα νομῆς σου;

Μνήσθητι τῆς συναγωγῆς σου ἧς ἐκτήσω ἀπ' ἀρχῆς, ἐλυτρώσω ῥάβδον κληρονομίας σου.

Ὄρος Σιὼν τοῦτο ὃ κατεσκήνωσας ἐν αὐτῷ, ἔπαρον τὰς χεῖράς σου ἐπὶ τὰς ὑπερηφανίας αὐτῶν εἰς τέλος.

Ὅσα ἐπονηρεύσατο ὁ ἐχθρὸς ἐν τοῖς ἁγίοις σου, καὶ ἐνεκαυχήσαντο οἱ μισοῦντές σε ἐν μέσῳ τῆς ἑορτῆς σου.

Ἔθεντο τὰ σημεῖα αὐτῶν σημεῖα, καὶ οὐκ ἔγνωσαν, ὡς εἰς τὴν ἔσοδον ὑπεράνω.

Ὡς ἐν δρυμῷ ξύλων ἀξίναις ἐξέκοψαν τὰς θύρας αὐτῆς ἐπὶ τὸ αὐτό, ἐν πελέκει καὶ λαξευτηρίῳ κατέρραξαν αὐτήν.

Ἐνεπύρισαν ἐν πυρὶ τὸ ἁγιαστήριόν σου εἰς τὴν γῆν, ἐβεβήλωσαν τὸ σκήνωμα τοῦ ὀνόματός σου.

Εἶπαν ἐν τῇ καρδίᾳ αὐτῶν ἡ συγγένεια αὐτῶν ἐπὶ τὸ αὐτὸ δεῦτε, καταπαύσωμεν τὰς ἑορτὰς κυρίου ἀπὸ

τῆς

δικαιοσύνη, καὶ πλῆθος εἰρήνης ἕως οὗ ἀνταναιρεθῇ ἡ σελήνη.

Καὶ κατακυριεύσει ἀπὸ θαλάσσης ἕως θαλάσσης, καὶ ἀπὸ ποταμοῦ ἕως περάτων τῆς οἰκουμένης.

Ενώπιον αὐτοῦ προπεσοῦνται αἰθίοπες, καὶ οἱ ἐχθροὶ αὐτοῦ χοῦν λείξουσι.

Βασιλεῖς Θαρσὶς, καὶ αἱ νῆσοι δῶρα προσοίσουσι, βασιλεῖς Αράβων καὶ Σαβὰ δῶρα προσάξουσι.

Καὶ προσκυνήσουσιν αὐτῷ πάντες οἱ βασιλεῖς, πάντα τὰ ἔθνη δουλεύσουσιν αὐτῷ.

Οτι ἐῤῥύσατο πτωχὸν ἐκ δυνάστου, καὶ πένητα ᾧ οὐχ ὑπῆρχε βοηθός.

Φείσεται πτωχοῦ καὶ πένητος, καὶ ψυχὰς πενήτων σώσει.

Εκ τόκου καὶ ἐξ ἀδικίας λυτρώσεται τὰς ψυχὰς αὐτῶν, καὶ ἔντιμον τὸ ὄνομα αὐτῶν ἐνώπιον αὐτοῦ.

Καὶ ζήσεται καὶ δοθήσεται αὐτῷ ἐκ τοῦ χρυσίου τῆς Αραβίας, καὶ προσεύξονται περὶ αὐτοῦ διαπαντός.

Ολην τὴν ἡμέραν εὐλογήσουσιν αὐτὸν, ἔσαι στήριγμα ἐν τῇ γῇ ἐπ᾽ ἄκρων τῶν ὀρέων.

Υπεραρθήσεται ὑπὲρ τὸν Λίβανον ὁ καρπὸς αὐτοῦ, καὶ ἐξανθήσουσιν ἐκ πόλεως ὡσεὶ χόρτος τῆς γῆς.

Εσω τὸ ὄνομα αὐτοῦ εὐλογημένον εἰς τοὺς αἰῶνας, πρὸ τοῦ ἡλίου διαμενεῖ τὸ ὄνομα αὐτοῦ.

Καὶ εὐλογηθήσονται ἐν αὐτῷ πᾶσαι αἱ φυλαὶ τῆς γῆς, πάντα τὰ ἔθνη μακαριοῦσιν αὐτόν.

Ευλογητὸς κύριος ὁ θεὸς τοῦ Ισραὴλ, ὁ ποιῶν θαυμάσια μόνος,

Καὶ εὐλογητὸν τὸ ὄνομα τῆς δόξης αὐτοῦ εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Καὶ πληρωθήσεται τῆς δόξης αὐτοῦ πᾶσα ἡ γῆ, γένοιτο γένοιτο.

Δόξα.

Εξέλιπον οἱ ὕμνοι Δαβὶδ τοῦ υἱοῦ Ιεσσαί ψαλμὸς τῷ Ασάφ. οβ´.

Ως ἀγαθὸς ὁ θεὸς τῷ Ισραὴλ, τοῖς εὐθέσι καρδίᾳ.

Εμοῦ δὲ παραμικρὸν ἐσαλεύθησαν οἱ πόδες, παρ᾽ ὀλίγον ἐξεχύθη τὰ διαβήματά μου.

Οτι ἐζήλωσα ἐπὶ τοῖς ἀνόμοις, εἰρήνην ἁμαρτωλῶν θεωρῶν.

Οτι οὐκ ἔστιν ἀνάνευσις ἐν τῷ θανάτῳ αὐτῶν, καὶ στερέωμα ἐν τῇ μάστιγι αὐτῶν.

Εν κόποις ἀνθρώπων οὐκ εἰσὶ, καὶ μετὰ ἀνθρώπων οὐ μαστιγωθήσονται. διὰ τοῦτο ἐκράτησεν αὐτοὺς ἡ ὑπερηφανία,

Περιεβάλοντο ἀδικίαν καὶ ἀσέβειαν ἑαυτῶν. ἐξελεύσεται ὡς ἐκ στέατος ἡ ἀδικία αὐτῶν.

Διῆλθον εἰς διάθεσιν καρδίας, διενοήθησαν, καὶ ἐλάλησαν ἐν πονηρίᾳ, ἀδικίαν εἰς τὸ ὕψος ἐλάλησαν.

Εθεντο εἰς οὐρανὸν τὸ στόμα αὐτῶν, καὶ ἡ γλῶσσα αὐτῶν διῆλθεν ἐπὶ τῆς γῆς.

Διὰ τοῦτο ἐπιστρέψει ὁ λαός μου ἐνταῦθα, καὶ ἡμέραι πλήρεις εὑρεθήσονται ἐν αὐτοῖς.

Καὶ εἶπαν, πῶς ἔγνω ὁ θεὸς, καὶ εἰ ἔστι γνῶσις ἐν τῷ ὑψίστῳ;

Ὅτι εἶπαν οἱ ἐχθροί μου ἐμοὶ, καὶ οἱ φυλάσσοντες τὴν ψυχήν μου ἐβουλεύσαντο ἐπὶ τὸ αὐτὸ,

Λέγοντες, ὁ θεὸς ἐγκατέλιπεν αὐτόν, καταδιώξατε καὶ καταλάβετε αὐτὸν, ὅτι οὐκ ἔστιν ὁ ῥυόμενος.

Ὁ θεὸς μὴ μακρύνῃς ἀπ' ἐμοῦ, ὁ θεός μου εἰς τὴν βοήθειάν μου πρόσχες.

Αἰσχυνθήτωσαν καὶ ἐκλιπέτωσαν οἱ ἐνδιαβάλλοντες τὴν ψυχήν μου, περιβαλλέσθωσαν αἰσχύνην καὶ ἐντροπὴν οἱ ζητοῦντες τὰ κακά μοι.

Ἐγὼ δὲ διαπαντὸς ἐλπιῶ, καὶ προσθήσω ἐπὶ πᾶσαν τὴν αἴνεσίν σου.

Τὸ στόμα μου ἐξαγγελεῖ τὴν δικαιοσύνην σου, ὅλην τὴν ἡμέραν τὴν σωτηρίαν σου.

Ὅτι οὐκ ἔγνων πραγματείας, εἰσελεύσομαι ἐν δυναστείᾳ κυρίου, κύριε μνησθήσομαι τῆς δικαιοσύνης σου μόνου.

Ἐδίδαξάς με ὁ θεὸς ἐκ νεότητός μου, καὶ μέχρι τοῦ νῦν ἀπαγγελῶ τὰ θαυμάσιά σου, καὶ ἕως γήρους καὶ πρεσβείου.

Ὁ θεὸς μὴ ἐγκαταλίπῃς με, ἕως ἂν ἀπαγγείλω τὸν βραχίονά σου πάσῃ τῇ γενεᾷ τῇ ἐρχομένῃ.

Τὴν δυναστείαν σου καὶ τὴν δικαιοσύνην σου ὁ θεὸς ἕως ὑψίστων,

Ἃ ἐποίησας μεγαλεῖα, ὁ θεὸς τίς ὅμοιός σοι;

Ὅσας ἔδειξάς μοι θλίψεις πολλὰς καὶ κακὰς, καὶ ἐπιστρέψας ἐζωοποίησάς με, καὶ ἐκ τῶν ἀβύσσων τῆς γῆς πάλιν ἀνήγαγές με.

Ἐπλεόνασας τὴν δικαιοσύνην σου, καὶ ἐπιστρέψας παρεκάλεσάς με, καὶ ἐκ τῶν ἀβύσσων τῆς γῆς πάλιν ἀνήγαγές με.

Καὶ γὰρ ἐγὼ ἐξομολογήσομαί σοι ἐν σκεύει ψαλμοῦ τὴν ἀλήθειάν σου ὁ θεὸς,

Ψαλῶ σοι ἐν κιθάρᾳ ὁ ἅγιος τοῦ Ἰσραήλ.

Ἀγαλλιάσονται τὰ χείλη μου ὅταν ψάλω σοι, καὶ ἡ ψυχή μου ἣν ἐλυτρώσω.

Ἔτι δὲ καὶ ἡ γλῶσσά μου ὅλην τὴν ἡμέραν μελετήσει τὴν δικαιοσύνην σου,

Ὅταν αἰσχυνθῶσι καὶ ἐντραπῶσιν, οἱ ζητοῦντες τὰ κακά μοι.

Εἰς Σαλωμών. οα'.

Ὁ θεὸς τὸ κρίμα σου τῷ βασιλεῖ δὸς, καὶ τὴν δικαιοσύνην σου τῷ υἱῷ τοῦ βασιλέως.

Κρίνειν τὸν λαόν σου ἐν δικαιοσύνῃ, καὶ τοὺς πτωχούς σου ἐν κρίσει.

Ἀναλαβέτω τὰ ὄρη εἰρήνην τῷ λαῷ σου, καὶ οἱ βουνοὶ ἐν δικαιοσύνῃ.

Κρινεῖ τοὺς πτωχοὺς τοῦ λαοῦ, καὶ σώσει τοὺς υἱοὺς τῶν πενήτων.

Καὶ ταπεινώσει συκοφάντην, καὶ συμπαραμενεῖ τῷ ἡλίῳ,

Καὶ πρὸ τῆς σελήνης γενεὰς γενεῶν.

Καταβήσεται ὡς ὑετὸς ἐπὶ πόκον, καὶ ὡσεὶ σταγόνες στάζουσαι ἐπὶ τὴν γῆν.

Ἀνατελεῖ ἐν ταῖς ἡμέραις αὐτοῦ δικαιο-

τὰ ἕρποντα ἐν αὐτοῖς.

Ὅτι ὁ Θεὸς σώσει τὴν Σιών, καὶ οἰκοδομηθήσονται αἱ πόλεις τῆς Ἰουδαίας,

Καὶ κατοικήσουσιν ἐκεῖ, καὶ κληρονομήσουσιν αὐτήν. καὶ τὸ σπέρμα τῶν δούλων σου καθέξουσιν αὐτήν,

Καὶ οἱ ἀγαπῶντες τὸ ὄνομα αὐτοῦ κατασκηνώσουσιν ἐν αὐτῇ.

Εἰς τὸ τέλος τῷ Δαβὶδ εἰς ἀνάμνησιν, εἰς τὸ σῶσαί με κύριον. ξθ΄.

Ὁ Θεὸς εἰς τὴν βοήθειάν μου πρόσχες, κύριε εἰς τὸ βοηθῆσαί μοι σπεῦσον.

Αἰσχυνθείησαν καὶ ἐντραπείησαν οἱ ζητοῦντες τὴν ψυχήν μου.

Ἀποστραφείησαν εἰς τὰ ὀπίσω, καὶ καταισχυνθείησαν οἱ βουλόμενοί μοι κακά.

Ἀποστραφείησαν παραυτίκα αἰσχυνόμενοι οἱ λέγοντές μοι εὖγε εὖγε.

Ἀγαλλιάσθωσαν καὶ εὐφρανθήτωσαν ἐπὶ σοὶ πάντες οἱ ζητοῦντές σε.

Καὶ λεγέτωσαν διαπαντός, μεγαλυνθήτω ὁ Θεός, οἱ ἀγαπῶντες τὸ σωτήριόν σου.

Ἐγὼ δὲ πτωχὸς καὶ πένης, ὁ Θεὸς βοήθησόν μοι. βοηθός μου, καὶ ῥύστης μου εἶ σύ, κύριε μὴ χρονίσῃς.

Δόξα.



ΚΑΘΙΣΜΑ. ι΄.

Τῷ Δαβὶδ υἱῶν Ἰωναδάβ, καὶ τῶν πρώτων αἰχμαλωτισθέντων. ο΄.

Ἐπὶ σοὶ κύριε ἤλπισα, μὴ καταισχυνθείην εἰς τὸν αἰῶνα.

Ἐν τῇ δικαιοσύνῃ σου ῥῦσαί με καὶ ἐξελοῦ με,

Κλῖνον πρός με τὸ οὖς σου καὶ σῶσόν με.

Γενοῦ μοι εἰς Θεὸν ὑπερασπιστήν, καὶ εἰς τόπον ὀχυρὸν τοῦ σῶσαί με.

Ὅτι στερέωμά μου καὶ καταφυγή μου εἶ σύ.

Ὁ Θεός μου ῥῦσαί με ἐκ χειρὸς ἁμαρτωλοῦ, ἐκ χειρὸς παρανομοῦντος καὶ ἀδικοῦντος.

Ὅτι σὺ εἶ ἡ ὑπομονή μου κύριε, κύριε ἡ ἐλπίς μου ἐκ νεότητός μου.

Ἐπὶ σὲ ἐπεστηρίχθην ἀπὸ γαστρός, ἐκ κοιλίας μητρός μου, σύ μου εἶ σκεπαστής.

Ἐν σοὶ ἡ ὕμνησίς μου διαπαντός, ὡσεὶ τέρας ἐγενήθην τοῖς πολλοῖς, καὶ σὺ βοηθός μου κραταιός.

Πληρωθήτω τὸ στόμα μου αἰνέσεως, ὅπως ὑμνήσω τὴν δόξαν σου, ὅλην τὴν ἡμέραν τὴν μεγαλοπρέπειάν σου.

Μὴ ἀπορρίψῃς με εἰς καιρὸν γήρως, ἐν τῷ ἐκλείπειν τὴν ἰσχύν μου μὴ ἐγκαταλίπῃς με.

ψυχήν μου, καὶ ἐγενήθη εἰς ὀνειδισμοὺς ἐμοί.

Καὶ ἐθέμην τὸ ἔνδυμά μου σάκκον, καὶ ἐγενόμην αὐτοῖς εἰς παραβολήν.

Κατ' ἐμοῦ ἠδολέσχουν οἱ καθήμενοι ἐν πύλῃ, καὶ εἰς ἐμὲ ἔψαλλον οἱ πίνοντες τὸν οἶνον.

Ἐγὼ δὲ τῇ προσευχῇ μου πρὸς σὲ κύριε, καιρὸς εὐδοκίας.

Ὁ θεὸς ἐν τῷ πλήθει τοῦ ἐλέους σου ἐπάκουσόν μου, ἐν ἀληθείᾳ τῆς σωτηρίας σου σῶσόν με ἀπὸ πηλοῦ, ἵνα μὴ ἐμπαγῶ.

Ρυσθείην ἐκ τῶν μισούντων με, καὶ ἐκ βάθους τῶν ὑδάτων.

Μή με καταποντισάτω καταιγὶς ὕδατος, μηδὲ καταπιέτω με βυθός, μηδὲ συσχέτω ἐπ' ἐμὲ φρέαρ τὸ στόμα αὐτοῦ.

Εἰσάκουσόν μου κύριε, ὅτι χρηστὸν τὸ ἔλεός σου, κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου, ἐπίβλεψον ἐπ' ἐμέ.

Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπὸ τοῦ παιδός σου, ὅτι θλίβομαι, ταχὺ ἐπάκουσόν μου. πρόσχες τῇ ψυχῇ μου, καὶ λύτρωσαι αὐτήν.

Ἕνεκα τῶν ἐχθρῶν μου ῥῦσαί με, σὺ γὰρ γινώσκεις τὸν ὀνειδισμόν μου, καὶ τὴν αἰσχύνην μου, καὶ τὴν ἐντροπήν μου.

Ἐναντίον σου πάντες οἱ θλίβοντές με, ὀνειδισμὸν προσεδόκησεν ἡ ψυχή μου καὶ ταλαιπωρίαν.

Καὶ ὑπέμεινα συλλυπούμενον, καὶ οὐχ ὑπῆρξε, καὶ παρακαλοῦντα, καὶ οὐχ εὗρον.

Καὶ ἔδωκαν εἰς τὸ βρῶμά μου χολήν, καὶ εἰς τὴν δίψαν μου ἐπότισάν με ὄξος.

Γενηθήτω ἡ τράπεζα αὐτῶν ἐνώπιον αὐτῶν εἰς παγίδα, καὶ εἰς ἀνταπόδοσιν καὶ εἰς σκάνδαλον.

Σκοτισθήτωσαν οἱ ὀφθαλμοὶ αὐτῶν τοῦ μὴ βλέπειν, καὶ τὸν νῶτον αὐτῶν διαπαντὸς σύγκαμψον.

Ἔκχεον ἐπ' αὐτοὺς τὴν ὀργήν σου, καὶ ὁ θυμὸς τῆς ὀργῆς σου καταλάβοι αὐτούς.

Γενηθήτω ἡ ἔπαυλις αὐτῶν ἠρημωμένη, καὶ ἐν τοῖς σκηνώμασιν αὐτῶν μὴ ἔστω ὁ κατοικῶν.

Ὅτι ὃν σὺ ἐπάταξας, αὐτοὶ κατεδίωξαν, καὶ ἐπὶ τὸ ἄλγος τῶν τραυμάτων μου προσέθηκαν.

Πρόσθες ἀνομίαν ἐπὶ τὴν ἀνομίαν αὐτῶν, καὶ μὴ εἰσελθέτωσαν ἐν δικαιοσύνῃ σου.

Ἐξαλειφθήτωσαν ἐκ βίβλου ζώντων, καὶ μετὰ δικαίων μὴ γραφήτωσαν.

Πτωχὸς καὶ ἀλγῶν εἰμι ἐγώ, καὶ ἡ σωτηρία τοῦ προσώπου σου, ἀντελάβετό μου.

Αἰνέσω τὸ ὄνομα τοῦ θεοῦ μου μετ' ᾠδῆς, μεγαλυνῶ αὐτὸν ἐν αἰνέσει, καὶ ἀρέσει τῷ θεῷ ὑπὲρ μόσχον νέον κέρατα ἐκφέροντα καὶ ὁπλάς.

Ἰδέτωσαν πτωχοὶ καὶ εὐφρανθήτωσαν, ἐκζητήσατε τὸν θεόν, καὶ ζήσεσθε.

Ὅτι εἰσήκουσε τῶν πενήτων ὁ κύριος, καὶ τοὺς πεπεδημένους αὐτοῦ οὐκ ἐξουδένωσεν.

Αἰνεσάτωσαν αὐτὸν οἱ οὐρανοὶ καὶ ἡ γῆ, θάλασσα καὶ πάντα

αἱ πορεῖαι τοῦ θεοῦ μου τοῦ βασιλέως τοῦ ἐν τῷ ἁγίῳ.

Προέφθασαν ἄρχοντες ἐχόμενοι ψαλλόντων, ἐν μέσῳ νεανίδων τυμπανιστριῶν.

Ἐν ἐκκλησίαις εὐλογεῖτε τὸν θεὸν, τὸν κύριον ἐκ πηγῶν Ἰσραήλ.

Ἐκεῖ Βενιαμὶν νεώτερος ἐν ἐκστάσει, ἄρχοντες Ἰούδα ἡγεμόνες αὐτῶν, ἄρχοντες Ζαβουλὼν, ἄρχοντες Νεφθαλί.

Ἔντειλαι ὁ θεὸς τῇ δυνάμει σου, δυνάμωσον ὁ θεὸς τοῦτο, ὃ κατηρτίσω ἐν ἡμῖν, ἀπὸ τοῦ ναοῦ σου ἐπὶ Ἱερουσαλήμ,

Σοὶ οἴσουσι βασιλεῖς δῶρα. ἐπιτίμησον τοῖς θηρίοις τοῦ καλάμου.

Ἡ συναγωγὴ τῶν ταύρων ἐν ταῖς δαμάλεσι τῶν λαῶν τοῦ μὴ ἀποκλεισθῆναι τοὺς δεδοκιμασμένους τῷ ἀργυρίῳ.

Διασκόρπισον ἔθνη τὰ τοὺς πολέμους θέλοντα, ἥξουσι πρέσβεις ἐξ Αἰγύπτου, Αἰθιοπία προφθάσει χεῖρα αὐτῆς τῷ θεῷ.

Αἱ βασιλεῖαι τῆς γῆς ᾄσατε τῷ θεῷ, ψάλατε τῷ κυρίῳ.

Ψάλατε τῷ θεῷ τῷ ἐπιβεβηκότι ἐπὶ τὸν οὐρανὸν τοῦ οὐρανοῦ κατὰ ἀνατολὰς,

Ἰδοὺ δώσει ἐν τῇ φωνῇ αὐτοῦ φωνὴν δυνάμεως. δότε δόξαν τῷ θεῷ,

Ἐπὶ τὸν Ἰσραὴλ ἡ μεγαλοπρέπεια αὐτοῦ, καὶ ἡ δύναμις αὐτοῦ ἐν ταῖς νεφέλαις.

Θαυμαστὸς ὁ θεὸς ἐν τοῖς ὁσίοις αὐτοῦ, ὁ θεὸς Ἰσραὴλ,

Αὐτὸς δώσει δύναμιν καὶ κραταίωσιν τῷ λαῷ αὐτοῦ, εὐλογητὸς ὁ θεός. Δόξα.

Εἰς τὸ τέλος ὑπὲρ τῶν ἀλλοιωθησομένων τῷ Δαβίδ. ξη´.

Σῶσόν με ὁ θεὸς, ὅτι εἰσήλθοσαν ὕδατα ἕως ψυχῆς μου.

Ἐνεπάγην εἰς ἰλὺν βυθοῦ, καὶ οὐκ ἔστιν ὑπόστασις. ἦλθον εἰς τὰ βάθη τῆς θαλάσσης, καὶ καταιγὶς κατεπόντισέ με.

Ἐκοπίασα κράζων, ἐβραγχίασεν ὁ λάρυγξ μου,

Ἐξέλιπον οἱ ὀφθαλμοί μου, ἀπὸ τοῦ ἐλπίζειν με ἐπὶ τὸν θεόν μου.

Ἐπληθύνθησαν ὑπὲρ τὰς τρίχας τῆς κεφαλῆς μου οἱ μισοῦντές με δωρεάν.

Ἐκραταιώθησαν οἱ ἐχθροί μου, οἱ ἐκδιώκοντές με ἀδίκως.

Ἃ οὐχ ἥρπαζα, τότε ἀπετίννυον.

Ὁ θεὸς σὺ ἔγνως τὴν ἀφροσύνην μου, καὶ αἱ πλημμέλειαί μου ἀπὸ σοῦ οὐκ ἐκρύβησαν.

Μὴ αἰσχυνθείησαν ἐπ᾽ ἐμὲ οἱ ὑπομένοντές σε κύριε τῶν δυνάμεων, μὴ ἐντραπείησαν ἐπ᾽ ἐμὲ οἱ ζητοῦντές σε ὁ θεὸς τοῦ Ἰσραήλ.

Ὅτι ἕνεκά σου ὑπήνεγκα ὀνειδισμὸν, ἐκάλυψεν ἐντροπὴ τὸ πρόσωπόν μου.

Ἀπηλλοτριωμένος ἐγενήθην τοῖς ἀδελφοῖς μου, καὶ ξένος τοῖς υἱοῖς τῆς μητρός μου.

Ὅτι ὁ ζῆλος τοῦ οἴκου σου κατέφαγέ με, καὶ οἱ ὀνειδισμοὶ τῶν ὀνειδιζόντων σε ἐπέπεσον ἐπ᾽ ἐμέ.

Καὶ συνέκαμψα ἐν νηστείᾳ τὴν

ψυ-

Ως ἐκλείπει καπνὸς ἐκλειπέτωσαν, ὡς τήκεται κηρὸς ἀπὸ προσώπου πυρός.

Οὕτως ἀπόλοιντο οἱ ἁμαρτωλοὶ ἀπὸ προσώπου τοῦ θεοῦ, καὶ οἱ δίκαιοι εὐφρανθήτωσαν.

Ἀγαλλιάσθωσαν ἐνώπιον τοῦ θεοῦ, τερφθήτωσαν ἐν εὐφροσύνῃ.

Ἄσατε τῷ θεῷ, ψάλατε τῷ ὀνόματι αὐτοῦ, ὁδοποιήσατε τῷ ἐπιβεβηκότι ἐπὶ δυσμῶν,

Κύριος ὄνομα αὐτῷ, καὶ ἀγαλλιᾶσθε ἐνώπιον αὐτοῦ.

Ταραχθήσονται ἀπὸ προσώπου αὐτοῦ, τοῦ πατρὸς τῶν ὀρφανῶν, καὶ κριτοῦ τῶν χηρῶν, ὁ θεὸς ἐν τόπῳ ἁγίῳ αὐτοῦ.

Ὁ θεὸς κατοικίζει μονοτρόπους ἐν οἴκῳ, ἐξάγων πεπεδημένους ἐν ἀνδρείᾳ.

Ὁμοίως τοὺς παραπικραίνοντας, τοὺς κατοικοῦντας ἐν τάφοις.

Ὁ θεὸς ἐν τῷ ἐκπορεύεσθαί σε ἐνώπιον τοῦ λαοῦ σου, ἐν τῷ διαβαίνειν σε τὴν ἔρημον.

Γῆ ἐσείσθη, καὶ γὰρ οἱ οὐρανοὶ ἔσταξαν ἀπὸ προσώπου τοῦ θεοῦ τοῦ Σινᾶ, ἀπὸ προσώπου τοῦ θεοῦ Ἰσραήλ.

Βροχὴν ἑκούσιον ἀφοριεῖς ὁ θεὸς τῇ κληρονομίᾳ σου, καὶ ἠσθένησε, σὺ δὲ κατηρτίσω αὐτήν.

Τὰ ζῶα σου κατοικοῦσιν ἐν αὐτῇ, ἡτοίμασας ἐν τῇ χρηστότητί σου τῷ πτωχῷ. ὁ θεὸς

Κύριος δώσει ῥῆμα τοῖς εὐαγγελιζομένοις δυνάμει πολλῇ, ὁ βασιλεὺς τῶν δυνάμεων τοῦ ἀγαπητοῦ, καὶ ὡραιότητι τοῦ οἴκου διελέσθαι σκῦλα.

Ἐὰν κοιμηθῆτε ἀνὰ μέσον τῶν κλήρων, πτέρυγες περιστερᾶς περιηργυρωμέναι, καὶ τὰ μετάφρενα αὐτῆς ἐν χλωρότητι χρυσίου.

Ἐν τῷ διαστέλλειν τὸν ἐπουράνιον βασιλεῖς ἐπ' αὐτῆς, χιονωθήσονται ἐν Σελμών.

Ὄρος τοῦ θεοῦ ὄρος πῖον, ὄρος τετυρωμένον, ὄρος πῖον,

Ἵνα τί ὑπολαμβάνετε ὄρη τετυρωμένα; τὸ ὄρος ὃ εὐδόκησεν ὁ θεὸς κατοικεῖν ἐν αὐτῷ,

Καὶ γὰρ ὁ κύριος κατασκηνώσει εἰς τέλος. τὸ ἅρμα τοῦ θεοῦ μυριοπλάσιον, χιλιάδες εὐθηνούντων.

Κύριος ἐν αὐτοῖς ἐν Σινᾷ ἐν τῷ ἁγίῳ. ἀναβὰς εἰς ὕψος, ᾐχμαλώτευσας αἰχμαλωσίαν.

Ἔλαβες δόματα ἐν ἀνθρώπῳ, καὶ γὰρ ἀπειθοῦντες τοῦ κατασκηνῶσαι.

Κύριος ὁ θεὸς εὐλογητός, εὐλογητὸς κύριος ἡμέραν καθ' ἡμέραν,

Κατευοδώσει ἡμῖν ὁ θεὸς τῶν σωτηρίων ἡμῶν. ὁ θεὸς ἡμῶν, ὁ θεὸς τοῦ σώζειν, καὶ τοῦ κυρίου αἱ διέξοδοι τοῦ θανάτου.

Πλὴν ὁ θεὸς συνθλάσει κεφαλὰς ἐχθρῶν αὐτοῦ, κορυφὴν τριχὸς διαπορευομένων ἐν πλημμελείαις αὐτῶν.

Εἶπε κύριος ἐκ Βασὰν ἐπιστρέψω, ἐπιστρέψω ἐν βυθοῖς θαλάσσης.

Ὅπως ἂν βαφῇ ὁ πούς σου ἐν αἵματι, ἡ γλῶσσα τῶν κυνῶν σου ἐξ ἐχθρῶν παρ' αὐτοῦ,

Ἐθεωρήθησαν αἱ πορεῖαί σου ὁ θεός, αἱ πο-

τῷ ὀνόματί σου.

Δεῦτε καὶ ἴδετε τὰ ἔργα τοῦ θεοῦ, φοβερὸς ἐν βουλαῖς ὑπὲρ τοὺς υἱοὺς τῶν ἀνθρώπων,

Ὁ μεταστρέφων τὴν θάλασσαν εἰς ξηράν, ἐν ποταμῷ διελεύσονται ποδί.

Ἐκεῖ εὐφρανθησόμεθα ἐπ' αὐτῷ, τῷ δεσπόζοντι ἐν τῇ δυναστείᾳ αὐτοῦ τοῦ αἰῶνος.

Οἱ ὀφθαλμοὶ αὐτοῦ ἐπὶ τὰ ἔθνη ἐπιβλέπουσιν, οἱ παραπικραίνοντες μὴ ὑψούσθωσαν ἐν ἑαυτοῖς.

Εὐλογεῖτε ἔθνη τὸν θεὸν ἡμῶν, καὶ ἀκουτίσατε τὴν φωνὴν τῆς αἰνέσεως αὐτοῦ.

Τοῦ θεμένου τὴν ψυχήν μου εἰς ζωήν, καὶ μὴ δόντος εἰς σάλον τοὺς πόδας μου. ὅτι ἐδοκίμασας ἡμᾶς ὁ θεός,

Ἐπύρωσας ἡμᾶς ὡς πυροῦται τὸ ἀργύριον. εἰσήγαγες ἡμᾶς εἰς τὴν παγίδα,

Ἔθου θλίψεις ἐπὶ τὸν νῶτον ἡμῶν, ἐπεβίβασας ἀνθρώπους ἐπὶ τὰς κεφαλὰς ἡμῶν.

Διήλθομεν διὰ πυρὸς καὶ ὕδατος, καὶ ἐξήγαγες ἡμᾶς εἰς ἀναψυχήν.

Εἰσελεύσομαι εἰς τὸν οἶκόν σου ἐν ὁλοκαυτώμασιν, ἀποδώσω σοι τὰς εὐχάς μου, ἃς διέστειλε τὰ χείλη μου, καὶ ἐλάλησε τὸ στόμα μου ἐν τῇ θλίψει μου.

Ὁλοκαυτώματα μεμυαλωμένα ἀνοίσωσοι μετὰ θυμιάματος καὶ κριῶν, ποιήσωσοι βόας μετὰ χιμάρρων.

Δεῦτε ἀκούσατε, καὶ διηγήσομαι πάντες οἱ φοβούμενοι τὸν θεόν, ὅσα ἐποίησε τῇ ψυχῇ μου.

Πρὸς αὐτὸν τῷ στόματί μου ἐκέκραξα, καὶ ὕψωσα ὑπὸ τὴν γλῶσσάν μου.

Ἀδικίαν εἰ ἐθεώρουν ἐν καρδίᾳ μου, μὴ εἰσακουσάτω κύριος.

Διὰ τοῦτο εἰσήκουσέ μου ὁ θεός, προσέσχε τῇ φωνῇ τῆς προσευχῆς μου.

Εὐλογητὸς ὁ θεός, ὃς οὐκ ἀπέστησε τὴν προσευχήν μου, καὶ τὸ ἔλεος αὐτοῦ ἀπ' ἐμοῦ.

Εἰς τὸ τέλος ἐν ὕμνοις ψαλμὸς τῷ δαβίδ. ξς.

Ὁ θεὸς οἰκτειρήσαι ἡμᾶς, καὶ εὐλογήσαι ἡμᾶς, ἐπιφάναι τὸ πρόσωπον αὐτοῦ ἐφ' ἡμᾶς.

Τοῦ γνῶναι ἐν τῇ γῇ τὴν ὁδόν σου, ἐν πᾶσιν ἔθνεσι τὸ σωτήριόν σου.

Ἐξομολογησάσθωσάν σοι λαοὶ ὁ θεός, ἐξομολογησάσθωσάν σοι λαοὶ πάντες.

Εὐφρανθήτωσαν καὶ ἀγαλλιάσθωσαν ἔθνη, ὅτι κρινεῖς λαοὺς ἐν εὐθύτητι, καὶ ἔθνη ἐν τῇ γῇ ὁδηγήσεις.

Ἐξομολογησάσθωσάν σοι λαοὶ ὁ θεός, ἐξομολογησάσθωσάν σοι λαοὶ πάντες. γῆ ἔδωκε τὸν καρπὸν αὐτῆς.

Εὐλογήσαι ἡμᾶς ὁ θεὸς ὁ θεὸς ἡμῶν, εὐλογήσαι ἡμᾶς ὁ θεός,

Καὶ φοβηθήτωσαν αὐτὸν πάντα τὰ πέρατα τῆς γῆς. Δόξα.

Εἰς τὸ τέλος τῷ δαβίδ ψαλμὸς ᾠδῆς. ξζ.

Ἀναστήτω ὁ θεὸς καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτοῦ, καὶ φυγέτωσαν ἀπὸ προσώπου αὐτοῦ οἱ μισοῦντες αὐτόν.

καὶ αὐτῶν, καὶ ἐξουθένησαν αὐτὸν αἱ γλῶσσαι αὐτῶν.

Ἐταράχθησαν πάντες οἱ θεωροῦντες αὐτούς, καὶ ἐφοβήθη πᾶς ἄνθρωπος.

Καὶ ἀνήγγειλαν τὰ ἔργα τοῦ θεοῦ, καὶ τὰ ποιήματα αὐτοῦ συνῆκαν.

Εὐφρανθήσεται δίκαιος ἐν τῷ κυρίῳ, καὶ ἐλπιεῖ ἐπ' αὐτόν.

Καὶ ἐπαινεθήσονται πάντες οἱ εὐθεῖς τῇ καρδίᾳ. Δόξα.



ΚΑΘΙΣΜΑ. η′.

Εἰς τὸ τέλος ψαλμὸς τῷ Δαβὶδ ᾠδή. ξδ′.

Σοὶ πρέπει ὕμνος ὁ θεὸς ἐν Σιών, καὶ σοὶ ἀποδοθήσεται εὐχή.

Εἰσάκουσον προσευχῆς μου, πρὸς σὲ πᾶσα σὰρξ ἥξει.

Λόγοι ἀνόμων ὑπερεδυνάμωσαν ἡμᾶς, καὶ ταῖς ἀσεβείαις ἡμῶν σὺ ἱλάσῃ.

Μακάριος, ὃν ἐξελέξω καὶ προσελάβου, κατασκηνώσει ἐν ταῖς αὐλαῖς σου.

Πλησθησόμεθα ἐν τοῖς ἀγαθοῖς τοῦ οἴκου σου, ἅγιος ὁ ναός σου, θαυμαστὸς ἐν δικαιοσύνῃ.

Ἐπάκουσον ἡμῶν ὁ θεὸς ὁ σωτὴρ ἡμῶν, ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς, καὶ τῶν ἐν θαλάσσῃ μακράν.

Ἑτοιμάζων ὄρη ἐν τῇ ἰσχύϊ σου. περιεζωσμένος ἐν δυναστείᾳ.

Ὁ συνταράσσων τὸ κύτος τῆς θαλάσσης, ἤχους κυμάτων αὐτῆς.

Ταραχθήσονται τὰ ἔθνη καὶ φοβηθήσονται, οἱ κατοικοῦντες τὰ πέρατα ἀπὸ τῶν σημείων σου.

Ἐξόδους πρωΐας καὶ ἑσπέρας τέρψεις. ἐπεσκέψω τὴν γῆν καὶ ἐμέθυσας αὐτήν,

Ἐπλήθυνας τοῦ πλουτίσαι αὐτήν. ὁ ποταμὸς τοῦ θεοῦ ἐπληρώθη ὑδάτων.

Ἡτοίμασας τὴν τροφὴν αὐτῶν, ὅτι οὕτως ἡ ἑτοιμασία. τὰς αὔλακας αὐτῆς μέθυσον,

Πλήθυνον τὰ γενήματα αὐτῆς, ἐν ταῖς σταγόσιν αὐτῆς εὐφρανθήσεται ἀνατέλλουσα.

Εὐλογήσεις τὸν στέφανον τοῦ ἐνιαυτοῦ τῆς χρηστότητός σου, καὶ τὰ πεδία σου πλησθήσονται πιότητος.

Πιανθήσεται τὰ ὄρη τῆς ἐρήμου, καὶ ἀγαλλίασιν οἱ βουνοὶ περιζώσονται.

Ἐνεδύσαντο οἱ κριοὶ τῶν προβάτων, καὶ αἱ κοιλάδες πληθυνοῦσι σῖτον, κεκράξονται, καὶ γὰρ ὑμνήσουσιν.

Εἰς τὸ τέλος ᾠδὴ ψαλμοῦ ἀναστάσεως. ξε′.

Ἀλαλάξατε τῷ θεῷ πᾶσα ἡ γῆ, ψάλατε δὴ τῷ ὀνόματι αὐτοῦ.

Δότε δόξαν αἰνέσει αὐτοῦ, εἴπατε τῷ θεῷ ὡς φοβερὰ τὰ ἔργα σου;

Ἐν τῷ πλήθει τῆς δυνάμεώς σου ψεύσονταί σε οἱ ἐχθροί σου.

Πᾶσα ἡ γῆ προσκυνησάτωσάν σοι, καὶ ψαλάτωσάν σοι, ψαλάτωσαν

τῷ

Ἐκχέετε ἐνώπιον αὐτοῦ τὰς καρδίας ὑμῶν, ὅτι ὁ θεὸς βοηθὸς ἡμῶν.

Πλὴν μάταιοι οἱ υἱοὶ τῶν ἀνθρώπων, ψευδεῖς οἱ υἱοὶ τῶν ἀνθρώπων ἐν ζυγοῖς τοῦ ἀδικῆσαι, αὐτοὶ ἐκ ματαιότητος ἐπὶ τὸ αὐτό.

Μὴ ἐλπίζετε ἐπ' ἀδικίαν, καὶ ἐπὶ ἁρπάγματα μὴ ἐπιποθεῖτε, πλοῦτος ἐὰν ῥέῃ μὴ προστίθεσθε καρδίαν.

Ἅπαξ ἐλάλησεν ὁ θεὸς, δύο ταῦτα ἤκουσα, ὅτι τὸ κράτος τοῦ θεοῦ, καὶ σοῦ κύριε τὸ ἔλεος,

Ὅτι σὺ ἀποδώσεις ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ.

Ψαλμὸς τῷ δαβὶδ ἐν τῷ εἶναι αὐτὸν ἐν τῇ ἐρήμῳ τῆς Ἰδουμαίας. ξβ'.

Ὁ θεὸς ὁ θεός μου πρὸς σὲ ὀρθρίζω, ἐδίψησέ σε ἡ ψυχή μου, ποσαπλῶς ἡ σάρξ μου.

Ἐν γῇ ἐρήμῳ καὶ ἀβάτῳ καὶ ἀνύδρῳ, οὕτως ἐν τῷ ἁγίῳ ὤφθην σοι, τοῦ ἰδεῖν τὴν δύναμίν σου καὶ τὴν δόξαν σου.

Ὅτι κρεῖσσον τὸ ἔλεός σου ὑπὲρ ζωὰς τὰ χείλη μου ἐπαινέσουσί σε.

Οὕτως εὐλογήσω σε ἐν τῇ ζωῇ μου, ἐν τῷ ὀνόματί σου ἀρῶ τὰς χεῖράς μου.

Ὡσεὶ στέατος καὶ πιότητος ἐμπλησθείη ψυχή μου, καὶ χείλη ἀγαλλιάσεως αἰνέσει τὸ ὄνομά σου.

Εἰ ἐμνημόνευόν σου ἐπὶ τῆς στρωμνῆς μου, ἐν τοῖς ὄρθροις ἐμελέτων εἰς σέ.

Ὅτι ἐγενήθης βοηθός μου· καὶ ἐν τῇ σκέπῃ τῶν πτερύγων σου ἀγαλλιάσομαι.

Ἐκολλήθη ἡ ψυχή μου ὀπίσω σου, ἐμοῦ ἀντελάβετο ἡ δεξιά σου.

Αὐτοὶ δὲ εἰς μάτην ἐζήτησαν τὴν ψυχήν μου, εἰσελεύσονται εἰς τὰ κατώτατα τῆς γῆς.

Παραδοθήσονται εἰς χεῖρας ῥομφαίας μερίδες ἀλωπέκων ἔσονται.

Ὁ δὲ βασιλεὺς εὐφρανθήσεται ἐπὶ τῷ θεῷ, ἐπαινεθήσεται πᾶς ὁ ὀμνύων ἐν αὐτῷ,

Ὅτι ἐνεφράγη στόμα λαλούντων ἄδικα.

Εἰς τὸ τέλος ψαλμὸς τῷ δαβίδ. ξγ'.

Εἰσάκουσον ὁ θεὸς τῆς προσευχῆς μου ἐν τῷ δέεσθαί με πρὸς σὲ, ἀπὸ φόβου ἐχθροῦ ἐξελοῦ τὴν ψυχήν μου.

Ἐσκέπασάς με ἀπὸ συστροφῆς πονηρευομένων, ἀπὸ πλήθους ἐργαζομένων ἀδικίαν.

Οἵτινες ἠκόνησαν ὡς ῥομφαίαν τὰς γλώσσας αὐτῶν, ἐνέτειναν τόξον πρᾶγμα πικρὸν,

Τοῦ κατατοξεῦσαι ἐν ἀποκρύφοις ἄμωμον, ἐξάπινα κατατοξεύσουσιν αὐτὸν, καὶ οὐ φοβηθήσονται.

Ἐκραταίωσαν ἑαυτοῖς λόγον πονηρὸν, διηγήσαντο τοῦ κρύψαι παγίδας.

Εἶπαν τίς ὄψεται αὐτούς; ἐξηρεύνησαν ἀνομίαν, ἐξέλιπον ἐξερευνῶντες ἐξερευνήσει.

Προσελεύσεται ἄνθρωπος, καὶ καρδία βαθεῖα, καὶ ὑψωθήσεται ὁ θεός.

Βέλος νηπίων ἐγενήθησαν αἱ πλη-

Ὁ θεὸς ἐλάλησεν ἐν τῷ ἁγίῳ αὐτοῦ, ἀγαλλιάσομαι καὶ διαμεριῶ Σίκιμα, καὶ τὴν κοιλάδα τῶν σκηνῶν διαμετρήσω.

Ἐμός ἐστι Γαλαάδ, καὶ ἐμός ἐστι Μανασσῆ, καὶ Ἐφραίμ κραταίωσις τῆς κεφαλῆς μου.

Ἰούδας βασιλεύς μου, Μωὰβ λέβης τῆς ἐλπίδος μου.

Ἐπὶ τὴν Ἰδουμαίαν ἐκτενῶ τὸ ὑπόδημά μου, ἐμοὶ ἀλλόφυλοι ὑπετάγησαν.

Τίς ἀπάξει με εἰς πόλιν περιοχῆς; τίς ὁδηγήσει με ἕως τῆς Ἰδουμαίας;

Οὐχὶ σὺ ὁ θεὸς ὁ ἀπωσάμενος ἡμᾶς; καὶ οὐκ ἐξελεύσῃ ὁ θεὸς ἐν ταῖς δυνάμεσιν ἡμῶν.

Δὸς ἡμῖν βοήθειαν ἐκ θλίψεως, καὶ ματαία σωτηρία ἀνθρώπου.

Ἐν τῷ θεῷ ποιήσομεν δύναμιν, καὶ αὐτὸς ἐξουδενώσει τοὺς θλίβοντας ἡμᾶς.

Εἰς τὸ τέλος ἐν ὕμνοις τῷ Δαβὶδ ψαλμός. ξ'.

Εἰσάκουσον ὁ θεὸς τῆς δεήσεώς μου, πρόσχες τῇ προσευχῇ μου.

Ἀπὸ τῶν περάτων τῆς γῆς πρὸς σὲ ἐκέκραξα, ἐν τῷ ἀκηδιάσαι τὴν καρδίαν μου, ἐν πέτρᾳ ὕψωσάς με.

Ὡδήγησάς με, ὅτι ἐγενήθης ἐλπίς μου, πύργος ἰσχύος ἀπὸ προσώπου ἐχθροῦ.

Παροικήσω ἐν τῷ σκηνώματί σου εἰς τοὺς αἰῶνας, σκεπασθήσομαι ἐν σκέπῃ τῶν πτερύγων σου.

Ὅτι σὺ ὁ θεὸς εἰσήκουσας τῶν προσευχῶν μου, ἔδωκας κληρονομίαν τοῖς φοβουμένοις τὸ ὄνομά σου.

Ἡμέρας ἐφ' ἡμέρας βασιλέως προσθήσεις, τὰ ἔτη αὐτοῦ ἕως ἡμέρας γενεᾶς καὶ γενεᾶς.

Διαμενεῖ εἰς τὸν αἰῶνα ἐνώπιον τοῦ θεοῦ, ἔλεος καὶ ἀλήθειαν αὐτοῦ τίς ἐκζητήσει αὐτῶν;

Οὕτως ψαλῶ τῷ ὀνόματί σου εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, τοῦ ἀποδοῦναί με τὰς εὐχάς μου ἡμέραν ἐξ ἡμέρας. Δόξα.

Εἰς τὸ τέλος ὑπὲρ Ἰδιθοὺμ ψαλμὸς τῷ Δαβίδ. ξα'.

Οὐχὶ τῷ θεῷ ὑποταγήσεται ἡ ψυχή μου; παρ' αὐτοῦ γὰρ τὸ σωτήριόν μου.

Καὶ γὰρ αὐτὸς θεός μου καὶ σωτήρ μου, ἀντιλήπτωρ μου, οὐ μὴ σαλευθῶ ἐπὶ πλεῖον.

Ἕως πότε ἐπιτίθεσθε ἐπ' ἄνθρωπον; φονεύετε πάντες ὡς τοίχῳ κεκλιμένῳ καὶ φραγμῷ ὠσμένῳ.

Πλὴν τὴν τιμήν μου ἐβουλεύσαντο ἀπώσασθαι, ἔδραμον ἐν δίψει.

Τῷ στόματι αὐτῶν εὐλόγουν, καὶ τῇ καρδίᾳ αὐτῶν κατηρῶντο.

Πλὴν τῷ θεῷ ὑποτάγηθι ἡ ψυχή μου, ὅτι παρ' αὐτοῦ ἡ ὑπομονή μου.

Ὅτι αὐτὸς θεός μου καὶ σωτήρ μου, ἀντιλήπτωρ μου, οὐ μὴ μεταναστεύσω. ἐπὶ τῷ θεῷ τὸ σωτήριόν μου, καὶ ἡ δόξα μου.

Ὁ θεὸς τῆς βοηθείας μου, καὶ ἡ ἐλπίς μου ἐπὶ τῷ θεῷ, ἐλπίσατε ἐπ' αὐτὸν πᾶσα συναγωγὴ λαοῦ.

Ἐκ-

ἀνομίαν, καὶ ἐξ ἀνδρῶν αἱμάτων σῶσόν με.

Ὅτι ἰδοὺ ἐθήρευσαν τὴν ψυχήν μου, ἐπέθεντο ἐπ' ἐμὲ κραταιοί.

Οὔτε ἡ ἀνομία μου, οὔτε ἡ ἁμαρτία μου κύριε, ἄνευ ἀνομίας ἔδραμον καὶ κατεύθυνα.

Ἐξεγέρθητι εἰς συνάντησίν μου, καὶ ἴδε, καὶ σὺ κύριε ὁ θεὸς τῶν δυνάμεων ὁ θεὸς τοῦ Ἰσραήλ.

Πρόσχες τοῦ ἐπισκέψασθαι πάντα τὰ ἔθνη, μὴ οἰκτειρήσῃς πάντας τοὺς ἐργαζομένους τὴν ἀνομίαν.

Ἐπιστρέψουσιν εἰς ἑσπέραν, καὶ λιμώξουσιν ὡς κύων, καὶ κυκλώσουσι πόλιν.

Ἰδοὺ αὐτοὶ ἀποφθέγξονται ἐν τῷ στόματι αὐτῶν, καὶ ῥομφαία ἐν τοῖς χείλεσιν αὐτῶν, ὅτι τίς ἤκουσε;

Καὶ σὺ κύριε ἐκγελάσῃ αὐτούς, ἐξουδενώσεις πάντα τὰ ἔθνη.

Τὸ κράτος μου πρὸς σὲ φυλάξω, ὅτι σὺ ὁ θεὸς ἀντιλήπτωρ μου εἶ.

Ὁ θεός μου, τὸ ἔλεος αὐτοῦ προφθάσει με, ὁ θεός μου δείξει μοι ἐν τοῖς ἐχθροῖς μου.

Μὴ ἀποκτείνῃς αὐτούς, μήποτε ἐπιλάθωνται τοῦ νόμου σου.

Διασκόρπισον αὐτοὺς ἐν τῇ δυνάμει σου, καὶ κατάγαγε αὐτοὺς ὁ ὑπερασπιστής μου κύριε.

Ἁμαρτίαν στόματος αὐτῶν, λόγον χειλέων αὐτῶν, καὶ συλληφθήτωσαν ἐν τῇ ὑπερηφανίᾳ αὐτῶν.

Καὶ ἐξ ἀρᾶς καὶ ψεύδους διαγγελήσονται συντέλειαι, ἐν ὀργῇ συντελείας, καὶ οὐ μὴ ὑπάρξουσι.

Καὶ γνώσονται, ὅτι ὁ θεὸς τοῦ Ἰακὼβ δεσπόζει τῶν περάτων τῆς γῆς.

Ἐπιστρέψουσιν εἰς ἑσπέραν, καὶ λιμώξουσιν ὡς κύων, καὶ κυκλώσουσι πόλιν.

Αὐτοὶ διασκορπισθήσονται τοῦ φαγεῖν, ἐὰν δὲ μὴ χορτασθῶσι, καὶ γογγύσουσιν.

Ἐγὼ δὲ ᾄσομαι τῇ δυνάμει σου, καὶ ἀγαλλιάσομαι τὸ πρωῒ τὸ ἔλεός σου.

Ὅτι ἐγενήθης ἀντιλήπτωρ μου καὶ καταφυγή μου ἐν ἡμέρᾳ θλίψεώς μου.

Βοηθός μου, σοὶ ψαλῶ ὁ θεός μου, ἀντιλήπτωρ μου εἶ, ὁ θεός μου τὸ ἔλεός μου.

Εἰς τὸ τέλος τοῖς ἀλλοιωθησομένοις ἔτι εἰς στηλογραφίαν τῷ Δαβὶδ εἰς διδαχήν, ὁπότε ἐνεπύρισε τὴν Μεσοποταμίαν Συρίας, καὶ τὴν Συρίαν Σοβάλ, καὶ ἐπέστρεψεν Ἰωάβ, καὶ ἐπάταξε τὴν φάραγγα τῶν ἁλῶν, δώδεκα χιλιάδας. νθ'.

Ὁ θεὸς ἀπώσω ἡμᾶς καὶ καθεῖλες ἡμᾶς, ὠργίσθης καὶ ᾠκτείρησας ἡμᾶς.

Συνέσεισας τὴν γῆν καὶ συνετάραξας αὐτήν, ἴασαι τὰ συντρίμματα αὐτῆς, ὅτι ἐσαλεύθη.

Ἔδειξας τῷ λαῷ σου σκληρά, ἐπότισας ἡμᾶς οἶνον κατανύξεως.

Ἔδωκας τοῖς φοβουμένοις σε σημείωσιν, τοῦ φυγεῖν ἀπὸ προσώπου τόξου.

Ὅπως ἂν ῥυσθῶσιν οἱ ἀγαπητοί σου, σῶσον τῇ δεξιᾷ σου καὶ ἐπάκουσόν μου.

Ἐξαπέστειλεν ἐξ οὐρανοῦ καὶ ἔσωσέ με, ἔδωκεν εἰς ὄνειδος τοὺς καταπατοῦντάς με.

Ἐξαπέστειλεν ὁ θεὸς τὸ ἔλεος αὐτοῦ καὶ τὴν ἀλήθειαν αὐτοῦ, καὶ ἐρρύσατο τὴν ψυχήν μου ἐκ μέσου σκύμνων, ἐκοιμήθην τεταραγμένος.

Υἱοὶ ἀνθρώπων, οἱ ὀδόντες αὐτῶν ὅπλον καὶ βέλη, καὶ ἡ γλῶσσα αὐτῶν μάχαιρα ὀξεῖα.

Ὑψώθητι ἐπὶ τοὺς οὐρανοὺς ὁ θεός, καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σου.

Παγίδας ἡτοίμασαν τοῖς ποσί μου καὶ κατέκαμψαν τὴν ψυχήν μου.

Ὤρυξαν πρὸ προσώπου μου βόθρον, καὶ ἐνέπεσαν εἰς αὐτόν.

Ἑτοίμη ἡ καρδία μου ὁ θεός, ἑτοίμη ἡ καρδία μου, ᾄσομαι καὶ ψαλῶ.

Ἐξεγέρθητι ἡ δόξα μου, ἐξεγέρθητι ψαλτήριον καὶ κιθάρα, ἐξεγερθήσομαι ὄρθρου.

Ἐξομολογήσομαί σοι ἐν λαοῖς κύριε, ψαλῶ σοι ἐν ἔθνεσιν.

Ὅτι ἐμεγαλύνθη ἕως τῶν οὐρανῶν τὸ ἔλεός σου, καὶ ἕως τῶν νεφελῶν ἡ ἀλήθειά σου.

Ὑψώθητι ἐπὶ τοὺς οὐρανοὺς ὁ θεός, καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σου.

Εἰς τὸ τέλος μὴ διαφθείρῃς τῷ Δαβὶδ εἰς στηλογραφίαν. νζ΄.

Εἰ ἀληθῶς ἄρα δικαιοσύνην λαλεῖτε, εὐθεῖα κρίνετε οἱ υἱοὶ τῶν ἀνθρώπων.

Καὶ γὰρ ἐν καρδίᾳ ἀνομίας ἐργάζεσθε ἐν τῇ γῇ, ἀδικίαν αἱ χεῖρες ὑμῶν συμπλέκουσιν.

Ἀπηλλοτριώθησαν οἱ ἁμαρτωλοὶ ἀπὸ μήτρας, ἐπλανήθησαν ἀπὸ γαστρός, ἐλάλησαν ψευδῆ.

Θυμὸς αὐτοῖς κατὰ τὴν ὁμοίωσιν τοῦ ὄφεως, ὡσεὶ ἀσπίδος κωφῆς, καὶ βυούσης τὰ ὦτα αὐτοῖς,

Ἥτις οὐκ εἰσακούσεται φωνὴν ἐπαδόντων, φαρμακοῦ τε φαρμακευομένου παρὰ σοφοῦ.

Ὁ θεὸς συνέτριψε τοὺς ὀδόντας αὐτῶν ἐν τῷ στόματι αὐτῶν, τὰς μύλας τῶν λεόντων συνέθλασεν ὁ κύριος.

Ἐξουδενωθήσονται ὡς ὕδωρ διαπορευόμενον, ἐντενεῖ τὸ τόξον αὐτοῦ, ἕως οὗ ἀσθενήσουσιν.

Ὡσεὶ κηρὸς ὁ τακεὶς ἀνταναιρεθήσονται, ἐπέπεσε πῦρ, καὶ οὐκ εἶδον τὸν ἥλιον.

Πρὸ τοῦ συνιέναι τὰς ἀκάνθας ὑμῶν τὴν ῥάμνον, ὡσεὶ ζῶντας ὡσεὶ ἐν ὀργῇ καταπίεται ὑμᾶς.

Εὐφρανθήσεται δίκαιος, ὅταν ἴδῃ ἐκδίκησιν ἀσεβῶν, τὰς χεῖρας αὐτοῦ νίψεται ἐν τῷ αἵματι τοῦ ἁμαρτωλοῦ.

Καὶ ἐρεῖ ἄνθρωπος, εἰ ἄρα ἐστὶ καρπὸς τῷ δικαίῳ, ἄρα ἐστὶν ὁ θεὸς κρίνων αὐτοὺς ἐν τῇ γῇ,

Δόξα.

Εἰς τὸ τέλος μὴ διαφθείρῃς τῷ Δαβὶδ εἰς στηλογραφίαν, ὁπότε ἀπέστειλε Σαοὺλ καὶ ἐφύλαξε τὸν οἶκον αὐτοῦ τοῦ θανατῶσαι αὐτόν. νη΄.

Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου ὁ θεός, καὶ ἐκ τῶν ἐπανισταμένων ἐπ' ἐμὲ λύτρωσαί με.

Ῥῦσαί με ἐκ τῶν ἐργαζομένων τὴν ἀνο-

Βεβήλωσαν τὴν διαθήκην αὐτοῦ, διεμερίσθησαν ἀπὸ ὀργῆς τοῦ προσώπου αὐτοῦ, καὶ ἤγγισεν ἡ καρδία αὐτοῦ.

Ἡπαλύνθησαν οἱ λόγοι αὐτοῦ ὑπὲρ ἔλαιον, καὶ αὐτοί εἰσι βολίδες.

Ἐπίρριψον ἐπὶ κύριον τὴν μέριμνάν σου, καὶ αὐτός σε διαθρέψει, οὐ δώσει εἰς τὸν αἰῶνα σάλον τῷ δικαίῳ.

Σὺ δὲ ὁ θεὸς κατάξεις αὐτοὺς εἰς φρέαρ διαφθορᾶς.

Ἄνδρες αἱμάτων καὶ δολιότητος οὐ μὴ ἡμισεύσωσι τὰς ἡμέρας αὐτῶν, ἐγὼ δὲ κύριε ἐλπιῶ ἐπὶ σὲ κύριε. Δόξα.



ΚΑΘΙΣΜΑ. ζ.

Εἰς τὸ τέλος ὑπὲρ τοῦ λαοῦ τοῦ ἀπὸ τῶν ἁγίων μεμακρυμμένου, τῷ Δαβὶδ εἰς στηλογραφίαν ὁπότε ἐκράτησαν αὐτὸν οἱ ἀλλόφυλοι ἐν Γέθ. νε'.

Ἐλέησόν με ὁ θεὸς, ὅτι κατεπάτησέ με ἄνθρωπος, ὅλην τὴν ἡμέραν πολεμῶν ἔθλιψέ με.

Κατεπάτησάν με οἱ ἐχθροί μου ὅλην τὴν ἡμέραν ἀπὸ ὕψους ἡμέρας, ὅτι πολλοὶ οἱ πολεμοῦντές με.

Οὐ φοβηθήσονται, ἐγὼ δὲ ἐλπιῶ ἐπὶ σοί,

Ἐν τῷ θεῷ ἐπαινέσω τοὺς λόγους μου, ὅλην τὴν ἡμέραν ἐν τῷ θεῷ ἤλπισα, οὐ φοβηθήσομαι, τί ποιήσει μοι σάρξ.

Ὅλην τὴν ἡμέραν τοὺς λόγους μου ἐβδελύσσοντο, κατ' ἐμοῦ πάντες οἱ διαλογισμοὶ αὐτῶν εἰς κακόν.

Παροικήσουσι καὶ κατακρύψουσιν αὐτοὶ, τὴν πτέρναν μου φυλάξουσι.

Καθάπερ ὑπέμεινα τῇ ψυχῇ μου, ὑπὲρ τοῦ μηθενὸς σώσεις αὐτοὺς, ἐν ὀργῇ λαοὺς κατάξεις.

Ὁ θεὸς τὴν ζωήν μου ἐξήγγειλά σοι, ἔθου τὰ δάκρυά μου ἐνώπιόν σου, ὡς καὶ ἐν τῇ ἐπαγγελίᾳ σου.

Ἐπιστρέψουσιν οἱ ἐχθροί μου εἰς τὰ ὀπίσω, ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλέσωμαί σε, ἰδοὺ ἔγνων ὅτι θεός μου εἶ σύ.

Ἐπὶ τῷ θεῷ αἰνέσω ῥῆμα, ἐπὶ τῷ κυρίῳ αἰνέσω λόγον. ἐπὶ τῷ θεῷ ἤλπισα, οὐ φοβηθήσομαι, τί ποιήσει μοι ἄνθρωπος.

Ἐν ἐμοὶ ὁ θεὸς αἱ εὐχαὶ, ἃς ἀποδώσω αἰνέσεώς σου.

Ὅτι ἐρρύσω τὴν ψυχήν μου ἐκ θανάτου, καὶ τοὺς πόδας μου ἐξ ὀλισθήματος,

Τοῦ εὐαρεστῆσαι ἐνώπιον θεοῦ, ἐν φωτὶ ζώντων.

Εἰς τὸ τέλος μὴ διαφθείρῃς τῷ Δαβὶδ εἰς στηλογραφίαν. ἐν τῷ αὐτὸν ἀποδιδράσκειν ἀπὸ προσώπου Σαοὺλ εἰς τὸ σπήλαιον. νς'.

Ἐλέησόν με ὁ θεὸς, ἐλέησόν με, ὅτι ἐπὶ σοὶ πέποιθεν ἡ ψυχή μου.

Καὶ ἐν τῇ σκιᾷ τῶν πτερύγων σου ἐλπιῶ, ἕως οὗ παρέλθοι ἡ ἀνομία.

Κεκράξομαι πρὸς τὸν θεὸν τὸν ὕψιστον, τὸν θεὸν τὸν εὐεργετήσαντά με.

Ὅτι ἀλλότριοι ἐπανέστησαν ἐπ' ἐμέ, καὶ κραταιοὶ ἐζήτησαν τὴν ψυχήν μου, καὶ οὐ προέθεντο τὸν θεὸν ἐνώπιον αὐτῶν.

Ἰδοὺ γὰρ ὁ θεὸς βοηθεῖ μοι, καὶ ὁ κύριος ἀντιλήπτωρ τῆς ψυχῆς μου.

Ἀποστρέψει τὰ κακὰ τοῖς ἐχθροῖς μου, ἐν τῇ ἀληθείᾳ σου ἐξολόθρευσον αὐτούς.

Ἑκουσίως θύσω σοι, ἐξομολογήσομαι τῷ ὀνόματί σου κύριε, ὅτι ἀγαθόν.

Ὅτι ἐκ πάσης θλίψεως ἐῤῥύσω με, καὶ ἐν τοῖς ἐχθροῖς μου ἐπεῖδεν ὁ ὀφθαλμός μου.

Εἰς τὸ τέλος ἐν ὕμνοις συνέσεως τῷ Δαβίδ. νδ´.

Ἐνώτισαι ὁ θεὸς τὴν προσευχήν μου, καὶ μὴ ὑπερίδῃς τὴν δέησίν μου, πρόσχες μοι, καὶ εἰσάκουσόν μου.

Ἐλυπήθην ἐν τῇ ἀδολεσχίᾳ μου, καὶ ἐταράχθην ἀπὸ φωνῆς ἐχθροῦ, καὶ ἀπὸ θλίψεως ἁμαρτωλοῦ.

Ὅτι ἐξέκλιναν ἐπ' ἐμὲ ἀνομίαν, καὶ ἐν ὀργῇ ἐνεκότουν μοι.

Ἡ καρδία μου ἐταράχθη ἐν ἐμοί, καὶ δειλία θανάτου ἐπέπεσεν ἐπ' ἐμέ.

Φόβος καὶ τρόμος ἦλθεν ἐπ' ἐμέ, καὶ ἐκάλυψέ με σκότος.

Καὶ εἶπα, τίς δώσει μοι πτέρυγας ὡσεὶ περιστερᾶς; καὶ πετασθήσομαι καὶ καταπαύσω.

Ἰδοὺ ἐμάκρυνα φυγαδεύων, καὶ ηὐλίσθην ἐν τῇ ἐρήμῳ.

Προσεδεχόμην τὸν σῴζοντά με ἀπὸ ὀλιγοψυχίας, καὶ καταιγίδος.

Καταπόντισον κύριε καὶ καταδίελε τὰς γλώσσας αὐτῶν, ὅτι εἶδον ἀνομίαν καὶ ἀντιλογίαν ἐν τῇ πόλει.

Ἡμέρας καὶ νυκτὸς κυκλώσει αὐτὴν ἐπὶ τὰ τείχη αὐτῆς, ἀνομία καὶ πόνος ἐν μέσῳ αὐτῆς καὶ ἀδικία,

Καὶ οὐκ ἐξέλιπεν ἐκ τῶν πλατειῶν αὐτῆς τόκος καὶ δόλος.

Ὅτι εἰ ὁ ἐχθρὸς ὠνείδισέ με, ὑπήνεγκα ἄν.

Καὶ εἰ ὁ μισῶν με ἐπ' ἐμὲ ἐμεγαλοῤῥημόνησεν, ἐκρύβην ἂν ἀπ' αὐτοῦ.

Σὺ δὲ ἄνθρωπε ἰσόψυχε, ἡγεμών μου, καὶ γνωστέ μου.

Ὃς ἐπὶ τὸ αὐτὸ ἐγλύκανάς ἐδέσματα, ἐν τῷ οἴκῳ τοῦ θεοῦ ἐπορεύθημεν ἐν ὁμονοίᾳ.

Ἐλθέτω θάνατος ἐπ' αὐτούς, καὶ καταβήτωσαν εἰς ᾅδου ζῶντες.

Ὅτι πονηρία ἐν ταῖς παροικίαις αὐτῶν ἐν μέσῳ αὐτῶν.

Ἐγὼ πρὸς τὸν θεὸν ἐκέκραξα, καὶ ὁ κύριος εἰσήκουσέ μου.

Ἑσπέρας καὶ πρωῒ καὶ μεσημβρίας διηγήσομαι, καὶ ἀπαγγελῶ καὶ εἰσακούσεται τῆς φωνῆς μου.

Λυτρώσεται ἐν εἰρήνῃ τὴν ψυχήν μου ἀπὸ τῶν ἐγγιζόντων μοι, ὅτι ἐν πολλοῖς ἦσαν σὺν ἐμοί.

Εἰσακούσεται ὁ θεὸς καὶ ταπεινώσει αὐτούς, ὁ ὑπάρχων πρὸ τῶν αἰώνων.

Οὐ γάρ ἐστιν αὐτοῖς ἀντάλλαγμα, καὶ οὐκ ἐφοβήθησαν τὸν θεόν, ἐξέτεινε τὴν χεῖρα αὐτοῦ ἐν τῷ ἀποδιδόναι.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης ἀναφορὰν καὶ ὁλοκαυτώματα, τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

Εἰς τὸ τέλος συνέσεως τῷ Δαυίδ, ἐν τῷ ἐλθεῖν Δωὴκ τὸν Ἰδουμαῖον, καὶ ἀναγγεῖλαι τῷ Σαοὺλ, καὶ εἰπεῖν αὐτῷ, ἦλθε Δαυὶδ εἰς τὸν οἶκον Ἀβιμέλεχ. να′.

Τι ἐγκαυχᾷ ἐν κακίᾳ ὁ δυνατὸς ἀνομίαν, ὅλην τὴν ἡμέραν ἀδικίαν ἐλογίσατο ἡ γλῶσσά σου.

Ωσεὶ ξυρὸν ἠκονημένον ἐποίησας δόλον.

Ηγάπησας κακίαν ὑπὲρ ἀγαθωσύνην, ἀδικίαν ὑπὲρ τὸ λαλῆσαι δικαιοσύνην.

Ηγάπησας πάντα τὰ ῥήματα καταποντισμοῦ, γλῶσσαν δολίαν.

Διὰ τοῦτο ὁ θεὸς καθελοῖ σε εἰς τέλος, ἐκτίλαι σε καὶ μεταναστεύσαι σε ἀπὸ σκηνώματος, καὶ τὸ ῥίζωμά σου ἐκ γῆς ζώντων.

Καὶ ὄψονται δίκαιοι καὶ φοβηθήσονται, καὶ ἐπ᾽ αὐτὸν γελάσονται καὶ ἐροῦσιν.

Ιδοὺ ἄνθρωπος, ὃς οὐκ ἔθετο τὸν θεὸν βοηθὸν αὐτοῦ, ἀλλ᾽ ἐπήλπισεν ἐπὶ τὸ πλῆθος τοῦ πλούτου αὐτοῦ, καὶ ἐνεδυναμώθη ἐπὶ τῇ ματαιότητι αὐτοῦ.

Εγὼ δὲ ὡσεὶ ἐλαία κατάκαρπος ἐν τῷ οἴκῳ τοῦ θεοῦ, ἤλπισα ἐπὶ τὸ ἔλεος τοῦ θεοῦ εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Εξομολογήσομαί σοι εἰς τὸν αἰῶνα, ὅτι ἐποίησας, καὶ ὑπομενῶ τὸ ὄνομά σου, ὅτι χρηστὸν ἐναντίον τῶν ὁσίων σου.

Εἰς τὸ τέλος ὑπὲρ μαελὲθ συνέσεως τῷ Δαυίδ. νβ′.

Ειπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ, οὐκ ἔστι θεός.

Διέφθειραν, καὶ ἐβδελύχθησαν ἐν ἀνομίαις, οὐκ ἔστι ποιῶν ἀγαθόν.

Ο θεὸς ἐκ τοῦ οὐρανοῦ διέκυψεν ἐπὶ τοὺς υἱοὺς τῶν ἀνθρώπων, τοῦ ἰδεῖν εἰ ἔστι συνιῶν, ἢ ἐκζητῶν τὸν θεόν.

Πάντες ἐξέκλιναν, ἅμα ἠχρειώθησαν, οὐκ ἔστι ποιῶν ἀγαθὸν, οὐκ ἔστιν ἕως ἑνός.

Οὐχὶ γνώσονται πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν, οἱ κατεσθίοντες τὸν λαόν μου βρώσει ἄρτου;

Τὸν θεὸν οὐκ ἐπεκαλέσαντο, ἐκεῖ ἐφοβήθησαν φόβον, οὗ οὐκ ἦν φόβος.

Οτι ὁ θεὸς διεσκόρπισεν ὀστᾶ ἀνθρωπαρέσκων, κατῃσχύνθησαν ὅτι ὁ θεὸς ἐξουδένωσεν αὐτούς.

Τίς δώσει ἐκ Σιὼν τὸ σωτήριον τοῦ Ισραήλ; ἐν τῷ ἀποστρέψαι κύριον τὴν αἰχμαλωσίαν τοῦ λαοῦ αὐτοῦ, ἀγαλλιάσεται Ιακὼβ, καὶ εὐφρανθήσεται Ισραήλ.

Εἰς τὸ τέλος ἐν ὕμνοις συνέσεως τῷ Δαβίδ. ἐν τῷ ἐλθεῖν τοὺς Ζιφαίους, καὶ εἰπεῖν τῷ Σαοὺλ, οὐκ ἰδοὺ Δαβὶδ κέκρυπται παρ᾽ ἡμῖν; νγ′.

Ο θεὸς ἐν τῷ ὀνόματί σου σῶσόν με, καὶ ἐν τῇ δυνάμει σου κρινόν με.

Ο θεὸς εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὰ ῥήματα τοῦ στόματός μου.

τὸ στόμα σου ἐπλεόνασε κακίαν, καὶ ἡ γλῶσσά σου περιέπλεκε δολιότητα.

Καθήμενος κατὰ τοῦ ἀδελφοῦ σου κατελάλεις, καὶ κατὰ τοῦ υἱοῦ τῆς μητρός σου ἐτίθεις σκάνδαλον.

Ταῦτα ἐποίησας, καὶ ἐσίγησα, ὑπέλαβες ἀνομίαν, ὅτι ἔσομαί σοι ὅμοιος.

Ἐλέγξω σε, καὶ παραστήσω κατὰ πρόσωπόν σου.

Σύνετε δὴ ταῦτα οἱ ἐπιλανθανόμενοι τοῦ θεοῦ, μήποτε ἁρπάσῃ, καὶ μὴ ᾖ ὁ ῥυόμενος.

Θυσία αἰνέσεως δοξάσει με, καὶ ἐκεῖ ὁδὸς ἣ δείξω αὐτῷ τὸ σωτήριον θεοῦ.

Εἰς τὸ τέλος ψαλμὸς τῷ Δαβὶδ, ἐν τῷ ἐλθεῖν πρὸς αὐτὸν Νάθαν τὸν προφήτην, ἡνίκα εἰσῆλθε πρὸς Βηρσαβεὲ [illegible]

Ἐλέησόν με ὁ θεὸς κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπιπλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου, καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μου ἐστὶ διαπαντός.

Σοὶ μόνῳ ἥμαρτον, καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα.

Ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ καὶ καθαρισθήσομαι, πλυνεῖς με καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς με ἀγαλλίασιν καὶ εὐφροσύνην, ἀγαλλιάσονται ὀστᾶ τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου, καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ θεὸς, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀπορρίψῃς με ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ πνεῦμα τὸ ἅγιόν σου μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου, καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι.

Ῥῦσαί με ἐξ αἱμάτων ὁ θεὸς ὁ θεὸς τῆς σωτηρίας μου, ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν, ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ θεῷ πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον κύριε ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιὼν, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.

Ὡς πρόβατα ἐν ἅδῃ ἔθεντο, θάνατος ποιμανεῖ αὐτούς·

Καὶ κατακυριεύσουσιν αὐτῶν οἱ εὐθεῖς τὸ πρωῒ, καὶ ἡ βοήθεια αὐτῶν παλαιωθήσεται ἐν τῷ ἅδῃ ἐκ τῆς δόξης αὐτῶν.

Πλὴν ὁ θεὸς λυτρώσεται τὴν ψυχήν μου ἐκ χειρὸς ᾅδου, ὅταν λαμβάνῃ με.

Μὴ φοβοῦ ὅταν πλουτήσῃ ἄνθρωπος, καὶ ὅταν πληθυνθῇ ἡ δόξα τοῦ οἴκου αὐτοῦ.

Ὅτι οὐκ ἐν τῷ ἀποθνήσκειν αὐτὸν λήψεται τὰ πάντα, οὐδὲ συγκαταβήσεται αὐτῷ ἡ δόξα αὐτοῦ.

Ὅτι ἡ ψυχὴ αὐτοῦ ἐν τῇ ζωῇ αὐτοῦ εὐλογηθήσεται, ἐξομολογήσεταί σοι ὅταν ἀγαθύνῃς αὐτῷ.

Εἰσελεύσεται ἕως γενεᾶς πατέρων αὐτοῦ, ἕως αἰῶνος οὐκ ὄψεται φῶς.

Ἄνθρωπος ἐν τιμῇ ὢν οὐ συνῆκε, παρασυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις, καὶ ὡμοιώθη αὐτοῖς.

Ψαλμὸς τῷ ἀσάφ. μθʹ.

Θεὸς θεῶν κύριος ἐλάλησε, καὶ ἐκάλεσε τὴν γῆν.

Ἀπὸ ἀνατολῶν ἡλίου μέχρι δυσμῶν, ἐκ σιὼν ἡ εὐπρέπεια τῆς ὡραιότητος αὐτοῦ.

Ὁ θεὸς ἐμφανῶς ἥξει, ὁ θεὸς ἡμῶν καὶ οὐ παρασιωπήσεται.

Πῦρ ἐναντίον αὐτοῦ καυθήσεται, καὶ κύκλῳ αὐτοῦ καταιγὶς σφόδρα.

Προσκαλέσεται τὸν οὐρανὸν ἄνω, καὶ τὴν γῆν διακρῖναι τὸν λαὸν αὐτοῦ.

Συναγάγετε αὐτῷ τοὺς ὁσίους αὐτοῦ, τοὺς διατιθεμένους τὴν διαθήκην αὐτοῦ ἐπὶ θυσίαις.

Καὶ ἀναγγελοῦσιν οἱ οὐρανοὶ τὴν δικαιοσύνην αὐτοῦ, ὅτι θεὸς κριτής ἐστιν.

Ἄκουσον λαός μου καὶ λαλήσω σοι, ἰσραὴλ καὶ διαμαρτύρομαί σοι, ὁ θεὸς ὁ θεός σου εἰμὶ ἐγώ.

Οὐκ ἐπὶ ταῖς θυσίαις σου ἐλέγξω σε, τὰ δὲ ὁλοκαυτώματά σου ἐνώπιόν μου ἐστὶ διὰ παντός.

Οὐ δέξομαι ἐκ τοῦ οἴκου σου μόσχους, οὐδὲ ἐκ τῶν ποιμνίων σου χιμάρους.

Ὅτι ἐμά ἐστι πάντα τὰ θηρία τοῦ δρυμοῦ, κτήνη ἐν τοῖς ὄρεσι, καὶ βόες.

Ἔγνωκα πάντα τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ ὡραιότης ἀγροῦ μετ᾽ ἐμοῦ ἐστιν.

Καὶ πεινάσω, οὐ μή σοι εἴπω, ἐμὴ γάρ ἐστιν ἡ οἰκουμένη καὶ τὸ πλήρωμα αὐτῆς.

Μὴ φάγομαι κρέα ταύρων, ἢ αἷμα τράγων πίομαι;

ῦσον τῷ θεῷ θυσίαν αἰνέσεως, καὶ ἀπόδος τῷ ὑψίστῳ τὰς εὐχάς σου.

Καὶ ἐπικάλεσαί με ἐν ἡμέρᾳ θλίψεως, καὶ ἐξελοῦμαί σε, καὶ δοξάσεις με.

Τῷ δὲ ἁμαρτωλῷ εἶπεν ὁ θεὸς, ἱνατί σὺ διηγῇ τὰ δικαιώματά μου, καὶ ἀναλαμβάνεις τὴν διαθήκην μου διὰ στόματός σου;

Σὺ δὲ ἐμίσησας παιδείαν, καὶ ἐξέβαλες τοὺς λόγους μου εἰς τὰ ὀπίσω.

Εἰ ἐθεώρεις κλέπτην, συνέτρεχες αὐτῷ, καὶ μετὰ μοιχῶν τὴν μερίδα σου ἐτίθεις.

Ὁ θεὸς ἐν ταῖς βάρεσιν αὐτῆς γινώσκεται, ὅταν ἀντιλαμβάνηται αὐτῆς.

Ὅτι ἰδοὺ οἱ βασιλεῖς συνήχθησαν, ἦλθοσαν ἐπὶ τὸ αὐτό.

Αὐτοὶ ἰδόντες οὕτως ἐθαύμασαν, ἐταράχθησαν, ἐσαλεύθησαν, τρόμος ἐπελάβετο αὐτῶν.

Ἐκεῖ ὠδῖνες ὡς τικτούσης, ἐν πνεύματι βιαίῳ συντρίψεις πλοῖα Θαρσίς.

Καθάπερ ἠκούσαμεν, οὕτως καὶ εἴδομεν, ἐν πόλει κυρίου τῶν δυνάμεων, ἐν πόλει τοῦ θεοῦ ἡμῶν.

Ὁ θεὸς ἐθεμελίωσεν αὐτὴν εἰς τὸν αἰῶνα. ὑπελάβομεν ὁ θεὸς τὸ ἔλεός σου ἐν μέσῳ τοῦ λαοῦ σου.

Κατὰ τὸ ὄνομά σου ὁ θεός, οὕτω καὶ ἡ αἴνεσίς σου ἐπὶ τὰ πέρατα τῆς γῆς, δικαιοσύνης πλήρης ἡ δεξιά σου.

Εὐφρανθήτω τὸ ὄρος Σιὼν ἀγαλλιάσθωσαν αἱ θυγατέρες τῆς Ἰουδαίας ἕνεκα τῶν κριμάτων σου κύριε.

Κυκλώσατε Σιών, καὶ περιλάβετε αὐτήν, διηγήσασθε ἐν τοῖς πύργοις αὐτῆς.

Θέσθε τὰς καρδίας ὑμῶν εἰς τὴν δύναμιν αὐτῆς, καὶ καταδιέλεσθε τὰς βάρεις αὐτῆς, ὅπως ἂν διηγήσησθε εἰς γενεὰν ἑτέραν.

Ὅτι οὗτός ἐστιν ὁ θεὸς ἡμῶν εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, αὐτὸς ποιμανεῖ ἡμᾶς εἰς τοὺς αἰῶνας.

Εἰς τὸ τέλος τοῖς υἱοῖς Κορὲ ψαλμός. μη.

Ἀκούσατε ταῦτα πάντα τὰ ἔθνη, ἐνωτίσασθε πάντες οἱ κατοικοῦντες τὴν οἰκουμένην.

Οἵ τε γηγενεῖς καὶ υἱοὶ τῶν ἀνθρώπων, ἐπὶ τὸ αὐτὸ πλούσιος καὶ πένης.

Τὸ στόμα μου λαλήσει σοφίαν, καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν.

Κλινῶ εἰς παραβολὴν τὸ οὖς μου, ἀνοίξω ἐν ψαλτηρίῳ τὸ πρόβλημά μου.

Ἵνα τί φοβοῦμαι ἐν ἡμέρᾳ πονηρᾷ; ἡ ἀνομία τῆς πτέρνης μου κυκλώσει με.

Οἱ πεποιθότες ἐπὶ τῇ δυνάμει αὐτῶν, καὶ ἐπὶ τῷ πλήθει τοῦ πλούτου αὐτῶν καυχώμενοι.

Ἀδελφὸς οὐ λυτροῦται, λυτρώσεται ἄνθρωπος; οὐ δώσει τῷ θεῷ ἐξίλασμα ἑαυτοῦ,

Καὶ τὴν τιμὴν τῆς λυτρώσεως τῆς ψυχῆς αὐτοῦ, καὶ ἐκοπίασεν εἰς τὸν αἰῶνα, καὶ ζήσεται εἰς τέλος.

Ὅτι οὐκ ὄψεται καταφθοράν, ὅταν ἴδῃ σοφοὺς ἀποθνήσκοντας, ἐπὶ τὸ αὐτὸ ἄφρων καὶ ἄνους ἀπολοῦνται.

Καὶ καταλείψουσιν ἀλλοτρίοις τὸν πλοῦτον αὐτῶν, καὶ οἱ τάφοι αὐτῶν οἰκίαι αὐτῶν εἰς τὸν αἰῶνα,

Σκηνώματα αὐτῶν εἰς γενεὰν καὶ γενεάν, ἐπεκαλέσαντο τὰ ὀνόματα αὐτῶν ἐπὶ τῶν γαιῶν αὐτῶν.

Καὶ ἄνθρωπος ἐν τιμῇ ὤν, οὐ συνῆκε, παρασυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις, καὶ ὡμοιώθη αὐτοῖς.

Αὕτη ἡ ὁδὸς αὐτῶν, σκάνδαλον αὐτοῖς, καὶ μετὰ ταῦτα ἐν τῷ στόματι αὐτῶν εὐδοκήσουσιν.

Εἰς τὸ τέλος ὑπὲρ τῶν υἱῶν Κορὲ ὑπὲρ τῶν κρυφίων ψαλμός. με.

Ὁ θεὸς ἡμῶν καταφυγὴ καὶ δύναμις, βοηθὸς ἐν θλίψεσι ταῖς εὑρούσαις ἡμᾶς σφόδρα.

Διὰ τοῦτο οὐ φοβηθησόμεθα ἐν τῷ ταράσσεσθαι τὴν γῆν, καὶ μετατίθεσθαι ὄρη ἐν καρδίαις θαλασσῶν.

Ἤχησαν καὶ ἐταράχθησαν τὰ ὕδατα αὐτῶν, ἐταράχθησαν τὰ ὄρη ἐν τῇ κραταιότητι αὐτοῦ.

Τοῦ ποταμοῦ τὰ ὁρμήματα εὐφραίνουσι τὴν πόλιν τοῦ θεοῦ, ἡγίασε τὸ σκήνωμα αὐτοῦ ὁ ὕψιστος.

Ὁ θεὸς ἐν μέσῳ αὐτῆς οὐ σαλευθήσεται, βοηθήσει αὐτῇ ὁ θεὸς τὸ πρὸς πρωῒ πρωΐ.

Ἐταράχθησαν ἔθνη, ἔκλιναν βασιλεῖαι, ἔδωκε φωνὴν αὐτοῦ, ἐσαλεύθη ἡ γῆ.

Κύριος τῶν δυνάμεων μεθ᾽ ἡμῶν, ἀντιλήπτωρ ἡμῶν ὁ θεὸς Ἰακώβ.

Δεῦτε καὶ ἴδετε τὰ ἔργα τοῦ κυρίου, ἃ ἔθετο τέρατα ἐπὶ τῆς γῆς, ἀνταναιρῶν πολέμους μέχρι τῶν περάτων γῆς γῆς.

Τόξον συντρίψει καὶ συγκλάσει ὅπλον, καὶ θυρεοὺς κατακαύσει ἐν πυρί.

Σχολάσατε καὶ γνῶτε, ὅτι ἐγώ εἰμι ὁ θεὸς, ὑψωθήσομαι ἐν τοῖς ἔθνεσιν, ὑψωθήσομαι ἐν τῇ γῇ.

Κύριος τῶν δυνάμεων μεθ᾽ ἡμῶν, ἀντιλήπτωρ ἡμῶν ὁ θεὸς Ἰακώβ.

Δόξα.



ΚΑΘΙΣΜΑ. ς΄.

Εἰς τὸ τέλος ὑπὲρ τῶν υἱῶν Κορὲ ψαλμός. μς΄.

Πάντα τὰ ἔθνη κροτήσατε χεῖρας, ἀλαλάξατε τῷ θεῷ ἐν φωνῇ ἀγαλλιάσεως.

Ὅτι κύριος ὕψιστος, φοβερὸς βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν.

Ὑπέταξε λαοὺς ἡμῖν, καὶ ἔθνη ὑπὸ τοὺς πόδας ἡμῶν.

Ἐξελέξατο ἡμῖν τὴν κληρονομίαν αὐτοῦ, τὴν καλλονὴν Ἰακὼβ ἣν ἠγάπησεν.

Ἀνέβη ὁ θεὸς ἐν ἀλαλαγμῷ, κύριος ἐν φωνῇ σάλπιγγος.

Ψάλατε τῷ θεῷ ἡμῶν ψάλατε, ψάλατε τῷ βασιλεῖ ἡμῶν ψάλατε.

Ὅτι βασιλεὺς πάσης τῆς γῆς ὁ θεὸς, ψάλατε συνετῶς.

Ἐβασίλευσεν ὁ θεὸς ἐπὶ τὰ ἔθνη, ὁ θεὸς κάθηται ἐπὶ θρόνου ἁγίου αὐτοῦ.

Ἄρχοντες λαῶν συνήχθησαν μετὰ τοῦ θεοῦ Ἀβραάμ, ὅτι τοῦ θεοῦ οἱ κραταιοὶ τῆς γῆς σφόδρα ἐπήρθησαν.

Ψαλμὸς ᾠδῆς τοῖς υἱοῖς Κορὲ δευτέρᾳ σαββάτου. μζ΄.

Μέγας κύριος, καὶ αἰνετὸς σφόδρα ἐν πόλει τοῦ θεοῦ ἡμῶν ἐν ὄρει ἁγίῳ αὐτοῦ

Εὐρίζων ἀγαλλιάματι πάσης τῆς γῆς, ὄρη Σιὼν τὰ πλευρὰ τοῦ βορρᾶ, ἡ πόλις τοῦ βασιλέως τοῦ μεγάλου.

Ὁ θεὸς

Ἐξεγέρθητι, ἵνα τί ὑπνοῖς κύριε; ἀνάστηθι, καὶ μὴ ἀπώσῃ εἰς τέλος.

Ἵνα τί τὸ πρόσωπόν σου ἀποστρέφεις; ἐπιλανθάνῃ τῆς πτωχείας ἡμῶν καὶ τῆς θλίψεως ἡμῶν;

Ὅτι ἐταπεινώθη εἰς χοῦν ἡ ψυχὴ ἡμῶν, ἐκολλήθη εἰς γῆν ἡ γαστὴρ ἡμῶν.

Ἀνάστα κύριε βοήθησον ἡμῖν, καὶ λύτρωσαι ἡμᾶς ἕνεκεν τοῦ ὀνόματός σου.

Εἰς τὸ τέλος ὑπὲρ τῶν ἀλλοιωθησομένων τοῖς υἱοῖς Κορὲ εἰς σύνεσιν, ᾠδὴ ὑπὲρ τοῦ ἀγαπητοῦ. μδ.

Ἐξηρεύξατο ἡ καρδία μου λόγον ἀγαθόν, λέγω ἐγὼ τὰ ἔργα μου τῷ βασιλεῖ.

Ἡ γλῶσσά μου κάλαμος γραμματέως ὀξυγράφου.

Ὡραῖος κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων, ἐξεχύθη χάρις ἐν χείλεσί σου, διὰ τοῦτο εὐλόγησέ σε ὁ θεὸς εἰς τὸν αἰῶνα.

Περίζωσαι τὴν ῥομφαίαν σου ἐπὶ τὸν μηρόν σου δυνατέ.

Τῇ ὡραιότητί σου καὶ τῷ κάλλει σου, καὶ ἔντεινον, καὶ κατευοδοῦ καὶ βασίλευε.

Ἕνεκεν ἀληθείας καὶ πραότητος καὶ δικαιοσύνης, καὶ ὁδηγήσει σε θαυμαστῶς ἡ δεξιά σου.

Τὰ βέλη σου ἠκονημένα δυνατέ, λαοὶ ὑποκάτω σου πεσοῦνται ἐν καρδίᾳ τῶν ἐχθρῶν τοῦ βασιλέως.

Ὁ θρόνος σου ὁ θεὸς εἰς αἰῶνα αἰῶνος, ῥάβδος εὐθύτητος, ἡ ῥάβδος τῆς βασιλείας σου.

Ἠγάπησας δικαιοσύνην, καὶ ἐμίσησας ἀνομίαν, διὰ τοῦτο ἔχρισέ σε ὁ θεὸς ὁ θεός σου ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου.

Σμύρνα καὶ στακτὴ καὶ κασσία ἀπὸ τῶν ἱματίων σου, ἀπὸ βάρεων ἐλεφαντίνων, ἐξ ὧν εὔφρανάν σε θυγατέρες βασιλέων ἐν τῇ τιμῇ σου.

Παρέστη ἡ βασίλισσα ἐκ δεξιῶν σου, ἐν ἱματισμῷ διαχρύσῳ περιβεβλημένη πεποικιλμένη.

Ἄκουσον θύγατερ καὶ ἴδε καὶ κλῖνον τὸ οὖς σου, καὶ ἐπιλάθου τοῦ λαοῦ σου, καὶ τοῦ οἴκου τοῦ πατρός σου.

Ὅτι ἐπεθύμησεν ὁ βασιλεὺς τοῦ κάλλους σου, ὅτι αὐτός ἐστιν ὁ κύριός σου καὶ προσκυνήσουσιν αὐτῷ.

Θυγατέρες Τύρου ἐν δώροις, τὸ πρόσωπόν σου λιτανεύσουσιν οἱ πλούσιοι τοῦ λαοῦ τῆς γῆς.

Πᾶσα ἡ δόξα αὐτῆς θυγατρὸς τοῦ βασιλέως ἔσωθεν, ἐν κροσσωτοῖς χρυσοῖς περιβεβλημένη πεποικιλμένη.

Ἀπενεχθήσονται τῷ βασιλεῖ παρθένοι ὀπίσω αὐτῆς, αἱ πλησίον αὐτῆς ἀπενεχθήσονταί σοι.

Ἀπενεχθήσονται ἐν εὐφροσύνῃ καὶ ἀγαλλιάσει, ἀχθήσονται εἰς ναὸν βασιλέως.

Ἀντὶ τῶν πατέρων σου, ἐγεννήθησάν σοι υἱοί, καταστήσεις αὐτοὺς ἄρχοντας ἐπὶ πᾶσαν τὴν γῆν.

Μνησθήσονται τοῦ ὀνόματός σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ.

Διὰ τοῦτο λαοὶ ἐξομολογήσονταί σοι εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Ἔλπισον ἐπὶ τὸν θεόν, ὅτι ἐξομολογήσομαι αὐτῷ, σωτήριον τοῦ προσώπου μου ὁ θεός μου.

Δόξα.

Εἰς τὸ τέλος τοῖς υἱοῖς Κορὲ εἰς σύνεσιν Ψαλμὸς μγ'.

Ὁ θεὸς ἐν τοῖς ὠσὶν ἡμῶν ἠκούσαμεν, οἱ πατέρες ἡμῶν ἀνήγγειλαν ἡμῖν,

Ἔργον ὃ εἰργάσω ἐν ταῖς ἡμέραις αὐτῶν, ἐν ἡμέραις ἀρχαίαις.

Ἡ χείρ σου ἔθνη ἐξωλόθρευσε, καὶ κατεφύτευσας αὐτούς, ἐκάκωσας λαοὺς καὶ ἐξέβαλες αὐτούς.

Οὐ γὰρ ἐν τῇ ῥομφαίᾳ αὐτῶν ἐκληρονόμησαν γῆν, καὶ ὁ βραχίων αὐτῶν οὐκ ἔσωσεν αὐτούς.

Ἀλλ' ἡ δεξιά σου καὶ ὁ βραχίων σου, καὶ ὁ φωτισμὸς τοῦ προσώπου σου, ὅτι εὐδόκησας ἐν αὐτοῖς.

Σὺ εἶ αὐτὸς ὁ βασιλεύς μου καὶ ὁ θεός μου, ὁ ἐντελλόμενος τὰς σωτηρίας Ἰακώβ.

Ἐν σοὶ τοὺς ἐχθροὺς ἡμῶν κερατιοῦμεν, καὶ ἐν τῷ ὀνόματί σου ἐξουδενώσομεν τοὺς ἐπανισταμένους ἡμῖν.

Οὐ γὰρ ἐπὶ τῷ τόξῳ μου ἐλπιῶ, καὶ ἡ ῥομφαία μου οὐ σώσει με.

Ἔσωσας γὰρ ἡμᾶς ἐκ τῶν θλιβόντων ἡμᾶς, καὶ τοὺς μισοῦντας ἡμᾶς κατῄσχυνας.

Ἐν τῷ θεῷ ἐπαινεθησόμεθα ὅλην τὴν ἡμέραν, καὶ ἐν τῷ ὀνόματί σου ἐξομολογησόμεθα εἰς τὸν αἰῶνα.

Νυνὶ δὲ ἀπώσω καὶ κατῄσχυνας ἡμᾶς, καὶ οὐκ ἐξελεύσῃ ἐν ταῖς δυνάμεσιν ἡμῶν.

Ἀπέστρεψας ἡμᾶς εἰς τὰ ὀπίσω παρὰ τοὺς ἐχθροὺς ἡμῶν, καὶ οἱ μισοῦντες ἡμᾶς διήρπαζον ἑαυτοῖς.

Ἔδωκας ἡμᾶς ὡς πρόβατα βρώσεως, καὶ ἐν τοῖς ἔθνεσι διέσπειρας ἡμᾶς.

Ἀπέδου τὸν λαόν σου ἄνευ τιμῆς, καὶ οὐκ ἦν πλῆθος ἐν τοῖς ἀλαλάγμασιν αὐτῶν.

Ἔθου ἡμᾶς ὄνειδος τοῖς γείτοσιν ἡμῶν, μυκτηρισμὸν καὶ καταγέλωτα τοῖς κύκλῳ ἡμῶν.

Ἔθου ἡμᾶς εἰς παραβολὴν ἐν τοῖς ἔθνεσι, κίνησιν κεφαλῆς ἐν τοῖς λαοῖς.

Ὅλην τὴν ἡμέραν ἡ ἐντροπή μου κατεναντίον μού ἐστι, καὶ ἡ αἰσχύνη τοῦ προσώπου μου ἐκάλυψέ με.

Ἀπὸ φωνῆς ὀνειδίζοντος καὶ παραλαλοῦντος, ἀπὸ προσώπου ἐχθροῦ καὶ ἐκδιώκοντος.

Ταῦτα πάντα ἦλθεν ἐφ' ἡμᾶς, καὶ οὐκ ἐπελαθόμεθά σου, καὶ οὐκ ἠδικήσαμεν ἐν διαθήκῃ σου.

Καὶ οὐκ ἀπέστη εἰς τὰ ὀπίσω ἡ καρδία ἡμῶν, καὶ ἐξέκλινας τὰς τρίβους ἡμῶν ἀπὸ τῆς ὁδοῦ σου.

Ὅτι ἐταπείνωσας ἡμᾶς ἐν τόπῳ κακώσεως, καὶ ἐπεκάλυψεν ἡμᾶς σκιὰ θανάτου.

Εἰ ἐπελαθόμεθα τοῦ ὀνόματος τοῦ θεοῦ ἡμῶν, καὶ εἰ διεπετάσαμεν χεῖρας ἡμῶν πρὸς θεὸν ἀλλότριον.

Οὐχὶ ὁ θεὸς ἐκζητήσει ταῦτα; αὐτὸς γὰρ γινώσκει τὰ κρύφια τῆς καρδίας.

Ὅτι ἕνεκά σου θανατούμεθα ὅλην τὴν ἡμέραν, ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς.

Ἐξε-

Ἐμοῦ δὲ διὰ τὴν ἀκακίαν ἀντελάβου, καὶ ἐβεβαίωσάς με ἐνώπιόν σου εἰς τὸν αἰῶνα.

Εὐλογητὸς κύριος ὁ θεὸς Ἰσραὴλ ἀπὸ τοῦ αἰῶνος, καὶ εἰς τὸν αἰῶνα. γένοιτο, γένοιτο.

Εἰς τὸ τέλος εἰς σύνεσιν τοῖς υἱοῖς Κορέ. μα.

ΟΝ τρόπον ἐπιποθεῖ ἡ ἔλαφος ἐπὶ τὰς πηγὰς τῶν ὑδάτων, οὕτως ἐπιποθεῖ ἡ ψυχή μου πρὸς σὲ ὁ θεός.

Ἐδίψησεν ἡ ψυχή μου πρὸς τὸν θεὸν, τὸν ζῶντα.

Πότε ἥξω καὶ ὀφθήσομαι τῷ προσώπῳ τοῦ θεοῦ;

Ἐγενήθη τὰ δάκρυά μου ἐμοὶ ἄρτος ἡμέρας καὶ νυκτὸς, ἐν τῷ λέγεσθαί μοι καθ᾽ ἑκάστην ἡμέραν, ποῦ ἐστιν ὁ θεός σου;

Ταῦτα ἐμνήσθην, καὶ ἐξέχεα ἐπ᾽ ἐμὲ τὴν ψυχήν μου, ὅτι διελεύσομαι ἐν τόπῳ σκηνῆς θαυμαστῆς ἕως τοῦ οἴκου τοῦ θεοῦ.

Ἐν φωνῇ ἀγαλλιάσεως καὶ ἐξομολογήσεως ἤχου ἑορτάζοντων.

Ἵνα τί περίλυπος εἶ ἡ ψυχή μου, καὶ ἵνα τί συνταράσσεις με;

Ἔλπισον ἐπὶ τὸν θεὸν, ὅτι ἐξομολογήσομαι αὐτῷ, σωτήριον τοῦ προσώπου μου, ὁ θεός μου.

Πρὸς ἐμαυτὸν ἡ ψυχή μου ἐταράχθη, διὰ τοῦτο μνησθήσομαί σου ἐκ γῆς Ἰορδάνου, καὶ Ἑρμωνιεὶμ ἀπὸ ὄρους μικροῦ.

Ἄβυσσος ἄβυσσον ἐπικαλεῖται εἰς φωνὴν τῶν καταρρακτῶν σου.

Πάντες οἱ μετεωρισμοί σου, καὶ τὰ κύματά σου ἐπ᾽ ἐμὲ διῆλθον.

Ἡμέρας ἐντελεῖται κύριος τὸ ἔλεος αὐτοῦ, καὶ νυκτὸς δηλώσει. παρ᾽ ἐμοί

Προσευχὴ τῷ θεῷ τῆς ζωῆς μου, ἐρῶ τῷ θεῷ ἀντιλήπτωρ μου εἶ,

Διὰ τί μου ἐπελάθου; ἵνα τί σκυθρωπάζων πορεύομαι ἐν τῷ ἐκθλίβειν τὸν ἐχθρόν μου;

Ἐν τῷ καταθλᾶσθαι τὰ ὀστᾶ μου, ὠνείδισάν με οἱ θλίβοντές με.

Ἐν τῷ λέγειν αὐτούς μοι καθ᾽ ἑκάστην ἡμέραν, ποῦ ἐστιν ὁ θεός σου;

Ἵνα τί περίλυπος εἶ ἡ ψυχή μου, καὶ ἵνα τί συνταράσσεις με;

Ἔλπισον ἐπὶ τὸν θεὸν, ὅτι ἐξομολογήσομαι αὐτῷ, ἡ σωτηρία τοῦ προσώπου μου καὶ ὁ θεός μου.

Ψαλμὸς τῷ Δαβίδ. μβ.

ΚΡῖνόν με ὁ θεὸς, καὶ δίκασον τὴν δίκην μου, ἐξ ἔθνους οὐχ ὁσίου, ἀπὸ ἀνθρώπου ἀδίκου καὶ δολίου ῥῦσαί με.

Ὅτι σὺ εἶ ὁ θεὸς κραταίωμά μου, ἵνα τί ἀπώσω με, καὶ ἵνα τί σκυθρωπάζων πορεύομαι ἐν τῷ ἐκθλίβειν τὸν ἐχθρόν μου;

Ἐξαπόστειλον τὸ φῶς σου καὶ τὴν ἀλήθειάν σου, αὐτά με ὡδήγησαν καὶ ἤγαγον εἰς ὄρος ἅγιόν σου καὶ εἰς τὰ σκηνώματά σου.

Καὶ εἰσελεύσομαι πρὸς τὸ θυσιαστήριον τοῦ θεοῦ, πρὸς τὸν θεὸν τὸν εὐφραίνοντα τὴν νεότητά μου.

Ἐξομολογήσομαί σοι ἐν κιθάρᾳ ὁ θεὸς ὁ θεός μου. ἵνα τί περίλυπος εἶ ἡ ψυχή μου, καὶ ἵνα τί συνταράσσεις με;

Ἐλπι-

Εὐηγγελισάμην δικαιοσύνην ἐν ἐκκλησίᾳ μεγάλῃ, ἰδοὺ τὰ χείλη μου οὐ μὴ κωλύσω, κύριε σὺ ἔγνως.

Τὴν δικαιοσύνην μου, οὐκ ἔκρυψα ἐν τῇ καρδίᾳ μου τὴν ἀλήθειάν σου, καὶ τὸ σωτήριόν σου εἶπα.

Οὐκ ἔκρυψα τὸ ἔλεός σου καὶ τὴν ἀλήθειάν σου ἀπὸ συναγωγῆς πολλῆς.

Σὺ δὲ κύριε μὴ μακρύνῃς τοὺς οἰκτιρμούς σου ἀπ' ἐμοῦ, τὸ ἔλεός σου καὶ ἡ ἀλήθειά σου διὰ παντὸς ἀντελάβοντό μου.

Ὅτι περιέσχον με κακὰ, ὧν οὐκ ἔστιν ἀριθμὸς, κατέλαβόν με αἱ ἀνομίαι μου, καὶ οὐκ ἠδυνάσθην τοῦ βλέπειν.

Ἐπληθύνθησαν ὑπὲρ τὰς τρίχας τῆς κεφαλῆς μου, καὶ ἡ καρδία μου ἐγκατέλιπέ με.

Εὐδόκησον κύριε τοῦ ῥύσασθαί με, κύριε εἰς τὸ βοηθῆσαί μοι πρόσχες.

Καταισχυνθείησαν καὶ ἐντραπείησαν ἅμα οἱ ζητοῦντες τὴν ψυχήν μου, τοῦ ἐξᾶραι αὐτήν.

Ἀποστραφείησαν εἰς τὰ ὀπίσω, καὶ ἐντραπείησαν οἱ θέλοντές μοι κακά.

Κομισάσθωσαν παραχρῆμα αἰσχύνην αὐτῶν, οἱ λέγοντές μοι εὖγε εὖγε.

Ἀγαλλιάσαιντο καὶ εὐφρανθείησαν ἐπὶ σοὶ πάντες οἱ ζητοῦντές σε κύριε,

Καὶ εἰπάτωσαν διὰ παντὸς, μεγαλυνθήτω ὁ κύριος οἱ ἀγαπῶντες τὸ σωτήριόν σου.

Ἐγὼ δὲ πτωχὸς καὶ πένης εἰμὶ, κύριος φροντιεῖ μου.

Βοηθός μου καὶ ὑπερασπιστής μου εἶ σὺ ὁ θεός μου, μὴ χρονίσῃς. Δόξα.

Εἰς τὸ τέλος ψαλμὸς τῷ δαβίδ. μ.

Μακάριος ὁ συνιῶν ἐπὶ πτωχὸν καὶ πένητα, ἐν ἡμέρᾳ πονηρᾷ ῥύσεται αὐτὸν ὁ κύριος.

Κύριος φυλάξαι αὐτὸν καὶ ζήσαι αὐτὸν, καὶ μακαρίσαι αὐτὸν ἐν τῇ γῇ, καὶ μὴ παραδοῖ αὐτὸν εἰς χεῖρας ἐχθροῦ αὐτοῦ.

Κύριος βοηθήσαι αὐτῷ ἐπὶ κλίνης ὀδύνης αὐτοῦ, ὅλην τὴν κοίτην αὐτοῦ ἔστρεψας ἐν τῇ ἀρρωστίᾳ αὐτοῦ.

Ἐγὼ εἶπα, κύριε ἐλέησόν με, ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι.

Οἱ ἐχθροί μου εἶπαν κακά μοι, πότε ἀποθανεῖται καὶ ἀπολεῖται τὸ ὄνομα αὐτοῦ;

Καὶ εἰσεπορεύετο τοῦ ἰδεῖν, μάτην ἐλάλει ἡ καρδία αὐτοῦ, συνήγαγεν ἀνομίαν ἑαυτῷ, ἐξεπορεύετο ἔξω, καὶ ἐλάλει ἐπὶ τὸ αὐτό.

Κατ' ἐμοῦ ἐψιθύριζον πάντες οἱ ἐχθροί μου, κατ' ἐμοῦ ἐλογίζοντο κακά μοι.

Λόγον παράνομον κατέθεντο κατ' ἐμοῦ, μὴ ὁ κοιμώμενος οὐχὶ προσθήσει τοῦ ἀναστῆναι;

Καὶ γὰρ ὁ ἄνθρωπος τῆς εἰρήνης μου ἐφ' ὃν ἤλπισα, ὁ ἐσθίων ἄρτους μου ἐμεγάλυνεν ἐπ' ἐμὲ πτερνισμόν.

Σὺ δὲ κύριε ἐλέησόν με, καὶ ἀνάστησόν με, καὶ ἀνταποδώσω αὐτοῖς.

Ἐν τούτῳ ἔγνων ὅτι τεθέληκάς με, ὅτι οὐ μὴ ἐπιχαρῇ ὁ ἐχθρός μου ἐπ' ἐμέ.

Ἐθέμην τῷ στόματί μου φυλακὴν, ἐν τῷ συστῆναι τὸν ἁμαρτωλὸν ἐναντίον μου.

Ἐκωφώθην καὶ ἐταπεινώθην καὶ ἐσίγησα ἐξ ἀγαθῶν, καὶ τὸ ἄλγημά μου ἀνεκαινίσθη.

Ἐθερμάνθη ἡ καρδία μου ἐντός μου, καὶ ἐν τῇ μελέτῃ μου ἐκκαυθήσεται πῦρ.

Ἐλάλησα ἐν γλώσσῃ μου, γνώρισόν μοι κύριε τὸ πέρας μου.

Καὶ τὸν ἀριθμὸν τῶν ἡμερῶν μου τίς ἐστιν; ἵνα γνῶ τί ὑστερῶ ἐγώ.

Ἰδοὺ παλαιὰς ἔθου τὰς ἡμέρας μου, καὶ ἡ ὑπόστασίς μου ὡσεὶ οὐθὲν ἐνώπιόν σου.

Πλὴν τὰ σύμπαντα ματαιότης, πᾶς ἄνθρωπος ζῶν. μέντοιγε ἐν εἰκόνι διαπορεύεται ἄνθρωπος, πλὴν μάτην ταράσσεται.

Θησαυρίζει, καὶ οὐ γινώσκει τίνι συνάξει αὐτά. καὶ νῦν τίς ἡ ὑπομονή μου; οὐχὶ ὁ κύριος; καὶ ἡ ὑπόστασίς μου παρὰ σοί ἐστιν.

Ἀπὸ πασῶν τῶν ἀνομιῶν μου ῥῦσαί με, ὄνειδος ἄφρονι ἔδωκάς με.

Ἐκωφώθην καὶ οὐκ ἤνοιξα τὸ στόμα μου, ὅτι σὺ εἶ ὁ ποιήσας με, ἀπόστησον ἀπ' ἐμοῦ τὰς μάστιγάς σου.

Ἀπὸ τῆς ἰσχύος τῆς χειρός σου ἐγὼ ἐξέλιπον, ἐν ἐλεγμοῖς ὑπὲρ ἀνομίας ἐπαίδευσας ἄνθρωπον.

Καὶ ἐξέτηξας ὡς ἀράχνην τὴν ψυχὴν αὐτοῦ, πλὴν μάτην ταράσσεται πᾶς ἄνθρωπος.

Εἰσάκουσον τῆς προσευχῆς μου κύριε καὶ τῆς δεήσεώς μου, ἐνώτισαι τῶν δακρύων μου.

Μὴ παρασιωπήσῃς, ὅτι πάροικος ἐγώ εἰμι ἐν τῇ γῇ καὶ παρεπίδημος καθὼς πάντες οἱ πατέρες μου.

Ἄνες μοι ἵνα ἀναψύξω πρὸ τοῦ με ἀπελθεῖν, καὶ οὐκέτι μὴ ὑπάρξω.

Εἰς τὸ τέλος τῷ δαβίδ. ψαλμὸς λθʹ.

Ὑπομένων ὑπέμεινα τὸν κύριον, καὶ προσέσχε μοι, καὶ εἰσήκουσε τῆς δεήσεώς μου.

Καὶ ἀνήγαγέ με ἐκ λάκκου ταλαιπωρίας, καὶ ἀπὸ πηλοῦ ἰλύος.

Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου, καὶ κατεύθυνε τὰ διαβήματά μου.

Καὶ ἐνέβαλεν εἰς τὸ στόμα μου ᾆσμα καινὸν, ὕμνον τῷ θεῷ ἡμῶν.

Ὄψονται πολλοὶ καὶ φοβηθήσονται, καὶ ἐλπιοῦσιν ἐπὶ κύριον.

Μακάριος ἀνὴρ, οὗ ἐστι τὸ ὄνομα κυρίου ἐλπὶς αὐτοῦ, καὶ οὐκ ἐπέβλεψεν εἰς ματαιότητας καὶ μανίας ψευδεῖς.

Πολλὰ ἐποίησας σὺ κύριε ὁ θεός μου τὰ θαυμάσιά σου, καὶ τοῖς διαλογισμοῖς σου οὐκ ἔστι τίς ὁμοιωθήσεταί σοι.

Ἀπήγγειλα καὶ ἐλάλησα, ἐπληθύνθησαν ὑπὲρ ἀριθμόν.

Θυσίαν καὶ προσφορὰν οὐκ ἠθέλησας, σῶμα δὲ κατηρτίσω μοι.

Ὁλοκαυτώματα καὶ περὶ ἁμαρτίας οὐκ ᾔτησας, τότε εἶπον ἰδοὺ ἥκω.

Ἐν κεφαλίδι βιβλίου γέγραπται περὶ ἐμοῦ, τοῦ ποιῆσαι τὸ θέλημά σου ὁ θεός μου ἠβουλήθην, καὶ τὸν νόμον σου ἐν μέσῳ τῆς καρδίας μου.



ΚΑΘΙΣΜΑ. ε.

Ψαλμὸς τῷ Δαβὶδ εἰς ἀνάμνησιν περὶ σαββάτου. λζ.

Κύριε μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με.

Ὅτι τὰ βέλη σου ἐνεπάγησάν μοι, καὶ ἐπεστήριξας ἐπ' ἐμὲ τὴν χεῖρά σου.

Οὐκ ἔστιν ἴασις ἐν τῇ σαρκί μου ἀπὸ προσώπου τῆς ὀργῆς σου, οὐκ ἔστιν εἰρήνη τοῖς ὀστέοις μου ἀπὸ προσώπου τῶν ἁμαρτιῶν μου.

Ὅτι αἱ ἀνομίαι μου ὑπερῆραν τὴν κεφαλήν μου, ὡσεὶ φορτίον βαρὺ ἐβαρύνθησαν ἐπ' ἐμέ.

Προσώζεσαν καὶ ἐσάπησαν οἱ μώλωπές μου, ἀπὸ προσώπου τῆς ἀφροσύνης μου.

Ἐταλαιπώρησα καὶ κατεκάμφθην ἕως τέλους, ὅλην τὴν ἡμέραν σκυθρωπάζων ἐπορευόμην.

Ὅτι ἡ ψυχή μου ἐπλήσθη ἐμπαιγμάτων, καὶ οὐκ ἔστιν ἴασις ἐν τῇ σαρκί μου.

Ἐκακώθην καὶ ἐταπεινώθην ἕως σφόδρα, ὠρυόμην ἀπὸ στεναγμοῦ τῆς καρδίας μου.

Καὶ ἐναντίον σου πᾶσα ἡ ἐπιθυμία μου, καὶ ὁ στεναγμός μου ἀπὸ σοῦ οὐκ ἀπεκρύβη.

Ἡ καρδία μου ἐταράχθη, ἐγκατέλιπέ με ἡ ἰσχύς μου, καὶ τὸ φῶς τῶν ὀφθαλμῶν μου οὐκ ἔστι μετ' ἐμοῦ.

Οἱ φίλοι μου καὶ οἱ πλησίον μου ἐξ ἐναντίας μου ἤγγισαν καὶ ἔστησαν.

Καὶ οἱ ἔγγιστά μου μακρόθεν ἔστησαν, καὶ ἐξεβιάζοντο οἱ ζητοῦντες τὴν ψυχήν μου.

Καὶ οἱ ζητοῦντες τὰ κακά μοι ἐλάλησαν ματαιότητας, καὶ δολιότητας ὅλην τὴν ἡμέραν ἐμελέτησαν.

Ἐγὼ δὲ ὡσεὶ κωφὸς οὐκ ἤκουον, καὶ ὡσεὶ ἄλαλος οὐκ ἀνοίγων τὸ στόμα αὐτοῦ.

Καὶ ἐγενόμην ὡσεὶ ἄνθρωπος οὐκ ἀκούων, καὶ οὐκ ἔχων ἐν τῷ στόματι αὐτοῦ ἐλεγμούς.

Ὅτι ἐπὶ σοὶ κύριε ἤλπισα, σὺ εἰσακούσῃ κύριε ὁ θεός μου.

Ὅτι εἶπα, μήποτε ἐπιχαρῶσί μοι οἱ ἐχθροί μου, καὶ ἐν τῷ σαλευθῆναι πόδας μου, ἐπ' ἐμὲ ἐμεγαλορρημόνησαν.

Ὅτι ἐγὼ εἰς μάστιγας ἕτοιμος, καὶ ἡ ἀλγηδών μου ἐνώπιόν μου διαπαντός.

Ὅτι τὴν ἀνομίαν μου ἀναγγελῶ, καὶ μεριμνήσω ὑπὲρ τῆς ἁμαρτίας μου.

Οἱ δὲ ἐχθροί μου ζῶσι καὶ κεκραταίωνται ὑπὲρ ἐμέ, καὶ ἐπληθύνθησαν οἱ μισοῦντές με ἀδίκως.

Οἱ ἀνταποδιδόντες κακὰ ἀντὶ ἀγαθῶν, ἐνδιέβαλόν με, ἐπεὶ κατεδίωκον δικαιοσύνην.

Μὴ ἐγκαταλίπῃς με κύριε ὁ θεός μου, μὴ ἀποστῇς ἀπ' ἐμοῦ.

Πρόσχες εἰς τὴν βοήθειάν μου κύριε τῆς σωτηρίας μου.

Εἰς τὸ τέλος τῷ Ἰδιθοὺν ᾠδὴ τῷ Δαβίδ. λη.

Εἶπα, φυλάξω τὰς ὁδούς μου, τοῦ μὴ ἁμαρτάνειν ἐν γλώσσῃ μου.

Οἱ δὲ ἐχθροὶ τοῦ κυρίου ἅμα τῷ δοξασθῆναι αὐτοὺς καὶ ὑψωθῆναι, ἐκλείποντες ὡσεὶ καπνὸς ἐξέλιπον.

Δανείζεται ὁ ἁμαρτωλὸς, καὶ οὐκ ἀποτίσει, ὁ δὲ δίκαιος οἰκτείρει καὶ διδοῖ.

Ὅτι οἱ εὐλογοῦντες αὐτὸν κληρονομήσουσι γῆν, οἱ δὲ καταρώμενοι αὐτὸν ἐξολοθρευθήσονται.

Παρὰ κυρίου τὰ διαβήματα ἀνθρώπου κατευθύνεται, καὶ τὴν ὁδὸν αὐτοῦ θελήσει.

Ὅταν πέσῃ οὐ καταραχθήσεται, ὅτι κύριος ἀντιστηρίζει χεῖρα αὐτοῦ.

Νεώτερος ἐγενόμην, καὶ γὰρ ἐγήρασα, καὶ οὐκ εἶδον δίκαιον ἐγκαταλελειμμένον, οὐδὲ τὸ σπέρμα αὐτοῦ ζητοῦν ἄρτους.

Ὅλην τὴν ἡμέραν ἐλεεῖ καὶ δανείζει, καὶ τὸ σπέρμα αὐτοῦ εἰς εὐλογίαν ἔσται.

Ἔκκλινον ἀπὸ κακοῦ, καὶ ποίησον ἀγαθὸν, καὶ κατασκήνου εἰς αἰῶνα αἰῶνος.

Ὅτι κύριος ἀγαπᾷ κρίσιν, καὶ οὐκ ἐγκαταλείψει τοὺς ὁσίους αὐτοῦ, εἰς τὸν αἰῶνα φυλαχθήσονται.

Ἄμωμοι ἐκδικηθήσονται, καὶ σπέρμα ἀσεβῶν ἐξολοθρευθήσεται.

Δίκαιοι δὲ κληρονομήσουσι γῆν, καὶ κατασκηνώσουσιν εἰς αἰῶνα αἰῶνος ἐπ' αὐτῆς.

Στόμα δικαίου μελετήσει σοφίαν, καὶ ἡ γλῶσσα αὐτοῦ λαλήσει κρίσιν.

Ὁ νόμος τοῦ θεοῦ αὐτοῦ ἐν καρδίᾳ αὐτοῦ, καὶ οὐχ ὑποσκελισθήσεται τὰ διαβήματα αὐτοῦ.

Κατανοεῖ ὁ ἁμαρτωλὸς τὸν δίκαιον, καὶ ζητεῖ τοῦ θανατῶσαι αὐτόν.

Ὁ δὲ κύριος οὐ μὴ ἐγκαταλίπῃ αὐτὸν εἰς τὰς χεῖρας αὐτοῦ, οὐδὲ μὴ καταδικάσαι αὐτὸν, ὅταν κρίνηται αὐτῷ.

Ὑπόμεινον τὸν κύριον, καὶ φύλαξον τὴν ὁδὸν αὐτοῦ, καὶ ὑψώσει σε τοῦ κατακληρονομῆσαι τὴν γῆν, ἐν τῷ ἐξολοθρεύεσθαι ἁμαρτωλοὺς ὄψει.

Εἶδον τὸν ἀσεβῆ ὑπερυψούμενον, καὶ ἐπαιρόμενον ὡς τὰς κέδρους τοῦ Λιβάνου.

Καὶ παρῆλθον, καὶ ἰδοὺ οὐκ ἦν, καὶ ἐζήτησα αὐτὸν, καὶ οὐχ εὑρέθη ὁ τόπος αὐτοῦ.

Φύλασσε ἀκακίαν καὶ ἴδε εὐθύτητα, ὅτι ἔστιν ἐγκατάλειμμα ἀνθρώπῳ εἰρηνικῷ.

Οἱ δὲ παράνομοι ἐξολοθρευθήσονται ἐπὶ τὸ αὐτὸ, τὰ ἐγκαταλείμματα τῶν ἀσεβῶν ἐξολοθρευθήσονται.

Σωτηρία δὲ τῶν δικαίων παρὰ κυρίου, καὶ ὑπερασπιστὴς αὐτῶν ἐστιν, ἐν καιρῷ θλίψεως.

Καὶ βοηθήσει αὐτοῖς κύριος, καὶ ῥύσεται αὐτοὺς, καὶ ἐξελεῖται αὐτοὺς ἐξ ἁμαρτωλῶν, καὶ σώσει αὐτοὺς, ὅτι ἤλπισαν ἐπ' αὐτόν.

Δόξα.



Ἀνθρώπους καὶ κτήνη σώσεις κύριε, ὡς ἐπλήθυνας τὸ ἔλεός σου ὁ θεός.

Οἱ δὲ υἱοὶ τῶν ἀνθρώπων ἐν σκέπῃ τῶν πτερύγων σου ἐλπιοῦσι.

Μεθυσθήσονται ἀπὸ πιότητος οἴκου σου, καὶ τὸν χειμάῤῥουν τῆς τρυφῆς σου ποτιεῖς αὐτούς.

Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς, ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.

Παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε, καὶ τὴν δικαιοσύνην σου τοῖς εὐθέσι τῇ καρδίᾳ.

Μὴ ἐλθέτω μοι ποὺς ὑπερηφανίας, καὶ χεὶρ ἁμαρτωλῶν μὴ σαλεύσαι με.

Ἐκεῖ ἔπεσον πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν, ἐξώσθησαν καὶ οὐ μὴ δύνωνται στῆναι. Δόξα.

Τῷ δαβίδ. λς΄.

Μὴ παραζήλου ἐν πονηρευομένοις, μηδὲ ζήλου τοὺς ποιοῦντας τὴν ἀνομίαν.

Ὅτι ὡσεὶ χόρτος ταχὺ ἀποξηρανθήσονται, καὶ ὡσεὶ λάχανα χλόης ταχὺ ἀποπεσοῦνται.

Ἔλπισον ἐπὶ κύριον, καὶ ποίει χρηστότητα, καὶ κατασκήνου τὴν γῆν, καὶ ποιμανθήσῃ ἐπὶ τῷ πλούτῳ αὐτῆς.

Κατατρύφησον τοῦ κυρίου, καὶ δώσει σοι τὰ αἰτήματα τῆς καρδίας σου.

Ἀποκάλυψον πρὸς κύριον τὴν ὁδόν σου, καὶ ἔλπισον ἐπ᾽ αὐτόν, καὶ αὐτὸς ποιήσει.

Καὶ ἐξοίσει ὡς φῶς τὴν δικαιοσύνην σου, καὶ τὸ κρίμα σου ὡς μεσημβρίαν. Ὑποτάγηθι τῷ κυρίῳ, καὶ ἱκέτευσον αὐτόν.

Μὴ παραζήλου ἐν τῷ κατευοδουμένῳ ἐν τῇ ὁδῷ αὐτοῦ, ἐν ἀνθρώπῳ ποιοῦντι παρανομίας.

Παῦσαι ἀπὸ ὀργῆς καὶ ἐγκατάλιπε θυμόν, μὴ παραζήλου ὥστε πονηρεύεσθαι.

Ὅτι οἱ πονηρευόμενοι ἐξολοθρευθήσονται, οἱ δὲ ὑπομένοντες τὸν κύριον, αὐτοὶ κληρονομήσουσι τὴν γῆν.

Καὶ ἔτι ὀλίγον καὶ οὐ μὴ ὑπάρξῃ ἁμαρτωλός, καὶ ζητήσεις τὸν τόπον αὐτοῦ, καὶ οὐ μὴ εὕρῃς.

Οἱ δὲ πραεῖς κληρονομήσουσι γῆν, καὶ κατατρυφήσουσιν ἐπὶ πλήθει εἰρήνης.

Παρατηρήσεται ὁ ἁμαρτωλὸς τὸν δίκαιον, καὶ βρύξει ἐπ᾽ αὐτὸν τοὺς ὀδόντας αὐτοῦ.

Ὁ δὲ κύριος ἐκγελάσεται αὐτόν, ὅτι προβλέπει ὅτι ἥξει ἡ ἡμέρα αὐτοῦ.

Ῥομφαίαν ἐσπάσαντο οἱ ἁμαρτωλοί, ἐνέτειναν τόξον αὐτῶν,

Τοῦ καταβαλεῖν πτωχὸν καὶ πένητα, τοῦ σφάξαι τοὺς εὐθεῖς τῇ καρδίᾳ.

Ἡ ῥομφαία αὐτῶν εἰσέλθοι εἰς τὴν καρδίαν αὐτῶν, καὶ τὰ τόξα αὐτῶν συντριβείη.

Κρεῖσσον ὀλίγον τῷ δικαίῳ ὑπὲρ πλοῦτον ἁμαρτωλῶν πολύν.

Ὅτι βραχίονες ἁμαρτωλῶν συντριβήσονται, ὑποστηρίζει δὲ τοὺς δικαίους ὁ κύριος.

Γινώσκει κύριος τὰς ὁδοὺς τῶν ἀμώμων, καὶ ἡ κληρονομία αὐτῶν εἰς τὸν αἰῶνα ἔσται.

Οὐ καταισχυνθήσονται ἐν καιρῷ πονηρῷ, καὶ ἐν ἡμέραις λιμοῦ χορτασθήσονται. ὅτι οἱ ἁμαρτωλοὶ ἀπολοῦνται.

Ἀναστάντες μάρτυρες ἄδικοι, ἃ οὐκ ἐγίνωσκον, ἐπηρώτων με.

Ἀνταπεδίδοσάν μοι πονηρὰ ἀντὶ καλῶν, καὶ ἀτεκνίαν τῇ ψυχῇ μου.

Ἐγὼ δὲ ἐν τῷ αὐτοὺς παρενοχλεῖν μοι, ἐνεδυόμην σάκκον.

Καὶ ἐταπείνουν ἐν νηστείᾳ τὴν ψυχήν μου, καὶ ἡ προσευχή μου εἰς κόλπον μου ἀποστραφήσεται.

Ὡς πλησίον ὡς ἀδελφὸν ἡμέτερον, οὕτως εὐηρέστουν, ὡς πενθῶν καὶ σκυθρωπάζων οὕτως ἐταπεινούμην.

Καὶ κατ' ἐμοῦ εὐφράνθησαν καὶ συνήχθησαν, συνήχθησαν ἐπ' ἐμὲ μάστιγες καὶ οὐκ ἔγνων.

Διεσχίσθησαν καὶ οὐ κατενύγησαν, ἐπείρασάν με, ἐξεμυκτήρισάν με μυκτηρισμὸν, ἔβρυξαν ἐπ' ἐμὲ τοὺς ὀδόντας αὐτῶν.

Κύριε πότε ἐπόψῃ, ἀποκατάστησον τὴν ψυχήν μου ἀπὸ τῆς κακουργίας αὐτῶν, ἀπὸ λεόντων τὴν μονογενῆ μου.

Ἐξομολογήσομαί σοι ἐν ἐκκλησίᾳ πολλῇ, ἐν λαῷ βαρεῖ αἰνέσω σε.

Μὴ ἐπιχαρείησάν μοι οἱ ἐχθραίνοντές μοι ματαίως, οἱ μισοῦντές με δωρεὰν, καὶ διανεύοντες ὀφθαλμοῖς.

Ὅτι ἐμοὶ μὲν εἰρηνικὰ ἐλάλουν, καὶ ἐπ' ὀργῇ δόλους διελογίζοντο.

Καὶ ἐπλάτυναν ἐπ' ἐμὲ τὸ στόμα αὐτῶν, εἶπαν εὖγε εὖγε, εἶδον οἱ ὀφθαλμοὶ ἡμῶν.

Εἶδες κύριε, μὴ παρασιωπήσῃς, κύριε μὴ ἀποστῇς ἀπ' ἐμοῦ.

Ἐξεγέρθητι κύριε, καὶ πρόσχες τῇ κρίσει μου, ὁ θεός μου, καὶ ὁ κύριός μου εἰς τὴν δίκην μου.

Κρῖνόν με κύριε κατὰ τὴν δικαιοσύνην σου κύριε ὁ θεός μου, καὶ μὴ ἐπιχαρείησάν μοι.

Μὴ εἴποισαν ἐν καρδίαις αὐτῶν, εὖγε εὖγε τῇ ψυχῇ ἡμῶν, μὴ δὲ εἴποιεν, κατεπίομεν αὐτόν.

Αἰσχυνθείησαν καὶ ἐντραπείησαν ἅμα οἱ ἐπιχαίροντες τοῖς κακοῖς μου.

Ἐνδυσάσθωσαν αἰσχύνην καὶ ἐντροπὴν οἱ μεγαλορρημονοῦντες ἐπ' ἐμέ.

Ἀγαλλιάσαιντο καὶ εὐφρανθείησαν, οἱ θέλοντες τὴν δικαιοσύνην μου.

Καὶ εἰπάτωσαν διαπαντὸς μεγαλυνθείη ὁ κύριος, οἱ θέλοντες τὴν εἰρήνην τοῦ δούλου αὐτοῦ.

Καὶ ἡ γλῶσσά μου μελετήσει τὴν δικαιοσύνην σου, ὅλην τὴν ἡμέραν τὸν ἔπαινόν σου.

Εἰς τὸ τέλος τῷ δούλῳ κυρίου τῷ Δαβίδ. λε'.

Φησὶν ὁ παράνομος τοῦ ἁμαρτάνειν ἐν ἑαυτῷ, οὐκ ἔστι φόβος θεοῦ ἀπέναντι τῶν ὀφθαλμῶν αὐτοῦ.

Ὅτι ἐδόλωσεν ἐνώπιον αὐτοῦ, τοῦ εὑρεῖν τὴν ἀνομίαν αὐτοῦ καὶ μισῆσαι.

Τὰ ῥήματα τοῦ στόματος αὐτοῦ ἀνομία καὶ δόλος, οὐκ ἠβουλήθη συνιέναι τοῦ ἀγαθῦναι.

Ἀνομίαν ἐλογίσατο ἐπὶ τῆς κοίτης αὐτοῦ, παρέστη πάσῃ ὁδῷ οὐκ ἀγαθῇ, τῇ δὲ κακίᾳ οὐ προσώχθισε.

Κύριε ἐν τῷ οὐρανῷ τὸ ἔλεός σου, καὶ ἡ ἀλήθειά σου ἕως τῶν νεφελῶν.

Ἡ δικαιοσύνη σου ὡς ὄρη θεοῦ, τὰ κρίματά σου ὡσεὶ ἄβυσσος πολλή.

ξει ἐπ' αὐτόν.

Φοβήθητε τὸν κύριον πάντες οἱ ἅγιοι αὐτοῦ, ὅτι οὐκ ἔστιν ὑστέρημα τοῖς φοβουμένοις αὐτόν.

Πλούσιοι ἐπτώχευσαν καὶ ἐπείνασαν, οἱ δὲ ἐκζητοῦντες τὸν κύριον οὐκ ἐλαττωθήσονται παντὸς ἀγαθοῦ.

Δεῦτε τέκνα ἀκούσατέ μου, φόβον κυρίου διδάξω ὑμᾶς.

Τίς ἐστιν ἄνθρωπος ὁ θέλων ζωὴν, ἀγαπῶν ἡμέρας ἰδεῖν ἀγαθάς;

Παῦσον τὴν γλῶσσάν σου ἀπὸ κακοῦ, καὶ χείλη σου τοῦ μὴ λαλῆσαι δόλον.

Ἔκκλινον ἀπὸ κακοῦ, καὶ ποίησον ἀγαθόν, ζήτησον εἰρήνην, καὶ δίωξον αὐτήν.

Ὀφθαλμοὶ κυρίου ἐπὶ δικαίους, καὶ ὦτα αὐτοῦ εἰς δέησιν αὐτῶν.

Πρόσωπον δὲ κυρίου ἐπὶ ποιοῦντας κακὰ, τοῦ ἐξολοθρεῦσαι ἐκ γῆς τὸ μνημόσυνον αὐτῶν.

Ἐκέκραξαν οἱ δίκαιοι, καὶ ὁ κύριος εἰσήκουσεν αὐτῶν, καὶ ἐκ πασῶν τῶν θλίψεων αὐτῶν ἐρρύσατο αὐτούς.

Ἐγγὺς κύριος τοῖς συντετριμμένοις τὴν καρδίαν, καὶ τοὺς ταπεινοὺς τῷ πνεύματι σώσει.

Πολλαὶ αἱ θλίψεις τῶν δικαίων, καὶ ἐκ πασῶν αὐτῶν ῥύσεται αὐτοὺς ὁ κύριος.

Φυλάσσει πάντα τὰ ὀστᾶ αὐτῶν, ἓν ἐξ αὐτῶν οὐ συντριβήσεται.

Θάνατος ἁμαρτωλῶν πονηρὸς, καὶ οἱ μισοῦντες τὸν δίκαιον πλημμελήσουσι.

Λυτρώσεται κύριος ψυχὰς δούλων αὐτοῦ, καὶ οὐ μὴ πλημμελήσουσι πάντες οἱ ἐλπίζοντες ἐπ' αὐτόν.

Δόξα.

Ψαλμὸς τῷ δαβίδ. λδ'.

Δίκασον κύριε τοὺς ἀδικοῦντάς με, πολέμησον τοὺς πολεμοῦντάς με.

Ἐπιλαβοῦ ὅπλου καὶ θυρεοῦ, καὶ ἀνάστηθι εἰς βοήθειάν μοι.

Ἔκχεον ῥομφαίαν, καὶ σύγκλεισον ἐξεναντίας τῶν καταδιωκόντων με, εἰπὸν τῇ ψυχῇ μου, σωτηρία σου ἐγώ εἰμι.

Αἰσχυνθείησαν καὶ ἐντραπείησαν οἱ ζητοῦντες τὴν ψυχήν μου,

Ἀποστραφείησαν εἰς τὰ ὀπίσω, καὶ καταισχυνθείησαν οἱ λογιζόμενοί μοι κακά.

Γενηθήτωσαν ὡσεὶ χνοῦς κατὰ πρόσωπον ἀνέμου, καὶ ἄγγελος κυρίου ἐκθλίβων αὐτούς.

Γενηθήτω ἡ ὁδὸς αὐτῶν σκότος καὶ ὀλίσθημα, καὶ ἄγγελος κυρίου καταδιώκων αὐτούς.

Ὅτι δωρεὰν ἔκρυψάν μοι διαφθορὰν παγίδος αὐτῶν, μάτην ὠνείδισαν τὴν ψυχήν μου.

Ἐλθέτω αὐτοῖς παγὶς ἣν οὐ γινώσκουσι, καὶ ἡ θήρα ἣν ἔκρυψαν, συλλαβέτω αὐτούς, καὶ ἐν τῇ παγίδι πεσοῦνται ἐν αὐτῇ.

Ἡ δὲ ψυχή μου ἀγαλλιάσεται ἐπὶ τῷ κυρίῳ, τερφθήσεται ἐπὶ τῷ σωτηρίῳ αὐτοῦ.

Πάντα τὰ ὀστᾶ μου ἐροῦσι, κύριε τίς ὅμοιός σοι;

Ῥυόμενος πτωχὸν ἐκ χειρὸς στερεωτέρων αὐτοῦ, καὶ πτωχὸν καὶ πένητα ἀπὸ τῶν διαρπαζόντων αὐτόν.

θησαν, καὶ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν.

Συνάγων ὡσεὶ ἀσκὸν ὕδατα θαλάσσης, τιθεὶς ἐν θησαυροῖς ἀβύσσους.

Φοβηθήτω τὸν κύριον πᾶσα ἡ γῆ, ἀπ' αὐτοῦ δὲ σαλευθήτωσαν πάντες οἱ κατοικοῦντες τὴν οἰκουμένην.

Ὅτι αὐτὸς εἶπε καὶ ἐγενήθησαν, αὐτὸς ἐνετείλατο καὶ ἐκτίσθησαν.

Κύριος διασκεδάζει βουλὰς ἐθνῶν, ἀθετεῖ δὲ λογισμοὺς λαῶν, καὶ ἀθετεῖ βουλὰς ἀρχόντων.

Ἡ δὲ βουλὴ τοῦ κυρίου εἰς τὸν αἰῶνα μένει, λογισμοὶ τῆς καρδίας αὐτοῦ ἀπὸ γενεῶν εἰς γενεάς.

Μακάριον τὸ ἔθνος οὗ ἐστι κύριος ὁ θεὸς αὐτοῦ, λαὸς ὃν ἐξελέξατο εἰς κληρονομίαν ἑαυτῷ.

Ἐξ οὐρανοῦ ἐπέβλεψεν ὁ κύριος, εἶδε πάντας τοὺς υἱοὺς τῶν ἀνθρώπων,

Ἐξ ἑτοίμου κατοικητηρίου αὐτοῦ ἐπέβλεψεν ἐπὶ πάντας τοὺς κατοικοῦντας τὴν γῆν.

Ὁ πλάσας κατὰ μόνας τὰς καρδίας αὐτῶν, ὁ συνιεὶς πάντα τὰ ἔργα αὐτῶν.

Οὐ σώζεται βασιλεὺς διὰ πολλὴν δύναμιν, καὶ γίγας οὐ σωθήσεται ἐν πλήθει ἰσχύος αὐτοῦ.

Ψευδὴς ἵππος εἰς σωτηρίαν, ἐν δὲ πλήθει δυνάμεως αὐτοῦ οὐ σωθήσεται.

Ἰδοὺ οἱ ὀφθαλμοὶ κυρίου ἐπὶ τοὺς φοβουμένους αὐτόν, τοὺς ἐλπίζοντας ἐπὶ τὸ ἔλεος αὐτοῦ.

Ῥύσασθαι ἐκ θανάτου τὰς ψυχὰς αὐτῶν, καὶ διαθρέψαι αὐτοὺς ἐν λιμῷ.

Ἡ ψυχὴ ἡμῶν ὑπομένει τῷ κυρίῳ, ὅτι βοηθὸς καὶ ὑπερασπιστὴς ἡμῶν ἐστιν.

Ὅτι ἐν αὐτῷ εὐφρανθήσεται ἡ καρδία ἡμῶν, καὶ ἐν τῷ ὀνόματι τῷ ἁγίῳ αὐτοῦ ἠλπίσαμεν.

Γένοιτο κύριε τὸ ἔλεός σου ἐφ' ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.

Τῷ Δαβίδ, ὁπότε ἠλλοίωσε τὸ πρόσωπον αὐτοῦ ἐναντίον Ἀβιμέλεχ, καὶ ἀπέλυσεν αὐτόν, καὶ ἀπῆλθεν. λγ.

Εὐλογήσω τὸν κύριον ἐν παντὶ καιρῷ, διαπαντὸς ἡ αἴνεσις αὐτοῦ ἐν τῷ στόματί μου,

Ἐν τῷ κυρίῳ ἐπαινεθήσεται ἡ ψυχή μου, ἀκουσάτωσαν πραεῖς καὶ εὐφρανθήτωσαν.

Μεγαλύνατε τὸν κύριον σὺν ἐμοί, καὶ ὑψώσωμεν τὸ ὄνομα αὐτοῦ ἐπὶ τὸ αὐτό.

Ἐξεζήτησα τὸν κύριον, καὶ ἐπήκουσέ μου, καὶ ἐκ πασῶν τῶν παροικιῶν μου ἐρρύσατό με.

Προσέλθετε πρὸς αὐτὸν καὶ φωτίσθητε, καὶ τὰ πρόσωπα ὑμῶν οὐ μὴ καταισχυνθῇ.

Οὗτος ὁ πτωχὸς ἐκέκραξε, καὶ ὁ κύριος εἰσήκουσεν αὐτοῦ, καὶ ἐκ πασῶν τῶν θλίψεων αὐτοῦ ἔσωσεν αὐτόν.

Παρεμβαλεῖ ἄγγελος κυρίου κύκλῳ τῶν φοβουμένων αὐτόν, καὶ ῥύσεται αὐτούς.

Γεύσασθε καὶ ἴδετε ὅτι χρηστὸς ὁ κύριος, μακάριος ἀνὴρ ὃς ἐλπί-

ζει

Ἐγὼ δὲ εἶπα ἐν τῇ ἐκστάσει μου ἀπέρριμμαι ἀπὸ προσώπου τῶν ὀφθαλμῶν σου.

Διὰ τοῦτο εἰσήκουσας κύριε τῆς φωνῆς τῆς δεήσεώς μου ἐν τῷ κεκραγέναι με πρὸς σέ.

Ἀγαπήσατε τὸν κύριον πάντες οἱ ὅσιοι αὐτοῦ, ὅτι ἀληθείας ἐκζητεῖ κύριος, καὶ ἀνταποδίδωσι τοῖς περισσῶς ποιοῦσιν ὑπερηφανίαν.

Ἀνδρίζεσθε, καὶ κραταιούσθω ἡ καρδία ὑμῶν πάντες οἱ ἐλπίζοντες ἐπὶ κύριον.

Συνέσεως τῷ Δαβίδ. λα'.

Μακάριοι ὧν ἀφέθησαν αἱ ἀνομίαι, καὶ ὧν ἐπεκαλύφθησαν αἱ ἁμαρτίαι.

Μακάριος ἀνὴρ ᾧ οὐ μὴ λογίσηται κύριος ἁμαρτίαν, οὐδέ ἐστιν ἐν τῷ στόματι αὐτοῦ δόλος.

Ὅτι ἐσίγησα, ἐπαλαιώθη τὰ ὀστᾶ μου, ἀπὸ τοῦ κράζειν με ὅλην τὴν ἡμέραν.

Ὅτι ἡμέρας καὶ νυκτὸς, ἐβαρύνθη ἐπ' ἐμὲ ἡ χείρ σου, ἐστράφην εἰς ταλαιπωρίαν ἐν τῷ ἐμπαγῆναι ἄκανθα.

Τὴν ἁμαρτίαν μου ἐγνώρισα, καὶ τὴν ἀνομίαν μου οὐκ ἐκάλυψα.

Εἶπα, ἐξαγορεύσω κατ' ἐμοῦ τὴν ἀνομίαν μου τῷ κυρίῳ, καὶ σὺ ἀφῆκας τὴν ἀσέβειαν τῆς καρδίας μου.

Ὑπὲρ ταύτης προσεύξεται πρὸς σὲ πᾶς ὅσιος ἐν καιρῷ εὐθέτῳ.

Πλὴν ἐν κατακλυσμῷ ὑδάτων πολλῶν πρὸς αὐτὸν οὐκ ἐγγιοῦσι.

Σύ μου εἶ καταφυγὴ ἀπὸ θλίψεως τῆς περιεχούσης με, τὸ ἀγαλλίαμά μου λύτρωσαί με ἀπὸ τῶν κυκλωσάντων με.

Συνετιῶ σε καὶ συμβιβῶ σε, ἐν ὁδῷ ταύτῃ ᾗ πορεύσῃ, ἐπιστηριῶ ἐπὶ σὲ τοὺς ὀφθαλμούς μου.


Μὴ γίνεσθε ὡς ἵππος καὶ ἡμίονος, οἷς οὐκ ἔστι σύνεσις.

Ἐν χαλινῷ καὶ κημῷ τὰς σιαγόνας αὐτῶν ἄγξαι τῶν μὴ ἐγγιζόντων πρὸς σέ.

Πολλαὶ αἱ μάστιγες τοῦ ἁμαρτωλοῦ, τὸν δὲ ἐλπίζοντα ἐπὶ κύριον ἔλεος κυκλώσει.

Εὐφράνθητε ἐπὶ κύριον καὶ ἀγαλλιᾶσθε δίκαιοι, καὶ καυχᾶσθε πάντες οἱ εὐθεῖς τῇ καρδίᾳ.

Δόξα.



ΚΑΘΙΣΜΑ. δ'

Τῷ Δαβίδ. λβ'.

Ἀγαλλιᾶσθε δίκαιοι ἐν τῷ κυρίῳ, τοῖς εὐθέσι πρέπει αἴνεσις.

Ἐξομολογεῖσθε τῷ κυρίῳ ἐν κιθάρᾳ, ἐν ψαλτηρίῳ δεκαχόρδῳ ψάλατε αὐτῷ.

Ἄσατε αὐτῷ ᾆσμα καινὸν, καλῶς ψάλατε ἐν ἀλαλαγμῷ.

Ὅτι εὐθὺς ὁ λόγος τοῦ κυρίου, καὶ πάντα τὰ ἔργα αὐτοῦ ἐν πίστει.

Ἀγαπᾷ ἐλεημοσύνην καὶ κρίσιν, τοῦ ἐλέους κυρίου πλήρης ἡ γῆ.

Τῷ λόγῳ κυρίου οἱ οὐρανοὶ ἐστερεώ-

Εἰς τὸ τέλος ψαλμὸς τῷ δαβὶδ ἐκστάσεως. λ.

Ἐπὶ σοὶ κύριε ἤλπισα, μὴ καταισχυνθείην εἰς τὸν αἰῶνα, ἐν τῇ δικαιοσύνῃ σου ῥῦσαί με καὶ ἐξελοῦ με.

Κλῖνον πρός με τὸ οὖς σου, τάχυνον τοῦ ἐξελέσθαι με.

Γενοῦ μοι εἰς θεὸν ὑπερασπιστήν, καὶ εἰς οἶκον καταφυγῆς τοῦ σῶσαί με.

Ὅτι κραταίωμά μου καὶ καταφυγή μου εἶ σύ, καὶ ἕνεκεν τοῦ ὀνόματός σου ὁδηγήσεις με, καὶ διαθρέψεις με.

Ἐξάξεις με ἐκ παγίδος ταύτης ἧς ἔκρυψάν μοι, ὅτι σὺ εἶ ὁ ὑπερασπιστής μου κύριε. εἰς χεῖράς σου παραθήσομαι τὸ πνεῦμά μου,

Ἐλυτρώσω με κύριε ὁ θεὸς τῆς ἀληθείας.

Ἐμίσησας τοὺς διαφυλάσσοντας ματαιότητας διακενῆς.

Ἐγὼ δὲ ἐπὶ τῷ κυρίῳ ἤλπισα, ἀγαλλιάσομαι καὶ εὐφρανθήσομαι ἐπὶ τῷ ἐλέει σου.

Ὅτι ἐπεῖδες τὴν ταπείνωσίν μου, ἔσωσας ἐκ τῶν ἀναγκῶν τὴν ψυχήν μου.

Καὶ οὐ συνέκλεισάς με εἰς χεῖρας ἐχθροῦ, ἔστησας ἐν εὐρυχώρῳ τοὺς πόδας μου.

Ἐλέησόν με κύριε, ὅτι θλίβομαι. ἐταράχθη ἐν θυμῷ ὁ ὀφθαλμός μου, ἡ ψυχή μου καὶ ἡ γαστήρ μου.

Ὅτι ἐξέλιπεν ἐν ὀδύνῃ ἡ ζωή μου, καὶ τὰ ἔτη μου ἐν στεναγμοῖς.

Ἠσθένησεν ἐν πτωχείᾳ ἡ ἰσχύς μου, καὶ τὰ ὀστᾶ μου ἐταράχθησαν.

Παρὰ πάντας τοὺς ἐχθρούς μου ἐγενήθην ὄνειδος, καὶ τοῖς γείτοσί μου σφόδρα, καὶ φόβος τοῖς γνωστοῖς μου.

Οἱ θεωροῦντές με ἔξω ἔφυγον ἀπ' ἐμοῦ, ἐπελήσθην ὡσεὶ νεκρὸς ἀπὸ καρδίας.

Ἐγενήθην ὡσεὶ σκεῦος ἀπολωλός, ὅτι ἤκουσα ψόγον πολλῶν παροικούντων κυκλόθεν.

Ἐν τῷ συναχθῆναι αὐτοὺς ἅμα ἐπ' ἐμέ, τοῦ λαβεῖν τὴν ψυχήν μου ἐβουλεύσαντο.

Ἐγὼ δὲ ἐπὶ σοὶ ἤλπισα κύριε, εἶπα, σὺ εἶ ὁ θεός μου, ἐν ταῖς χερσί σου οἱ κλῆροί μου.

Ῥῦσαί με ἐκ χειρὸς ἐχθρῶν μου, καὶ ἐκ τῶν καταδιωκόντων με.

Ἐπίφανον τὸ πρόσωπόν σου ἐπὶ τὸν δοῦλόν σου, σῶσόν με ἐν τῷ ἐλέει σου, κύριε μὴ καταισχυνθείην, ὅτι ἐπεκαλεσάμην σε.

Αἰσχυνθείησαν οἱ ἀσεβεῖς, καὶ καταχθείησαν εἰς ᾅδου.

Ἄλαλα γενηθήτω τὰ χείλη τὰ δόλια, τὰ λαλοῦντα κατὰ τοῦ δικαίου ἀνομίαν ἐν ὑπερηφανίᾳ καὶ ἐξουδενώσει.

Ὡς πολὺ τὸ πλῆθος τῆς χρηστότητός σου κύριε, ἧς ἔκρυψας τοῖς φοβουμένοις σε.

Ἐξειργάσω τοῖς ἐλπίζουσιν ἐπὶ σέ, ἐναντίον τῶν υἱῶν τῶν ἀνθρώπων.

Κατακρύψεις αὐτοὺς ἐν ἀποκρύφῳ τοῦ προσώπου σου, ἀπὸ ταραχῆς ἀνθρώπων.

Σκεπάσεις αὐτοὺς ἐν σκηνῇ ἀπὸ ἀντιλογίας γλωσσῶν.

Εὐλογητὸς κύριος, ὅτι ἐθαυμάστωσε τὸ ἔλεος αὐτοῦ ἐν πόλει περιοχῆς.

Ἐγὼ

Σῶσον τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου, καὶ ποίμανον αὐτοὺς, καὶ ἔπαρον αὐτοὺς ἕως τοῦ αἰῶνος.

Ψαλμὸς τῷ δαβὶδ, ἐξοδίου σκηνῆς. κη.

ΕΝέγκατε τῷ κυρίῳ υἱοὶ θεοῦ ἐνέγκατε τῷ κυρίῳ υἱοὺς κριῶν.
Ἐνέγκατε τῷ κυρίῳ δόξαν καὶ τιμὴν, ἐνέγκατε τῷ κυρίῳ δόξαν ὀνόματι αὐτοῦ, προσκυνήσατε τῷ κυρίῳ ἐν αὐλῇ ἁγίᾳ αὐτοῦ.
Φωνὴ κυρίου ἐπὶ τῶν ὑδάτων, ὁ θεὸς τῆς δόξης ἐβρόντησε, κύριος ἐπὶ ὑδάτων πολλῶν.
Φωνὴ κυρίου ἐν ἰσχύϊ, φωνὴ κυρίου ἐν μεγαλοπρεπείᾳ.
Φωνὴ κυρίου συντρίβοντος κέδρους, συντρίψει κύριος τὰς κέδρους τοῦ Λιβάνου.
Καὶ λεπτυνεῖ αὐτὰς ὡς τὸν μόσχον τὸν Λίβανον, καὶ ὁ ἠγαπημένος ὡς υἱὸς μονοκερώτων.
Φωνὴ κυρίου διακόπτοντος φλόγα πυρός.
Φωνὴ κυρίου συσσείοντος ἔρημον, συσσείσει κύριος τὴν ἔρημον κάδης.
Φωνὴ κυρίου καταρτιζομένου ἐλάφους· καὶ ἀποκαλύψει δρυμοὺς, καὶ ἐν τῷ ναῷ αὐτοῦ πᾶς τις λέγει δόξαν.
Κύριος τὸν κατακλυσμὸν κατοικιεῖ, καὶ καθιεῖται κύριος βασιλεὺς εἰς τὸν αἰῶνα.
Κύριος ἰσχὺν τῷ λαῷ αὐτοῦ δώσει, κύριος εὐλογήσει τὸν λαὸν αὐτοῦ ἐν εἰρήνῃ.

Εἰς τὸ τέλος ψαλμὸς ᾠδῆς τοῦ ἐγκαινισμοῦ τοῦ οἴκου τοῦ δαβίδ. κθ.

ὙΨώσω σε κύριε, ὅτι ὑπέλαβές με, καὶ οὐκ εὔφρανας τοὺς ἐχθρούς μου ἐπ' ἐμέ.
Κύριε ὁ θεός μου ἐκέκραξα πρὸς σὲ, καὶ ἰάσω με.
Κύριε ἀνήγαγες ἐξ ᾅδου τὴν ψυχήν μου, ἔσωσάς με ἀπὸ τῶν καταβαινόντων εἰς λάκκον.
Ψάλατε τῷ κυρίῳ οἱ ὅσιοι αὐτοῦ, καὶ ἐξομολογεῖσθε τῇ μνήμῃ τῆς ἁγιωσύνης αὐτοῦ.
Ὅτι ὀργὴ ἐν τῷ θυμῷ αὐτοῦ, καὶ ζωὴ ἐν τῷ θελήματι αὐτοῦ.
Τὸ ἑσπέρας αὐλισθήσεται κλαυθμὸς, καὶ εἰς τὸ πρωῒ ἀγαλλίασις.
Ἐγὼ δὲ εἶπα ἐν τῇ εὐθηνίᾳ μου, οὐ μὴ σαλευθῶ εἰς τὸν αἰῶνα.
Κύριε ἐν τῷ θελήματί σου παρέσχου τῷ κάλλει μου δύναμιν.
Ἀπέστρεψας δὲ τὸ πρόσωπόν σου, καὶ ἐγενήθην τεταραγμένος.
Πρὸς σὲ κύριε κεκράξομαι, καὶ πρὸς τὸν θεόν μου δεηθήσομαι.
Τίς ὠφέλεια ἐν τῷ αἵματί μου, ἐν τῷ καταβῆναί με εἰς διαφθοράν;
Μὴ ἐξομολογήσεταί σοι χοῦς; ἢ ἀναγγελεῖ τὴν ἀλήθειάν σου;
Ἤκουσε κύριος, καὶ ἠλέησέ με, κύριος ἐγενήθη βοηθός μου.
Ἔστρεψας τὸν κοπετόν μου εἰς χαρὰν ἐμοὶ, διέρρηξας τὸν σάκκον μου, καὶ περιέζωσάς με εὐφροσύνην.
Ὅπως ἂν ψάλῃ σοι ἡ δόξα μου, καὶ οὐ μὴ κατανυγῶ,
κύριε ὁ θεός μου εἰς τὸν αἰῶνα ἐξομολογήσομαί σοι. Δόξα.

Μίαν ᾐτησάμην παρὰ κυρίου, ταύτην ἐκζητήσω, τοῦ κατοικεῖν με ἐν οἴκῳ κυρίου πάσας τὰς ἡμέρας τῆς ζωῆς μου.

Τοῦ θεωρεῖν με τὴν τερπνότητα κυρίου, καὶ ἐπισκέπτεσθαι τὸν ναὸν αὐτοῦ.

Ὅτι ἔκρυψέ με ἐν σκηνῇ αὐτοῦ ἐν ἡμέρᾳ κακῶν μου, ἐσκέπασέ με ἐν ἀποκρύφῳ τῆς σκηνῆς αὐτοῦ.

Ἐν πέτρᾳ ὕψωσέ με, καὶ νῦν ἰδοὺ ὕψωσε τὴν κεφαλήν μου ἐπ' ἐχθρούς μου.

Ἐκύκλωσα καὶ ἔθυσα ἐν τῇ σκηνῇ αὐτοῦ θυσίαν ἀλαλαγμοῦ, ᾄσομαι καὶ ψαλῶ τῷ κυρίῳ.

Εἰσάκουσον κύριε τῆς φωνῆς μου ἧς ἐκέκραξα, ἐλέησόν με, καὶ εἰσάκουσόν μου.

Σοὶ εἶπεν ἡ καρδία μου, ἐξεζήτησα τὸ πρόσωπόν σου, τὸ πρόσωπόν σου κύριε ζητήσω.

Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ, μὴ ἐκκλίνῃς ἐν ὀργῇ ἀπὸ τοῦ δούλου σου.

Βοηθός μου γενοῦ, μὴ ἐγκαταλίπῃς με, καὶ μὴ ὑπερίδῃς με ὁ θεὸς ὁ σωτήρ μου.

Ὅτι ὁ πατήρ μου καὶ ἡ μήτηρ μου ἐγκατέλιπόν με, ὁ δὲ κύριος προσελάβετό με.

Νομοθέτησόν με κύριε ἐν τῇ ὁδῷ σου, καὶ ὁδήγησόν με ἐν τρίβῳ εὐθείᾳ ἕνεκα τῶν ἐχθρῶν μου.

Μὴ παραδῷς με εἰς ψυχὰς θλιβόντων με, ὅτι ἐπανέστησάν μοι μάρτυρες ἄδικοι, καὶ ἐψεύσατο ἡ ἀδικία ἑαυτῇ.

Πιστεύω τοῦ ἰδεῖν τὰ ἀγαθὰ κυρίου, ἐν γῇ ζώντων.

Ὑπόμεινον τὸν κύριον, ἀνδρίζου καὶ κραταιούσθω ἡ καρδία σου, καὶ ὑπόμεινον τὸν κύριον.

Τοῦ δαβίδ. κζ'.

Πρὸς σὲ κύριε ἐκέκραξα, ὁ θεός μου μὴ παρασιωπήσῃς ἐπ' ἐμοί, μή ποτε παρασιωπήσῃς ἀπ' ἐμοί, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον.

Εἰσάκουσον τῆς φωνῆς τῆς δεήσεώς μου, ἐν τῷ δέεσθαί με πρὸς σέ, ἐν τῷ αἴρειν με χεῖράς μου εἰς ναὸν ἅγιόν σου.

Μὴ συνελκύσῃς με μετὰ ἁμαρτωλῶν τὴν ψυχήν μου, καὶ μετὰ ἐργαζομένων ἀδικίαν μὴ συναπολέσῃς με.

Τῶν λαλούντων εἰρήνην μετὰ τῶν πλησίον αὐτῶν, κακὰ δὲ ἐν ταῖς καρδίαις αὐτῶν.

Δὸς αὐτοῖς κατὰ τὰ ἔργα αὐτῶν, καὶ κατὰ τὴν πονηρείαν τῶν ἐπιτηδευμάτων αὐτῶν.

Κατὰ τὰ ἔργα τῶν χειρῶν αὐτῶν δὸς αὐτοῖς, ἀπόδος τὸ ἀνταπόδομα αὐτῶν αὐτοῖς.

Ὅτι οὐ συνῆκαν εἰς τὰ ἔργα κυρίου καὶ εἰς τὰ ἔργα τῶν χειρῶν αὐτοῦ, καθελεῖς αὐτοὺς καὶ οὐ μὴ οἰκοδομήσεις αὐτούς.

Εὐλογητὸς κύριος, ὅτι εἰσήκουσε τῆς φωνῆς τῆς δεήσεώς μου.

Κύριος βοηθός μου καὶ ὑπερασπιστής μου, ἐπ' αὐτῷ ἤλπισεν ἡ καρδία μου, καὶ ἐβοηθήθην.

Καὶ ἀνέθαλεν ἡ σάρξ μου, καὶ ἐκ θελήματός μου ἐξομολογήσομαι αὐτῷ.

Κύριος κραταίωμα τοῦ λαοῦ αὐτοῦ, καὶ ὑπερασπιστὴς τῶν σωτηρίων τοῦ χριστοῦ αὐτοῦ ἐστι.

Σῶσον

αὐτοῦ καὶ τὰ μαρτύρια αὐτοῦ.

Ε νεκα τοῦ ὀνόματός σου κύριε, καὶ ἱλάσῃ τῇ ἁμαρτίᾳ μου, πολλὴ γάρ ἐστι.

Τ ίς ἐστιν ἄνθρωπος ὁ φοβούμενος τὸν κύριον; νομοθετήσει αὐτῷ ἐν ὁδῷ ᾗ ᾑρετίσατο.

Η ψυχὴ αὐτοῦ ἐν ἀγαθοῖς αὐλισθήσεται, καὶ τὸ σπέρμα αὐτοῦ κληρονομήσει γῆν.

Κ ραταίωμα κύριος τῶν φοβουμένων αὐτὸν, καὶ ἡ διαθήκη αὐτοῦ τοῦ δηλῶσαι αὐτοῖς.

Ο ἱ ὀφθαλμοί μου διαπαντὸς πρὸς τὸν κύριον, ὅτι αὐτὸς ἐκσπάσει ἐκ παγίδος τοὺς πόδας μου.

Ε πίβλεψον ἐπ' ἐμὲ καὶ ἐλέησόν με, ὅτι μονογενὴς καὶ πτωχὸς εἰμὶ ἐγώ.

Α ἱ θλίψεις τῆς καρδίας μου ἐπληθύνθησαν, ἐκ τῶν ἀναγκῶν μου ἐξάγαγέ με.

Ι δε τὴν ταπείνωσίν μου καὶ τὸν κόπον μου, καὶ ἄφες πάσας τὰς ἁμαρτίας μου.

Ι δε τοὺς ἐχθρούς μου, ὅτι ἐπληθύνθησαν, καὶ μῖσος ἄδικον ἐμίσησάν με.

Φ ύλαξον τὴν ψυχήν μου καὶ ῥῦσαί με, μὴ καταισχυνθείην, ὅτι ἤλπισα ἐπὶ σέ.

Α κακοι καὶ εὐθεῖς ἐκολλῶντό μοι, ὅτι ὑπέμεινά σε κύριε.

Λ ύτρωσαι ὁ θεὸς τὸν Ισραὴλ, ἐκ πασῶν τῶν θλίψεων αὐτοῦ.

Τοῦ δαβίδ. κε'.

Κ Ρῖνόν με κύριε, ὅτι ἐγὼ ἐν ἀκακίᾳ μου ἐπορεύθην, καὶ ἐπὶ τῷ κυρίῳ ἐλπίζων οὐ μὴ σαλευθῶ.

Δ οκίμασόν με κύριε καὶ πείρασόν με, πύρωσον τοὺς νεφρούς μου καὶ τὴν καρδίαν μου.

Ο τι τὸ ἔλεός σου κατέναντι τῶν ὀφθαλμῶν μου ἐστὶ, καὶ εὐηρέστησα ἐν τῇ ἀληθείᾳ σου.

Ο ὐκ ἐκάθισα μετὰ συνεδρίου ματαιότητος, καὶ μετὰ παρανομούντων οὐ μὴ εἰσέλθω.

Ε μίσησα ἐκκλησίαν πονηρευομένων, καὶ μετὰ ἀσεβῶν οὐ μὴ καθίσω.

Ν ίψομαι ἐν ἀθώοις τὰς χεῖράς μου, καὶ κυκλώσω τὸ θυσιαστήριόν σου κύριε.

Τ οῦ ἀκοῦσαι φωνῆς αἰνέσεως, καὶ διηγήσασθαι πάντα τὰ θαυμάσιά σου.

Κ ύριε ἠγάπησα εὐπρέπειαν οἴκου σου, καὶ τόπον σκηνώματος δόξης σου.

Μ ὴ συναπολέσῃς μετὰ ἀσεβῶν τὴν ψυχήν μου, καὶ μετὰ ἀνδρῶν αἱμάτων τὴν ζωήν μου.

Ω ν ἐν χερσὶν ἀνομίαι, ἡ δεξιὰ αὐτῶν ἐπλήσθη δώρων.

Ε γὼ δὲ ἐν ἀκακίᾳ μου ἐπορεύθην, λύτρωσαί με καὶ ἐλέησόν με.

Ο πούς μου ἔστη ἐν εὐθύτητι, ἐν ἐκκλησίαις εὐλογήσω σε κύριε.

Τοῦ δαβίδ, πρὸ τοῦ χρισθῆναι. κϛ'.

Κ Ύριος φωτισμός μου καὶ σωτήρ μου, τίνα φοβηθήσομαι;

Κ ύριος ὑπερασπιστὴς τῆς ζωῆς μου, ἀπὸ τίνος δειλιάσω;

Ε ν τῷ ἐγγίζειν ἐπ' ἐμὲ κακοῦντας, τοῦ φαγεῖν τὰς σάρκας μου.

Ο ἱ θλίβοντές με καὶ οἱ ἐχθροί μου, αὐτοὶ ἠσθένησαν καὶ ἔπεσαν.

Ε ὰν παρατάξηται ἐπ' ἐμὲ παρεμβολὴ, οὐ φοβηθήσεται ἡ καρδία μου.

Ε ὰν ἐπαναστῇ ἐπ' ἐμὲ πόλεμος, ἐν ταύτῃ ἐγὼ ἐλπίζω.

νης, ἕνεκεν τοῦ ὀνόματος αὐτοῦ.

Ἐὰν γὰρ καὶ πορευθῶ ἐν μέσῳ σκιᾶς θανάτου, οὐ φοβηθήσομαι κακά, ὅτι σὺ μετ' ἐμοῦ εἶ.

Ἡ ῥάβδος σου καὶ ἡ βακτηρία σου, αὗταί με παρεκάλεσαν.

Ἡτοίμασας ἐνώπιόν μου τράπεζαν, ἐξεναντίας τῶν θλιβόντων με.

Ἐλίπανας ἐν ἐλαίῳ τὴν κεφαλήν μου, καὶ τὸ ποτήριόν σου μεθύσκον ὡς κράτιστον.

Καὶ τὸ ἔλεός σου καταδιώξεταί με πάσας τὰς ἡμέρας τῆς ζωῆς μου.

Καὶ τὸ κατοικεῖν με ἐν οἴκῳ κυρίου εἰς μακρότητα ἡμερῶν.

Ψαλμὸς τῷ Δαβὶδ τῆς μιᾶς σαββάτου. κγ'.

Τοῦ κυρίου ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς, ἡ οἰκουμένη, καὶ πάντες οἱ κατοικοῦντες ἐν αὐτῇ.

Αὐτὸς ἐπὶ θαλασσῶν ἐθεμελίωσεν αὐτήν, καὶ ἐπὶ ποταμῶν ἡτοίμασεν αὐτήν.

Τίς ἀναβήσεται εἰς τὸ ὄρος τοῦ κυρίου, καὶ τίς στήσεται ἐν τόπῳ ἁγίῳ αὐτοῦ;

Ἀθῶος χερσὶ καὶ καθαρὸς τῇ καρδίᾳ, ὃς οὐκ ἔλαβεν ἐπὶ ματαίῳ τὴν ψυχὴν αὐτοῦ, καὶ οὐκ ὤμοσεν ἐπὶ δόλῳ τῷ πλησίον αὐτοῦ.

Οὗτος λήψεται εὐλογίαν παρὰ κυρίου, καὶ ἐλεημοσύνην παρὰ θεοῦ σωτῆρος αὐτοῦ.

Αὕτη ἡ γενεὰ ζητούντων αὐτόν, ζητούντων τὸ πρόσωπον τοῦ θεοῦ Ἰακώβ.

Ἄρατε πύλας οἱ ἄρχοντες ὑμῶν, καὶ ἐπάρθητε πύλαι αἰώνιοι, καὶ εἰσελεύσεται ὁ βασιλεὺς τῆς δόξης.

Τίς ἐστιν οὗτος ὁ βασιλεὺς τῆς δόξης; κύριος κραταιὸς καὶ δυνατός, κύριος δυνατὸς ἐν πολέμῳ.

Ἄρατε πύλας οἱ ἄρχοντες ὑμῶν, καὶ ἐπάρθητε πύλαι αἰώνιοι, καὶ εἰσελεύσεται ὁ βασιλεὺς τῆς δόξης.

Τίς ἐστιν οὗτος ὁ βασιλεὺς τῆς δόξης; κύριος τῶν δυνάμεων, αὐτός ἐστιν οὗτος ὁ βασιλεὺς τῆς δόξης.

Δόξα. ΚΑΘΙΣΜΑ γ'.

Ψαλμὸς τῷ Δαβίδ. κδ'.

Πρὸς σὲ κύριε ἦρα τὴν ψυχήν μου, ὁ θεός μου ἐπὶ σοὶ πέποιθα, μὴ καταισχυνθείην.

Μηδὲ καταγελασάτωσάν μου οἱ ἐχθροί μου, καὶ γὰρ πάντες οἱ ὑπομένοντές σε, οὐ μὴ καταισχυνθῶσιν.

Αἰσχυνθήτωσαν οἱ ἀνομοῦντες διακενῆς.

Τὰς ὁδούς σου κύριε γνώρισόν μοι, καὶ τὰς τρίβους σου δίδαξόν με.

Ὁδήγησόν με ἐπὶ τὴν ἀλήθειάν σου, καὶ δίδαξόν με, ὅτι σὺ εἶ ὁ θεὸς ὁ σωτήρ μου, καὶ σὲ ὑπέμεινα ὅλην τὴν ἡμέραν.

Μνήσθητι τῶν οἰκτιρμῶν σου κύριε, καὶ τὰ ἐλέη σου, ὅτι ἀπὸ τοῦ αἰῶνος εἰσίν.

Ἁμαρτίας νεότητός μου, καὶ ἀγνοίας μου, μὴ μνησθῇς.

Κατὰ τὸ ἔλεός σου μνήσθητί μου, ἕνεκεν τῆς χρηστότητός σου κύριε.

Χρηστὸς καὶ εὐθὴς ὁ κύριος, διὰ τοῦτο νομοθετήσει ἁμαρτάνοντας ἐν ὁδῷ.

Ὁδηγήσει πραεῖς ἐν κρίσει, διδάξει πραεῖς ὁδοὺς αὐτοῦ.

Πᾶσαι αἱ ὁδοὶ κυρίου ἔλεος καὶ ἀλήθεια, τοῖς ἐκζητοῦσι τὴν διαθήκην

Ὅτι θλῖψις ἐγγὺς, ὅτι οὐκ ἔστιν ὁ βοηθῶν.

Περιεκύκλωσάν με μόσχοι πολλοὶ, ταῦροι πίονες περιέσχον με.

Ἤνοιξαν ἐπ' ἐμὲ τὸ στόμα αὐτῶν, ὡς λέων ὁ ἁρπάζων καὶ ὠρυόμενος.

Ὡσεὶ ὕδωρ ἐξεχύθην, καὶ διεσκορπίσθη πάντα τὰ ὀστᾶ μου.

Ἐγενήθη ἡ καρδία μου ὡσεὶ κηρὸς τηκόμενος ἐν μέσῳ τῆς κοιλίας μου.

Ἐξηράνθη ὡσεὶ ὄστρακον ἡ ἰσχύς μου, καὶ ἡ γλῶσσά μου κεκόλληται τῷ λάρυγγί μου, καὶ εἰς χοῦν θανάτου κατήγαγές με.

Ὅτι ἐκύκλωσάν με κύνες πολλοὶ, συναγωγὴ πονηρευομένων περιέσχον με.

Ὤρυξαν χεῖράς μου, καὶ πόδας, ἐξηρίθμησαν πάντα τὰ ὀστᾶ μου, αὐτοὶ δὲ κατενόησαν καὶ ἐπεῖδόν με.

Διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον.

Σὺ δὲ κύριε μὴ μακρύνῃς τὴν βοήθειάν σου, εἰς τὴν ἀντίληψίν μου πρόσχες.

Ῥῦσαι ἀπὸ ῥομφαίας τὴν ψυχήν μου, καὶ ἐκ χειρὸς κυνὸς τὴν μονογενῆ μου.

Σῶσόν με ἐκ στόματος λέοντος, καὶ ἀπὸ κεράτων μονοκερώτων τὴν ταπείνωσίν μου.

Διηγήσομαι τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου, ἐν μέσῳ ἐκκλησίας ὑμνήσω σε.

Οἱ φοβούμενοι κύριον αἰνέσατε αὐτὸν, ἅπαν τὸ σπέρμα Ἰακὼβ δοξάσατε αὐτὸν,

Φοβηθήτωσαν αὐτὸν ἅπαν τὸ σπέρμα Ἰσραήλ.

Ὅτι οὐκ ἐξουδένωσεν οὐδὲ προσώχθισε τῇ δεήσει τοῦ πτωχοῦ.

Οὐδὲ ἀπέστρεψε τὸ πρόσωπον αὐτοῦ ἀπ' ἐμοῦ, καὶ ἐν τῷ κεκραγέναι με πρὸς αὐτὸν εἰσήκουσέ μου.

Παρὰ σοῦ ὁ ἔπαινός μου, ἐν ἐκκλησίᾳ μεγάλῃ, τὰς εὐχάς μου ἀποδώσω ἐνώπιον τῶν φοβουμένων αὐτόν.

Φάγονται πένητες καὶ ἐμπλησθήσονται, καὶ αἰνέσουσι κύριον οἱ ἐκζητοῦντες αὐτόν.

Ζήσονται αἱ καρδίαι αὐτῶν εἰς αἰῶνα αἰῶνος.

Μνησθήσονται καὶ ἐπιστραφήσονται πρὸς κύριον πάντα τὰ πέρατα τῆς γῆς, Καὶ προσκυνήσουσιν ἐνώπιον αὐτοῦ πᾶσαι αἱ πατριαὶ τῶν ἐθνῶν.

Ὅτι τοῦ κυρίου ἡ βασιλεία, καὶ αὐτὸς δεσπόζει τῶν ἐθνῶν.

Ἔφαγον καὶ προσεκύνησαν πάντες οἱ πίονες τῆς γῆς, ἐνώπιον αὐτοῦ προπεσοῦνται πάντες οἱ καταβαίνοντες εἰς τὴν γῆν.

Καὶ ἡ ψυχή μου αὐτῷ ζῇ, καὶ τὸ σπέρμα μου δουλεύσει αὐτῷ.

Ἀναγγελήσεται τῷ κυρίῳ γενεὰ ἡ ἐρχομένη, καὶ ἀναγγελοῦσι τὴν δικαιοσύνην αὐτοῦ λαῷ τῷ τεχθησομένῳ, ὃν ἐποίησεν ὁ κύριος.

Ψαλμὸς τῷ Δαβίδ. κβ'.

Κύριος ποιμαίνει με, καὶ οὐδέν με ὑστερήσει, εἰς τόπον χλόης ἐκεῖ με κατεσκήνωσεν.

Ἐπὶ ὕδατος ἀναπαύσεως ἐξέθρεψέ με, τὴν ψυχήν μου ἐπέστρεψεν.

Ὡδήγησέ με ἐπὶ τρίβους δικαιοσύ-

δεξιᾶς αὐτοῦ.

Οὗτοι ἐν ἅρμασι καὶ οὗτοι ἐν ἵπποις, ἡμεῖς δὲ ἐν ὀνόματι κυρίου θεοῦ ἡμῶν μεγαλυνθησόμεθα.

Αὐτοὶ συνεποδίσθησαν καὶ ἔπεσαν, ἡμεῖς δὲ ἀνέστημεν καὶ ἀνωρθώθημεν.

Κύριε σῶσον τὸν βασιλέα καὶ ἐπάκουσον ἡμῶν, ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλεσώμεθά σε.

Εἰς τὸ τέλος ψαλμὸς τῷ δαβίδ. κ΄.

Κύριε ἐν τῇ δυνάμει σου εὐφρανθήσεται ὁ βασιλεὺς, καὶ ἐπὶ τῷ σωτηρίῳ σου ἀγαλλιάσεται σφόδρα.

Τὴν ἐπιθυμίαν τῆς ψυχῆς αὐτοῦ ἔδωκας αὐτῷ, καὶ τὴν δέησιν τῶν χειλέων αὐτοῦ, οὐκ ἐστέρησας αὐτόν.

Ὅτι προέφθασας αὐτὸν ἐν εὐλογίαις χρηστότητος, ἔθηκας ἐπὶ τὴν κεφαλὴν αὐτοῦ στέφανον ἐκ λίθου τιμίου.

Ζωὴν ἠτήσατό σε, καὶ ἔδωκας αὐτῷ μακρότητα ἡμερῶν εἰς αἰῶνα αἰῶνος.

Μεγάλη ἡ δόξα αὐτοῦ ἐν τῷ σωτηρίῳ σου, δόξαν καὶ μεγαλοπρέπειαν ἐπιθήσεις ἐπ᾽ αὐτόν.

Ὅτι δώσεις αὐτῷ εὐλογίαν εἰς αἰῶνα αἰῶνος, εὐφρανεῖς αὐτὸν ἐν χαρᾷ μετὰ τοῦ προσώπου σου.

Ὅτι ὁ βασιλεὺς ἐλπίζει ἐπὶ κύριον, καὶ ἐν τῷ ἐλέει τοῦ ὑψίστου οὐ μὴ σαλευθῇ.

Εὑρεθείη ἡ χείρ σου πᾶσι τοῖς ἐχθροῖς σου, ἡ δεξιά σου εὕροι πάντας τοὺς μισοῦντάς σε.

Θήσεις αὐτοὺς ὡς κλίβανον πυρὸς εἰς καιρὸν τοῦ προσώπου σου, κύριος ἐν ὀργῇ αὐτοῦ συνταράξει αὐτοὺς, καὶ καταφάγεται αὐτοὺς πῦρ.

Τὸν καρπὸν αὐτῶν ἀπὸ γῆς ἀπολεῖς, καὶ τὸ σπέρμα αὐτῶν ἀπὸ υἱῶν ἀνθρώπων.

Ὅτι ἔκλιναν εἰς σὲ κακὰ, διελογίσαντο βουλὴν ἣν οὐ μὴ δύνωνται στῆσαι.

Ὅτι θήσεις αὐτοὺς νῶτον ἐν τοῖς περιλοίποις σου, ἑτοιμάσεις τὸ πρόσωπον αὐτῶν.

Ὑψώθητι κύριε ἐν τῇ δυνάμει σου, ᾄσομεν καὶ ψαλοῦμεν τὰς δυναστείας σου. Δόξα.

Εἰς τὸ τέλος ὑπὲρ τῆς ἀντιλήψεως τῆς ἑωθινῆς, ψαλμὸς τῷ δαβίδ. κα΄.

Ὁ θεὸς ὁ θεός μου πρόσχες μοι, ἵνα τί ἐγκατέλιπές με; μακρὰν ἀπὸ τῆς σωτηρίας μου οἱ λόγοι τῶν παραπτωμάτων μου.

Ὁ θεός μου κεκράξομαι ἡμέρας πρὸς σὲ καὶ οὐκ εἰσακούσῃ, καὶ νυκτὸς καὶ οὐκ εἰς ἄνοιαν ἐμοί.

Σὺ δὲ ἐν ἁγίῳ κατοικεῖς ὁ ἔπαινος τοῦ Ἰσραήλ.

Ἐπὶ σοὶ ἤλπισαν οἱ πατέρες ἡμῶν, ἤλπισαν καὶ ἐρρύσω αὐτούς.

Πρὸς σὲ ἐκέκραξαν καὶ ἐσώθησαν, ἐπὶ σοὶ ἤλπισαν καὶ οὐ κατῃσχύνθησαν.

Ἐγὼ δέ εἰμι σκώληξ καὶ οὐκ ἄνθρωπος, ὄνειδος ἀνθρώπων καὶ ἐξουθένημα λαοῦ.

Πάντες οἱ θεωροῦντές με ἐξεμυκτήρισάν με, ἐλάλησαν ἐν χείλεσιν, ἐκίνησαν κεφαλήν.

Ἤλπισεν ἐπὶ κύριον, ῥυσάσθω αὐτὸν, σωσάτω αὐτὸν, ὅτι θέλει αὐτόν.

Ὅτι σὺ εἶ ὁ ἐκσπάσας με ἐκ γαστρὸς, ἡ ἐλπίς μου ἀπὸ μαστῶν τῆς μητρός μου, ἐπὶ σὲ ἐπερρίφην ἐκ μήτρας.

Ἐκ κοιλίας μητρός μου θεός μου εἶ σὺ, μὴ ἀποστῇς ἀπ᾽ ἐμοῦ.

καὶ ὑψωθήτω ὁ θεὸς τῆς σωτηρίας μου.

Ο θεὸς ὁ διδοὺς ἐκδικήσεις ἐμοὶ, καὶ ὑποτάξας λαοὺς ὑπ' ἐμὲ, ὁ ῥύστης μου ἐξ ἐχθρῶν ὀργίλων.

Απὸ τῶν ἐπανισταμένων ἐπ' ἐμὲ ὑψώσεις με, ἀπὸ ἀνδρὸς ἀδίκου ῥύσῃ με.

Διὰ τοῦτο ἐξομολογήσομαί σοι ἐν ἔθνεσι κύριε, καὶ τῷ ὀνόματί σου ψαλῶ.

Μεγαλύνων τὰς σωτηρίας τοῦ βασιλέως αὐτοῦ, καὶ ποιῶν ἔλεος τῷ χριστῷ αὐτοῦ τῷ δαβὶδ, καὶ τῷ σπέρματι αὐτοῦ ἕως αἰῶνος. Δόξα.

Εἰς τὸ τέλος ψαλμὸς τῷ δαβὶδ. ιη'.

Οἱ οὐρανοὶ διηγοῦνται δόξαν θεοῦ, ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλλει τὸ στερέωμα.

Ημέρα τῇ ἡμέρᾳ ἐρεύγεται ῥῆμα, καὶ νὺξ νυκτὶ ἀναγγέλλει γνῶσιν.

Οὐκ εἰσὶ λαλιαὶ οὐδὲ λόγοι, ὧν οὐχὶ ἀκούονται αἱ φωναὶ αὐτῶν.

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν.

Εν τῷ ἡλίῳ ἔθετο τὸ σκήνωμα αὐτοῦ, καὶ αὐτὸς ὡς νυμφίος ἐκπορευόμενος ἐκ παστοῦ αὐτοῦ.

Αγαλλιάσεται ὡς γίγας δραμεῖν ὁδὸν αὐτοῦ, ἀπ' ἄκρου τοῦ οὐρανοῦ ἡ ἔξοδος αὐτοῦ.

Καὶ τὸ κατάντημα αὐτοῦ ἕως ἄκρου τοῦ οὐρανοῦ, καὶ οὐκ ἔστιν ὃς ἀποκρυβήσεται τὴν θέρμην αὐτοῦ.

Ο νόμος τοῦ κυρίου ἄμωμος ἐπιστρέφων ψυχὰς, ἡ μαρτυρία κυρίου πιστὴ σοφίζουσα νήπια.

Τὰ δικαιώματα κυρίου εὐθέα εὐφραίνοντα καρδίαν, ἡ ἐντολὴ κυρίου τηλαυγὴς φωτίζουσα ὀφθαλμούς.

Ο φόβος κυρίου ἁγνὸς διαμένων εἰς αἰῶνα αἰῶνος, τὰ κρίματα κυρίου ἀληθινὰ δεδικαιωμένα ἐπὶ τὸ αὐτό.

Επιθυμητὰ ὑπὲρ χρυσίον καὶ λίθον τίμιον πολὺν, καὶ γλυκύτερα ὑπὲρ μέλι καὶ κηρίον.

Καὶ γὰρ ὁ δοῦλός σου φυλάσσει αὐτὰ, ἐν τῷ φυλάσσειν αὐτὰ ἀνταπόδοσις πολλή.

Παραπτώματα τίς συνήσει; ἐκ τῶν κρυφίων μου καθάρισόν με, καὶ ἀπ' ἀλλοτρίων φεῖσαι τοῦ δούλου σου.

Εὰν μή μου κατακυριεύσωσι, τότε ἄμωμος ἔσομαι, καὶ καθαρισθήσομαι ἀπὸ ἁμαρτίας μεγάλης.

Καὶ ἔσονται εἰς εὐδοκίαν τὰ λόγια τοῦ στόματός μου, καὶ ἡ μελέτη τῆς καρδίας μου ἐνώπιόν σου διαπαντός.

Κύριε βοηθέ μου, καὶ λυτρωτά μου.

Εἰς τὸ τέλος ψαλμὸς τῷ δαβὶδ. ιθ'.

Επακούσαι σου κύριος ἐν ἡμέρᾳ θλίψεως, ὑπερασπίσαι σου τὸ ὄνομα τοῦ θεοῦ Ιακώβ.

Εξαποστείλαι σοι βοήθειαν ἐξ ἁγίου, καὶ ἐκ σιὼν ἀντιλάβοιτό σου.

Μνησθείη πάσης θυσίας σου, καὶ τὸ ὁλοκαύτωμά σου πιανάτω.

Δῴη σοι κύριος κατὰ τὴν καρδίαν σου, καὶ πᾶσαν τὴν βουλήν σου πληρώσαι.

Αγαλλιασόμεθα ἐν τῷ σωτηρίῳ σου, καὶ ἐν ὀνόματι θεοῦ ἡμῶν μεγαλυνθησόμεθα.

Πληρώσαι κύριος πάντα τὰ αἰτήματά σου, νῦν ἔγνων ὅτι ἔσωσε κύριος τὸν χριστὸν αὐτοῦ.

Επακούσεται αὐτοῦ ἐξ οὐρανοῦ ἁγίου αὐτοῦ, ἐν δυναστείαις ἡ σωτηρία τῆς

δεξιᾶς

σεώς μου, καὶ ἐγένετο κύριος ἀντιστήριγμά μου.

Καὶ ἐξήγαγέ με εἰς πλατυσμὸν, ῥύσεταί με, ὅτι ἠθέλησέ με.

Καὶ ἀνταποδώσει μοι κύριος κατὰ τὴν δικαιοσύνην μου, καὶ κατὰ τὴν καθαριότητα τῶν χειρῶν μου ἀνταποδώσει μοι.

Ὅτι ἐφύλαξα τὰς ὁδοὺς κυρίου, καὶ οὐκ ἠσέβησα ἀπὸ τοῦ θεοῦ μου.

Ὅτι πάντα τὰ κρίματα αὐτοῦ ἐνώπιόν μου, καὶ τὰ δικαιώματα αὐτοῦ οὐκ ἀπέστησαν ἀπ᾽ ἐμοῦ.

Καὶ ἔσομαι ἄμωμος μετ᾽ αὐτοῦ, καὶ φυλάξομαι ἀπὸ τῆς ἀνομίας μου.

Καὶ ἀνταποδώσει μοι κύριος κατὰ τὴν δικαιοσύνην μου, καὶ κατὰ τὴν καθαριότητα τῶν χειρῶν μου, ἐνώπιον τῶν ὀφθαλμῶν αὐτοῦ.

Μετὰ ὁσίου ὁσιωθήσῃ, καὶ μετὰ ἀνδρὸς ἀθώου ἀθῶος ἔσῃ.

Καὶ μετὰ ἐκλεκτοῦ ἐκλεκτὸς ἔσῃ, καὶ μετὰ στρεβλοῦ διαστρέψεις.

Ὅτι σὺ λαὸν ταπεινὸν σώσεις, καὶ ὀφθαλμοὺς ὑπερηφάνων ταπεινώσεις.

Ὅτι σὺ φωτιεῖς λύχνον μου κύριε, ὁ θεός μου φωτιεῖς τὸ σκότος μου.

Ὅτι ἐν σοὶ ῥυσθήσομαι ἀπὸ πειρατηρίου, καὶ ἐν τῷ θεῷ μου ὑπερβήσομαι τεῖχος.

Ὁ θεός μου, ἄμωμος ἡ ὁδὸς αὐτοῦ, τὰ λόγια κυρίου πεπυρωμένα, ὑπερασπιστής ἐστι πάντων τῶν ἐλπιζόντων ἐπ᾽ αὐτόν.

Ὅτι τίς θεὸς πλὴν τοῦ κυρίου, καὶ τίς θεὸς πλὴν τοῦ θεοῦ ἡμῶν;

Ὁ θεὸς ὁ περιζωννύων με δύναμιν, καὶ ἔθετο ἄμωμον τὴν ὁδόν μου.

Ὁ καταρτιζόμενος τοὺς πόδας μου ὡσεὶ ἐλάφου, καὶ ἐπὶ τὰ ὑψηλὰ ἱστῶν με.

Διδάσκων χεῖράς μου εἰς πόλεμον. καὶ ἔθου τόξον χαλκοῦν τοὺς βραχίονάς μου,

Καὶ ἔδωκάς μοι ὑπερασπισμὸν σωτηρίας μου, καὶ ἡ δεξιά σου ἀντελάβετό μου.

Καὶ ἡ παιδεία σου ἀνώρθωσέ με εἰς τέλος, καὶ ἡ παιδεία σου αὐτή με διδάξει.

Ἐπλάτυνας τὰ διαβήματά μου ὑποκάτω μου, καὶ οὐκ ἠσθένησαν τὰ ἴχνη μου.

Καταδιώξω τοὺς ἐχθρούς μου, καὶ καταλήψομαι αὐτοὺς, καὶ οὐκ ἀποστραφήσομαι, ἕως ἂν ἐκλείπωσιν.

Ἐκθλίψω αὐτοὺς, καὶ οὐ μὴ δύνωνται στῆναι, πεσοῦνται ὑπὸ τοὺς πόδας μου.

Καὶ περιέζωσάς με δύναμιν εἰς πόλεμον, συνεπόδισας πάντας τοὺς ἐπανισταμένους ἐπ᾽ ἐμὲ ὑποκάτω μου.

Καὶ τοὺς ἐχθρούς μου ἔδωκάς μοι νῶτον, καὶ τοὺς μισοῦντάς με ἐξωλόθρευσας.

Ἐκέκραξαν, καὶ οὐκ ἦν ὁ σώζων, πρὸς κύριον, καὶ οὐκ εἰσήκουσεν αὐτῶν.

Καὶ λεπτυνῶ αὐτοὺς ὡς χοῦν κατὰ πρόσωπον ἀνέμου, ὡς πηλὸν πλατειῶν λεανῶ αὐτούς.

Ῥύσαί με ἐξ ἀντιλογιῶν λαοῦ, καταστήσεις με εἰς κεφαλὴν ἐθνῶν.

Λαὸς ὃν οὐκ ἔγνων ἐδούλευσέ μοι, εἰς ἀκοὴν ὠτίου ὑπήκουσέ μοι. υἱοὶ ἀλλότριοι ἐψεύσαντό μοι. υἱοὶ ἀλλότριοι ἐπαλαιώθησαν, καὶ ἐχώλαναν ἀπὸ τῶν τρίβων αὐτῶν.

Ζῇ κύριος, καὶ εὐλογητὸς ὁ θεός μου,

καὶ

Ὑπέλαβόν με ὡσεὶ λέων ἕτοιμος εἰς θήραν, καὶ ὡσεὶ σκύμνος οἰκῶν ἐν ἀποκρύφοις.

Ἀνάστηθι κύριε, πρόφθασον αὐτοὺς, καὶ ὑποσκέλισον αὐτοὺς, ῥῦσαι τὴν ψυχήν μου ἀπὸ ἀσεβοῦς, ῥομφαίαν σου ἀπὸ ἐχθρῶν τῆς χειρός σου.

Κύριε ἀπολύων ἀπὸ γῆς, διαμέρισον αὐτοὺς ἐν τῇ ζωῇ αὐτῶν, καὶ τῶν κεκρυμμένων σου ἐπλήσθη ἡ γαστὴρ αὐτῶν.

Ἐχορτάσθησαν υἱῶν, καὶ ἀφῆκαν τὰ κατάλοιπα τοῖς νηπίοις αὐτῶν.

Ἐγὼ δὲ ἐν δικαιοσύνῃ ὀφθήσομαι τῷ προσώπῳ σου, χορτασθήσομαι ἐν τῷ ὀφθῆναι τὴν δόξαν σου.

Δόξα. ΚΑΘΙΣΜΑ Ϛ.

Εἰς τὸ τέλος τῷ παιδὶ κυρίου τῷ Δαβὶδ, ἃ ἐλάλησε τῷ κυρίῳ τοὺς λόγους τῆς ᾠδῆς ταύτης, ἐν ἡμέρᾳ ᾗ ἐρρύσατο αὐτὸν ὁ κύριος ἐκ χειρὸς πάντων τῶν ἐχθρῶν αὐτοῦ, καὶ ἐκ χειρὸς Σαοὺλ, καὶ εἶπεν. ιζʹ.

Ἀγαπήσω σε κύριε ἰσχύς μου, κύριος στερέωμά μου, καὶ καταφυγή μου, καὶ ῥύστης μου.

Ὁ θεός μου, βοηθός μου, ἐλπιῶ ἐπ' αὐτόν.

Ὑπερασπιστής μου, καὶ κέρας σωτηρίας μου, καὶ ἀντιλήπτωρ μου.

Αἰνῶν ἐπικαλέσομαι κύριον, καὶ ἐκ τῶν ἐχθρῶν μου σωθήσομαι.

Περιέσχον με ὠδῖνες θανάτου, καὶ χείμαρροι ἀνομίας ἐξετάραξάν με.

Ὠδῖνες ᾅδου περιεκύκλωσάν με, προέφθασάν με παγίδες θανάτου.

Καὶ ἐν τῷ θλίβεσθαί με ἐπεκαλεσάμην τὸν κύριον, καὶ πρὸς τὸν θεόν μου ἐκέκραξα.

Ἤκουσεν ἐκ ναοῦ ἁγίου αὐτοῦ φωνῆς μου, καὶ ἡ κραυγή μου ἐνώπιον αὐτοῦ εἰσελεύσεται εἰς τὰ ὦτα αὐτοῦ.

Καὶ ἐσαλεύθη, καὶ ἔντρομος ἐγενήθη ἡ γῆ, καὶ τὰ θεμέλια τῶν ὀρέων ἐταράχθησαν, καὶ ἐσαλεύθησαν, ὅτι ὠργίσθη αὐτοῖς ὁ θεός.

Ἀνέβη καπνὸς ἐν ὀργῇ αὐτοῦ, καὶ πῦρ ἀπὸ προσώπου αὐτοῦ κατεφλόγισεν, ἄνθρακες ἀνήφθησαν ἀπ' αὐτοῦ.

Καὶ ἔκλινεν οὐρανὸν καὶ κατέβη, καὶ γνόφος ὑπὸ τοὺς πόδας αὐτοῦ.

Καὶ ἐπέβη ἐπὶ χερουβὶμ καὶ ἐπετάσθη, ἐπετάσθη ἐπὶ πτερύγων ἀνέμων.

Καὶ ἔθετο σκότος ἀποκρυφὴν αὐτοῦ, κύκλῳ αὐτοῦ ἡ σκηνὴ αὐτοῦ, σκοτεινὸν ὕδωρ ἐν νεφέλαις ἀέρων.

Ἀπὸ τῆς τηλαυγήσεως ἐνώπιον αὐτοῦ αἱ νεφέλαι διῆλθον, χάλαζα καὶ ἄνθρακες πυρός.

Καὶ ἐβρόντησεν ἐξ οὐρανοῦ κύριος, καὶ ὁ ὕψιστος ἔδωκε φωνὴν αὐτοῦ.

Καὶ ἐξαπέστειλε βέλη καὶ ἐσκόρπισεν αὐτοὺς, καὶ ἀστραπὰς ἐπλήθυνε, καὶ συνετάραξεν αὐτούς.

Καὶ ὤφθησαν αἱ πηγαὶ τῶν ὑδάτων, καὶ ἀνεκαλύφθη τὰ θεμέλια τῆς οἰκουμένης.

Ἀπὸ ἐπιτιμήσεώς σου κύριε, ἀπὸ ἐμπνεύσεως πνεύματος ὀργῆς σου.

Ἐξαπέστειλεν ἐξ ὕψους καὶ ἔλαβέ με, προσελάβετό με ἐξ ὑδάτων πολλῶν.

Ῥύσεταί με ἐξ ἐχθρῶν μου δυνατῶν, καὶ ἐκ τῶν μισούντων με, ὅτι ἐστερεώθησαν ὑπὲρ ἐμέ.

Προέφθασάν με ἐν ἡμέρᾳ κακώ-

σεώς

Ὁ ὀμνύων τῷ πλησίον αὐτοῦ καὶ οὐκ ἀθετῶν, τὸ ἀργύριον αὐτοῦ οὐκ ἔδωκεν ἐπὶ τόκῳ, καὶ δῶρα ἐπ' ἀθώοις οὐκ ἔλαβεν.

Ὁ ποιῶν ταῦτα, οὐ σαλευθήσεται εἰς τὸν αἰῶνα.

Στηλογραφία τῷ δαβίδ. ιε΄.

Φύλαξόν με κύριε, ὅτι ἐπὶ σοὶ ἤλπισα. εἶπα τῷ κυρίῳ, κύριός μου εἶ σύ, ὅτι τῶν ἀγαθῶν μου οὐ χρείαν ἔχεις.

Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν, πάντα τὰ θελήματα αὐτοῦ ἐν αὐτοῖς.

Ἐπληθύνθησαν αἱ ἀσθένειαι αὐτῶν, μετὰ ταῦτα ἐτάχυναν.

Οὐ μὴ συναγάγω τὰς συναγωγὰς αὐτῶν ἐξ αἱμάτων, οὐδὲ μὴ μνησθῶ τῶν ὀνομάτων αὐτῶν διὰ χειλέων μου.

Κύριος μερὶς τῆς κληρονομίας μου καὶ τοῦ ποτηρίου μου, σὺ εἶ ὁ ἀποκαθιστῶν τὴν κληρονομίαν μου ἐμοί.

Σχοινία ἐπέπεσάν μοι ἐν τοῖς κρατίστοις, καὶ γὰρ ἡ κληρονομία μου κρατίστη μοι ἐστίν.

Εὐλογήσω τὸν κύριον τὸν συνετίσαντά με, ἔτι δὲ καὶ ἕως νυκτὸς ἐπαίδευσάν με οἱ νεφροί μου.

Προωρώμην τὸν κύριον ἐνώπιόν μου διαπαντός, ὅτι ἐκ δεξιῶν μού ἐστιν ἵνα μὴ σαλευθῶ.

Διὰ τοῦτο ηὐφράνθη ἡ καρδία μου, καὶ ἠγαλλιάσατο ἡ γλῶσσά μου, ἔτι δὲ καὶ ἡ σάρξ μου κατασκηνώσει ἐπ' ἐλπίδι.

Ὅτι οὐκ ἐγκαταλείψεις τὴν ψυχήν μου εἰς ᾅδην, οὐδὲ δώσεις τὸν ὅσιόν σου ἰδεῖν διαφθοράν.

Ἐγνώρισάς μοι ὁδοὺς ζωῆς, πληρώσεις με εὐφροσύνης μετὰ τοῦ προσώπου σου, τερπνότητες ἐν τῇ δεξιᾷ σου εἰς τέλος.

Προσευχὴ τῷ δαβίδ. ις΄.

Εἰσάκουσον κύριε τῆς δικαιοσύνης μου, πρόσχες τῇ δεήσει μου.

Ἐνώτισαι τὴν προσευχήν μου οὐκ ἐν χείλεσι δολίοις.

Ἐκ προσώπου σου τὸ κρίμα μου ἐξέλθοι, οἱ ὀφθαλμοί μου ἰδέτωσαν εὐθύτητας.

Ἐδοκίμασας τὴν καρδίαν μου, ἐπεσκέψω νυκτός, ἐπύρωσάς με, καὶ οὐχ εὑρέθη ἐν ἐμοὶ ἀδικία.

Ὅπως ἂν μὴ λαλήσῃ τὸ στόμα μου τὰ ἔργα τῶν ἀνθρώπων, διὰ τοὺς λόγους τῶν χειλέων σου ἐγὼ ἐφύλαξα ὁδοὺς σκληράς.

Κατάρτισαι τὰ διαβήματά μου ἐν ταῖς τρίβοις σου, ἵνα μὴ σαλευθῇ τὰ διαβήματά μου.

Ἐγὼ ἐκέκραξα, ὅτι ἐπήκουσάς μου ὁ θεός, κλῖνον τὸ οὖς σου ἐμοὶ καὶ εἰσάκουσον τῶν ῥημάτων μου.

Θαυμάστωσον τὰ ἐλέη σου ὁ σῴζων τοὺς ἐλπίζοντας ἐπὶ σέ.

Ἐκ τῶν ἀνθεστηκότων τῇ δεξιᾷ σου, φύλαξόν με ὡς κόρην ὀφθαλμοῦ.

Ἐν σκέπῃ τῶν πτερύγων σου σκεπάσεις με, ἀπὸ προσώπου ἀσεβῶν τῶν ταλαιπωρησάντων με.

Οἱ ἐχθροί μου τὴν ψυχήν μου περιέσχον, τὸ στέαρ αὐτῶν συνέκλεισαν, τὸ στόμα αὐτῶν ἐλάλησεν ὑπερηφανίαν.

Ἐκβαλόντες με νυνὶ περιεκύκλωσάν με, τοὺς ὀφθαλμοὺς αὐτῶν ἔθεντο ἐκκλῖναι ἐν τῇ γῇ.

Ὑπὸ

Τὰ λόγια κυρίου, λόγια ἁγνὰ, ἀργύριον πεπυρωμένον, δοκίμιον τῇ γῇ, κεκαθαρισμένον ἑπταπλασίως.
Σὺ κύριε φυλάξεις ἡμᾶς, καὶ διατηρήσεις ἡμᾶς ἀπὸ τῆς γενεᾶς ταύτης, καὶ εἰς τὸν αἰῶνα.
Κύκλῳ οἱ ἀσεβεῖς περιπατοῦσι, κατὰ τὸ ὕψος σου ἐπολυώρησας τοὺς υἱοὺς τῶν ἀνθρώπων.

Εἰς τὸ τέλος ψαλμὸς τῷ δαβίδ. ιβ΄.

Ἕως πότε κύριε ἐπιλήσῃ μου εἰς τέλος, ἕως πότε ἀποστρέψεις τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ,
Ἕως τίνος θήσομαι βουλὰς ἐν ψυχῇ μου, ὀδύνας ἐν καρδίᾳ μου ἡμέρας καὶ νυκτός;
Ἕως πότε ὑψωθήσεται ὁ ἐχθρός μου ἐπ' ἐμὲ, ἐπίβλεψον, εἰσάκουσόν μου κύριε ὁ θεός μου.
Φώτισον τοὺς ὀφθαλμούς μου, μή ποτε ὑπνώσω εἰς θάνατον, μή ποτε εἴποι ὁ ἐχθρός μου, ἴσχυσα πρὸς αὐτόν.
Οἱ θλίβοντές με ἀγαλλιάσονται ἐὰν σαλευθῶ, ἐγὼ δὲ ἐπὶ τὸ ἐλέει σου ἤλπισα.
Ἀγαλλιάσεται ἡ καρδία μου ἐν τῷ σωτηρίῳ σου, ᾄσω τῷ κυρίῳ τῷ εὐεργετήσαντί με, καὶ ψαλῶ τῷ ὀνόματι κυρίου τοῦ ὑψίστου.

Εἰς τὸ τέλος ψαλμὸς τῷ δαβίδ. ιγ΄.

Εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ, οὐκ ἔστι θεός.
Διέφθειραν καὶ ἐβδελύχθησαν ἐν ἐπιτηδεύμασιν, οὐκ ἔστι ποιῶν χρηστότητα οὐκ ἔστιν ἕως ἑνός.
Κύριος ἐκ τοῦ οὐρανοῦ διέκυψεν ἐπὶ τοὺς υἱοὺς τῶν ἀνθρώπων, τοῦ ἰδεῖν εἰ ἔστι συνιῶν ἢ ἐκζητῶν τὸν θεόν.
Πάντες ἐξέκλιναν, ἅμα ἠχρειώθησαν, οὐκ ἔστι ποιῶν χρηστότητα, οὐκ ἔστιν ἕως ἑνός.
Τάφος ἀνεῳγμένος ὁ λάρυγξ αὐτῶν, ταῖς γλώσσαις αὐτῶν ἐδολιοῦσαν, ἰὸς ἀσπίδων ὑπὸ τὰ χείλη αὐτῶν.
Ὧν τὸ στόμα ἀρᾶς καὶ πικρίας γέμει. ὀξεῖς οἱ πόδες αὐτῶν ἐκχέαι αἷμα,
Σύντριμμα καὶ ταλαιπωρία ἐν ταῖς ὁδοῖς αὐτῶν, καὶ ὁδὸν εἰρήνης οὐκ ἔγνωσαν, οὐκ ἔστι φόβος θεοῦ ἀπέναντι τῶν ὀφθαλμῶν αὐτῶν.
Οὐχὶ γνώσονται πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν, οἱ κατέσθοντες τὸν λαόν μου βρώσει ἄρτου;
Τὸν κύριον οὐκ ἐπεκαλέσαντο, ἐκεῖ ἐδειλίασαν φόβῳ, οὗ οὐκ ἦν φόβος.
Ὅτι ὁ θεὸς ἐν γενεᾷ δικαίᾳ, βουλὴν πτωχοῦ κατῃσχύνατε, ὅτι κύριος ἐλπὶς αὐτοῦ ἐστι.
Τίς δώσει ἐκ Σιὼν τὸ σωτήριον τοῦ Ἰσραήλ; ἐν τῷ ἐπιστρέψαι κύριον τὴν αἰχμαλωσίαν τοῦ λαοῦ αὐτοῦ, ἀγαλλιάσθω ἰακὼβ, καὶ εὐφρανθήτω Ἰσραήλ. Δόξα.

Ψαλμὸς τῷ δαβίδ. ιδ΄.

Κύριε, τίς παροικήσει ἐν τῷ σκηνώματί σου; καὶ τίς κατασκηνώσει ἐν τῷ ὄρει τῷ ἁγίῳ σου;
Πορευόμενος ἄμωμος, καὶ ἐργαζόμενος δικαιοσύνην.
Λαλῶν ἀλήθειαν ἐν καρδίᾳ αὐτοῦ, ὃς οὐκ ἐδόλωσεν ἐν γλώσσῃ αὐτοῦ.
Οὐδὲ ἐποίησε τῷ πλησίον αὐτοῦ κακὸν, καὶ ὀνειδισμὸν οὐκ ἔλαβεν ἐπὶ τοὺς ἔγγιστα αὐτοῦ.
Ἐξουδένωται ἐνώπιον αὐτοῦ πονηρευόμενος, τοὺς δὲ φοβουμένους κύριον δοξάζει.

Οἱ ὀφθαλμοὶ αὐτοῦ εἰς τὸν πένητα ἀποβλέπουσιν, ἐνεδρεύει ἐν ἀποκρύφῳ ὡς λέων ἐν τῇ μάνδρᾳ αὐτοῦ.

Ἐνεδρεύει τοῦ ἁρπάσαι πτωχόν, ἁρπάσαι πτωχὸν ἐν τῷ ἑλκύσαι αὐτόν.

Ἐν τῇ παγίδι αὐτοῦ ταπεινώσει αὐτόν, κύψει καὶ πεσεῖται ἐν τῷ αὐτὸν κατακυριεῦσαι τῶν πενήτων.

Εἶπε γὰρ ἐν τῇ καρδίᾳ αὐτοῦ, ἐπιλέλησται ὁ θεός, ἀπέστρεψε τὸ πρόσωπον αὐτοῦ τοῦ μὴ βλέπειν εἰς τέλος.

Ἀνάστηθι κύριε ὁ θεός, ὑψωθήτω ἡ χείρ σου, μὴ ἐπιλάθῃ τῶν πενήτων.

Ἕνεκεν τίνος παρώξυνεν ὁ ἀσεβὴς τὸν θεόν; εἶπε γὰρ ἐν καρδίᾳ αὐτοῦ, οὐ ζητήσει.

Βλέπεις ὅτι σὺ πόνον καὶ θυμὸν κατανοεῖς, τοῦ παραδοῦναι αὐτοὺς εἰς χεῖράς σου.

Σοὶ ἐγκαταλέλειπται ὁ πτωχός, ὀρφανῷ σὺ ἦσθα βοηθός.

Σύντριψον τὸν βραχίονα τοῦ ἁμαρτωλοῦ καὶ πονηροῦ, ζητηθήσεται ἡ ἁμαρτία αὐτοῦ καὶ οὐ μὴ εὑρεθῇ.

Βασιλεύσει κύριος εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, ἀπολεῖσθε ἔθνη ἐκ τῆς γῆς αὐτοῦ.

Τὴν ἐπιθυμίαν τῶν πενήτων εἰσήκουσε κύριος, τὴν ἑτοιμασίαν τῆς καρδίας αὐτῶν προσέσχε τὸ οὖς σου.

Κρῖναι ὀρφανῷ καὶ ταπεινῷ, ἵνα μὴ προσθῇ ἔτι μεγαλαυχεῖν ἄνθρωπος ἐπὶ τῆς γῆς.

Εἰς τὸ τέλος ψαλμὸς τοῦ δαβίδ. ι'.

Ἐπὶ τῷ κυρίῳ πέποιθα, πῶς ἐρεῖτε τῇ ψυχῇ μου, μεταναστεύε ἐπὶ τὰ ὄρη ὡς στρουθίον;

Ὅτι ἰδοὺ οἱ ἁμαρτωλοὶ ἐνέτειναν τόξον, ἡτοίμασαν βέλη εἰς φαρέτραν, τοῦ κατατοξεῦσαι ἐν σκοτομήνῃ τοὺς εὐθεῖς τῇ καρδίᾳ.

Ὅτι ἃ κατηρτίσω καθεῖλον, ὁ δὲ δίκαιος τί ἐποίησε;

Κύριος ἐν ναῷ ἁγίῳ αὐτοῦ, κύριος ἐν οὐρανῷ ὁ θρόνος αὐτοῦ.

Οἱ ὀφθαλμοὶ αὐτοῦ εἰς τὸν πένητα ἀποβλέπουσι, τὰ βλέφαρα αὐτοῦ ἐξετάζει τοὺς υἱοὺς τῶν ἀνθρώπων.

Κύριος ἐξετάζει τὸν δίκαιον καὶ τὸν ἀσεβῆ, ὁ δὲ ἀγαπῶν ἀδικίαν μισεῖ τὴν ἑαυτοῦ ψυχήν.

Ἐπιβρέξει ἐπὶ ἁμαρτωλοὺς παγίδας, πῦρ καὶ θεῖον καὶ πνεῦμα καταιγίδος ἡ μερὶς τοῦ ποτηρίου αὐτῶν.

Ὅτι δίκαιος κύριος καὶ δικαιοσύνας ἠγάπησεν, εὐθύτητα εἶδε τὸ πρόσωπον αὐτοῦ.

Εἰς τὸ τέλος ὑπὲρ τῆς ὀγδόης, ψαλμὸς τῷ δαβίδ. ια'.

Σῶσόν με κύριε, ὅτι ἐκλέλοιπεν ὅσιος, ὅτι ὠλιγώθησαν αἱ ἀλήθειαι ἀπὸ τῶν υἱῶν τῶν ἀνθρώπων.

Μάταια ἐλάλησεν ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ, χείλη δόλια ἐν καρδίᾳ, καὶ ἐν καρδίᾳ ἐλάλησαν.

Ἐξολοθρεύσαι κύριος πάντα τὰ χείλη τὰ δόλια, καὶ γλῶσσαν μεγαλορρήμονα.

Τοὺς εἰπόντας τὴν γλῶσσαν ἡμῶν μεγαλυνοῦμεν, τὰ χείλη ἡμῶν παρ' ἡμῶν ἐστι, τίς ἡμῶν κύριός ἐστιν;

Ἀπὸ τῆς ταλαιπωρίας τῶν πτωχῶν, καὶ ἀπὸ τοῦ στεναγμοῦ τῶν πενήτων νῦν ἀναστήσομαι λέγει κύριος.

Θήσομαι ἐν σωτηρίῳ, παρρησιάσομαι ἐν αὐτῷ.

του ἀπὸ προσώπου σου.
Ὅτι ἐποίησας τὴν κρίσιν μου καὶ τὴν δίκην μου, ἐκάθισας ἐπὶ θρόνου ὁ κρίνων τὴν δικαιοσύνην.
Ἐπετίμησας ἔθνεσι, καὶ ἀπώλετο ὁ ἀσεβής, τὸ ὄνομα αὐτῶν ἐξήλειψας εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.
Τοῦ ἐχθροῦ ἐξέλιπον αἱ ῥομφαῖαι εἰς τέλος, καὶ πόλεις καθεῖλες.
Ἀπώλετο τὸ μνημόσυνον αὐτῶν μετ' ἤχου, καὶ ὁ κύριος εἰς τὸν αἰῶνα μένει.
Ἡτοίμασεν ἐν κρίσει τὸν θρόνον αὐτοῦ, καὶ αὐτὸς κρινεῖ τὴν οἰκουμένην ἐν δικαιοσύνῃ, κρινεῖ λαοὺς ἐν εὐθύτητι.
Καὶ ἐγένετο κύριος καταφυγὴ τῷ πένητι, βοηθὸς ἐν εὐκαιρίαις ἐν θλίψει.
Καὶ ἐλπισάτωσαν ἐπὶ σὲ οἱ γινώσκοντες τὸ ὄνομά σου, ὅτι οὐκ ἐγκατέλιπες τοὺς ἐκζητοῦντάς σε κύριε.
Ψάλατε τῷ κυρίῳ τῷ κατοικοῦντι ἐν Σιών, ἀναγγείλατε ἐν τοῖς ἔθνεσι τὰ ἐπιτηδεύματα αὐτοῦ.
Ὅτι ἐκζητῶν τὰ αἵματα αὐτῶν ἐμνήσθη, οὐκ ἐπελάθετο τῆς δεήσεως τῶν πενήτων.
Ἐλέησόν με κύριε, ἴδε τὴν ταπείνωσίν μου ἐκ τῶν ἐχθρῶν μου.
Ὁ ὑψῶν με ἐκ τῶν πυλῶν τοῦ θανάτου, ὅπως ἂν ἐξαγγείλω πάσας τὰς αἰνέσεις σου ἐν ταῖς πύλαις τῆς θυγατρὸς Σιών.
Ἀγαλλιάσομαι ἐπὶ τῷ σωτηρίῳ σου, ἐνεπάγησαν ἔθνη ἐν διαφθορᾷ ᾗ ἐποίησαν.
Ἐν παγίδι ταύτῃ ᾗ ἔκρυψαν συνελήφθη ὁ ποὺς αὐτῶν.
Γινώσκεται κύριος κρίματα ποιῶν, ἐν τοῖς ἔργοις τῶν χειρῶν αὐτοῦ συνελήφθη ὁ ἁμαρτωλός.
Ἀποστραφήτωσαν οἱ ἁμαρτωλοὶ εἰς τὸν ᾅδην, πάντα τὰ ἔθνη τὰ ἐπιλανθανόμενα τοῦ θεοῦ,
Ὅτι οὐκ εἰς τέλος ἐπιλησθήσεται ὁ πτωχός, ἡ ὑπομονὴ τῶν πενήτων οὐκ ἀπολεῖται εἰς τὸν αἰῶνα.
Ἀνάστηθι κύριε, μὴ κραταιούσθω ἄνθρωπος, κριθήτωσαν ἔθνη ἐνώπιόν σου.
Κατάστησον κύριε νομοθέτην ἐπ' αὐτούς, γνώτωσαν ἔθνη ὅτι ἄνθρωποί εἰσιν.
Ἱνατί κύριε ἀφέστηκας μακρόθεν, ὑπερορᾷς ἐν εὐκαιρίαις ἐν θλίψει;
Ἐν τῷ ὑπερηφανεύεσθαι τὸν ἀσεβῆ, ἐμπυρίζεται ὁ πτωχός, συλλαμβάνονται ἐν διαβουλίοις οἷς διαλογίζονται.
Ὅτι ἐπαινεῖται ὁ ἁμαρτωλὸς ἐν ταῖς ἐπιθυμίαις τῆς ψυχῆς αὐτοῦ, καὶ ὁ ἀδικῶν ἐνευλογεῖται.
Παρώξυνε τὸν κύριον ὁ ἁμαρτωλός, κατὰ τὸ πλῆθος τῆς ὀργῆς αὐτοῦ οὐκ ἐκζητήσει.
Οὐκ ἔστιν ὁ θεὸς ἐνώπιον αὐτοῦ, βεβηλοῦνται αἱ ὁδοὶ αὐτοῦ ἐν παντὶ καιρῷ.
Ἀνταναιρεῖται τὰ κρίματά σου ἀπὸ προσώπου αὐτοῦ, πάντων τῶν ἐχθρῶν αὐτοῦ κατακυριεύσει.
Εἶπε γὰρ ἐν καρδίᾳ αὐτοῦ, οὐ μὴ σαλευθῶ ἀπὸ γενεᾶς εἰς γενεὰν ἄνευ κακοῦ.
Οὗ ἀρᾶς τὸ στόμα αὐτοῦ γέμει καὶ πικρίας καὶ δόλου, ὑπὸ τὴν γλῶσσαν αὐτοῦ κόπος καὶ πόνος.
Ἐγκάθηται ἐνέδρᾳ μετὰ πλουσίων ἐν ἀποκρύφοις, τοῦ ἀποκτεῖναι ἀθῷον.

Καταδιώξαι ἄρα ὁ ἐχθρὸς τὴν ψυχήν μου, καὶ καταλάβοι, καὶ καταπατήσαι εἰς γῆν τὴν ζωήν μου, καὶ τὴν δόξαν μου εἰς χοῦν κατασκηνώσαι.

Ἀνάστηθι κύριε ἐν ὀργῇ σου, ὑψώθητι ἐν τοῖς πέρασι τῶν ἐχθρῶν μου.

Ἐξεγέρθητι κύριε ὁ θεός μου ἐν προστάγματι ᾧ ἐνετείλω, καὶ συναγωγὴ λαῶν κυκλώσει σε.

Καὶ ὑπὲρ ταύτης εἰς ὕψος ἐπίστρεψον, κύριος κρινεῖ λαούς.

Κρῖνόν με κύριε κατὰ τὴν δικαιοσύνην μου, καὶ κατὰ τὴν ἀκακίαν μου ἐπ' ἐμοί.

Συντελεσθήτω δὴ πονηρία ἁμαρτωλῶν, καὶ κατευθυνεῖς δίκαιον, ἐτάζων καρδίας καὶ νεφροὺς ὁ θεός.

Δικαία ἡ βοήθειά μου παρὰ τοῦ θεοῦ τοῦ σώζοντος τοὺς εὐθεῖς τῇ καρδίᾳ.

Ὁ θεὸς κριτὴς δίκαιος, καὶ ἰσχυρὸς, καὶ μακρόθυμος, μὴ ὀργὴν ἐπάγων καθ' ἑκάστην ἡμέραν;

Ἐὰν μὴ ἐπιστραφῆτε, τὴν ῥομφαίαν αὐτοῦ στιλβώσει, τὸ τόξον αὐτοῦ ἐνέτεινε, καὶ ἡτοίμασεν αὐτό.

Καὶ ἐν αὐτῷ ἡτοίμασε σκεύη θανάτου, τὰ βέλη αὐτοῦ τοῖς καιομένοις ἐξειργάσατο.

Ἰδοὺ ὠδίνησεν ἀδικίαν, συνέλαβε πόνον, καὶ ἔτεκεν ἀνομίαν.

Λάκκον ὤρυξε καὶ ἀνέσκαψεν αὐτὸν, καὶ ἐμπεσεῖται εἰς βόθρον ὃν εἰργάσατο.

Ἐπιστρέψει ὁ πόνος αὐτοῦ εἰς κεφαλὴν αὐτοῦ, καὶ ἐπὶ κορυφὴν αὐτοῦ ἡ ἀδικία αὐτοῦ καταβήσεται.

Ἐξομολογήσομαι κυρίῳ κατὰ τὴν δικαιοσύνην αὐτοῦ, ψαλῶ τῷ ὀνόματι κυρίου τοῦ ὑψίστου.

Εἰς τὸ τέλος, ὑπὲρ τῶν ληνῶν ψαλμὸς τῷ Δαβίδ. η'.

Κύριε ὁ κύριος ἡμῶν ὡς θαυμαστὸν τὸ ὄνομά σου ἐν πάσῃ τῇ γῇ;

Ὅτι ἐπήρθη ἡ μεγαλοπρέπειά σου ὑπεράνω τῶν οὐρανῶν.

Ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον.

Ἕνεκα τῶν ἐχθρῶν σου τοῦ καταλῦσαι ἐχθρὸν καὶ ἐκδικητήν.

Ὅτι ὄψομαι τοὺς οὐρανοὺς ἔργα τῶν δακτύλων σου, σελήνην καὶ ἀστέρας, ἃ σὺ ἐθεμελίωσας.

Τί ἐστιν ἄνθρωπος, ὅτι μιμνήσκῃ αὐτοῦ, ἢ υἱὸς ἀνθρώπου, ὅτι ἐπισκέπτῃ αὐτόν;

Ἠλάττωσας αὐτὸν βραχύ τι παρ' ἀγγέλους, δόξῃ καὶ τιμῇ ἐστεφάνωσας αὐτὸν, καὶ κατέστησας αὐτὸν ἐπὶ τὰ ἔργα τῶν χειρῶν σου.

Πάντα ὑπέταξας ὑποκάτω τῶν ποδῶν αὐτοῦ, πρόβατα καὶ βόας πάσας, ἔτι δὲ καὶ τὰ κτήνη τοῦ πεδίου.

Τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ τοὺς ἰχθύας τῆς θαλάσσης, τὰ διαπορευόμενα τρίβους θαλασσῶν.

Κύριε ὁ κύριος ἡμῶν ὡς θαυμαστὸν ὄνομά σου ἐν πάσῃ τῇ γῇ; Δόξα.

Κάθισμα α'.

Εἰς τὸ τέλος ὑπὲρ τῶν κρυφίων τοῦ υἱοῦ, ψαλμὸς τῷ Δαβίδ. θ'.

Ἐξομολογήσομαί σοι κύριε ἐν ὅλῃ καρδίᾳ μου, διηγήσομαι πάντα τὰ θαυμάσιά σου.

Εὐφρανθήσομαι καὶ ἀγαλλιάσομαι ἐν σοὶ, ψαλῶ τῷ ὀνόματί σου ὕψιστε.

Ἐν τῷ ἀποστραφῆναι τὸν ἐχθρόν μου εἰς τὰ ὀπίσω, ἀσθενήσουσι καὶ ἀπολοῦ-

Ἐμίσησας κύριε πάντας τοὺς ἐργαζομένους τὴν ἀνομίαν, ἀπολεῖς πάντας τοὺς λαλοῦντας τὸ ψεῦδος.

Ἄνδρα αἱμάτων καὶ δόλιον βδελύσσεται κύριος. ἐγὼ δὲ ἐν τῷ πλήθει τοῦ ἐλέους σου

Εἰσελεύσομαι εἰς τὸν οἶκόν σου, προσκυνήσω πρὸς ναὸν ἅγιόν σου ἐν φόβῳ σου.

Κύριε ὁδήγησόν με ἐν τῇ δικαιοσύνῃ σου ἕνεκα τῶν ἐχθρῶν μου, κατεύθυνον ἐνώπιόν σου τὴν ὁδόν μου.

Ὅτι οὐκ ἔστιν ἐν τῷ στόματι αὐτῶν ἀλήθεια, ἡ καρδία αὐτῶν ματαία.

Τάφος ἀνεῳγμένος ὁ λάρυγξ αὐτῶν, ταῖς γλώσσαις αὐτῶν ἐδολιοῦσαν· κρῖνον αὐτοὺς ὁ θεός.

Ἀποπεσάτωσαν ἀπὸ τῶν διαβουλιῶν αὐτῶν, κατὰ τὸ πλῆθος τῶν ἀσεβειῶν αὐτῶν ἔξωσον αὐτούς, ὅτι παρεπίκρανάν σε κύριε.

Καὶ εὐφρανθήτωσαν ἐπὶ σοὶ πάντες οἱ ἐλπίζοντες ἐπὶ σέ, εἰς αἰῶνα ἀγαλλιάσονται, καὶ κατασκηνώσεις ἐν αὐτοῖς.

Καὶ καυχήσονται ἐπὶ σοὶ πάντες οἱ ἀγαπῶντες τὸ ὄνομά σου, ὅτι σὺ εὐλογήσεις δίκαιον. κύριε,

Ὡς ὅπλῳ εὐδοκίας ἐστεφάνωσας ἡμᾶς.

Εἰς τὸ τέλος ἐν ὕμνοις ὑπὲρ τῆς ὀγδόης ψαλμὸς τῷ δαβίδ. ς'.

Κύριε μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με.

Ἐλέησόν με κύριε, ὅτι ἀσθενής εἰμι. ἴασαί με κύριε, ὅτι ἐταράχθη τὰ ὀστᾶ μου.

Καὶ ἡ ψυχή μου ἐταράχθη σφόδρα, καὶ σὺ κύριε ἕως πότε; ἐπίστρεψον κύριε, ῥῦσαι τὴν ψυχήν μου.

Σῶσόν με ἕνεκεν τοῦ ἐλέους σου, ὅτι οὐκ ἔστιν ἐν τῷ θανάτῳ ὁ μνημονεύων σου, ἐν δὲ τῷ ᾅδῃ τίς ἐξομολογήσεταί σοι;

Ἐκοπίασα ἐν στεναγμῷ μου, λούσω καθ' ἑκάστην νύκτα τὴν κλίνην μου, ἐν δάκρυσί μου τὴν στρωμνήν μου βρέξω.

Ἐταράχθη ἀπὸ θυμοῦ ὁ ὀφθαλμός μου, ἐπαλαιώθην ἐν πᾶσι τοῖς ἐχθροῖς μου.

Ἀπόστητε ἀπ' ἐμοῦ πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν, ὅτι εἰσήκουσε κύριος τῆς φωνῆς τοῦ κλαυθμοῦ μου.

Εἰσήκουσε κύριος τῆς δεήσεώς μου, κύριος τὴν προσευχήν μου προσεδέξατο.

Αἰσχυνθείησαν καὶ ταραχθείησαν σφόδρα πάντες οἱ ἐχθροί μου, ἐπιστραφείησαν καὶ αἰσχυνθείησαν σφόδρα διὰ τάχους. Δόξα.

Ψαλμὸς τῷ δαβίδ, ὃν ᾖσε τῷ κυρίῳ ὑπὲρ τῶν λόγων χουσὶ υἱοῦ ἰεμενεί. ζ'.

Κύριε ὁ θεός μου ἐπὶ σοὶ ἤλπισα, σῶσόν με ἐκ πάντων τῶν διωκόντων με, καὶ ῥῦσαί με.

Μήποτε ἁρπάσῃ ὡς λέων τὴν ψυχήν μου, μὴ ὄντος λυτρουμένου, μηδὲ σῴζοντος.

Κύριε ὁ θεός μου εἰ ἐποίησα τοῦτο, εἰ ἔστιν ἀδικία ἐν χερσί μου,

Εἰ ἀνταπέδωκα τοῖς ἀνταποδιδοῦσί μοι κακά, ἀποπέσοι μοι ἄρα ἀπὸ τῶν ἐχθρῶν μου κενός.

Δουλεύσατε τῷ κυρίῳ ἐν φόβῳ, καὶ ἀγαλλιᾶσθε αὐτῷ ἐν τρόμῳ.

Δράξασθε παιδείας, μήποτε ὀργισθῇ κύριος, καὶ ἀπολεῖσθε ἐξ ὁδοῦ δικαίας.

Ὅταν ἐκκαυθῇ ἐν τάχει ὁ θυμὸς αὐτοῦ, μακάριοι πάντες οἱ πεποιθότες ἐπ' αὐτῷ.

Ψαλμὸς τῷ Δαβίδ, ὁπότε ἀπεδίδρασκεν ἀπὸ προσώπου Ἀβεσσαλὼμ τοῦ υἱοῦ αὐτοῦ. γ΄.

Κύριε τί ἐπληθύνθησαν οἱ θλίβοντές με; πολλοὶ ἐπανίστανται ἐπ' ἐμὲ, πολλοὶ λέγουσι τῇ ψυχῇ μου, οὐκ ἔστι σωτηρία αὐτῷ ἐν τῷ θεῷ αὐτοῦ.

Σὺ δὲ κύριε ἀντιλήπτωρ μου εἶ, δόξα μου καὶ ὑψῶν τὴν κεφαλήν μου.

Φωνῇ μου πρὸς κύριον ἐκέκραξα, καὶ ἐπήκουσέ μου ἐξ ὄρους ἁγίου αὐτοῦ.

Ἐγὼ ἐκοιμήθην καὶ ὕπνωσα, ἐξηγέρθην, ὅτι κύριος ἀντιλήψεταί μου.

Οὐ φοβηθήσομαι ἀπὸ μυριάδων λαοῦ, τῶν κύκλῳ ἐπιτιθεμένων μοι. ἀνάστα κύριε, σῶσόν με ὁ θεός μου.

Ὅτι σὺ ἐπάταξας πάντας τοὺς ἐχθραίνοντάς μοι ματαίως, ὀδόντας ἁμαρτωλῶν συνέτριψας. τοῦ κυρίου ἡ σωτηρία, καὶ ἐπὶ τὸν λαόν σου ἡ εὐλογία σου.

Δόξα πατρὶ, καὶ υἱῷ, καὶ ἁγίῳ πνεύματι.

Νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Εἰς τὸ τέλος ἐν ψαλμοῖς ᾠδὴ τῷ Δαβίδ. δ΄.

Ἐν τῷ ἐπικαλεῖσθαί με, εἰσήκουσέ μου ὁ θεὸς τῆς δικαιοσύνης μου, ἐν θλίψει ἐπλάτυνάς μοι. οἰκτείρησόν με, καὶ εἰσάκουσον τῆς προσευχῆς μου.

Υἱοὶ ἀνθρώπων, ἕως πότε βαρυκάρδιοι; ἱνατί ἀγαπᾶτε ματαιότητα, καὶ ζητεῖτε ψεῦδος;

Καὶ γνῶτε ὅτι ἐθαυμάστωσε κύριος τὸν ὅσιον αὐτοῦ, κύριος εἰσακούσεταί μου ἐν τῷ κεκραγέναι με πρὸς αὐτόν.

Ὀργίζεσθε καὶ μὴ ἁμαρτάνετε, ἃ λέγετε ἐν ταῖς καρδίαις ὑμῶν, ἐπὶ ταῖς κοίταις ὑμῶν κατανύγητε.

Θύσατε θυσίαν δικαιοσύνης, καὶ ἐλπίσατε ἐπὶ κύριον. πολλοὶ λέγουσι, τίς δείξει ἡμῖν τὰ ἀγαθά;

Ἐσημειώθη ἐφ' ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου κύριε. ἔδωκας εὐφροσύνην εἰς τὴν καρδίαν μου.

Ἀπὸ καρποῦ σίτου καὶ οἴνου καὶ ἐλαίου αὐτῶν ἐπληθύνθησαν.

Ἐν εἰρήνῃ ἐπὶ τὸ αὐτὸ κοιμηθήσομαι, καὶ ὑπνώσω.

Ὅτι σὺ κύριε κατὰ μόνας ἐπ' ἐλπίδι κατῴκισάς με.

Εἰς τὸ τέλος ὑπὲρ τῆς κληρονομούσης ψαλμὸς τῷ Δαβίδ. ε΄.

Τὰ ῥήματά μου ἐνώτισαι κύριε, σύνες τῆς κραυγῆς μου,

Πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου ὁ βασιλεύς μου καὶ ὁ θεός μου.

Ὅτι πρὸς σὲ προσεύξομαι κύριε, τὸ πρωῒ εἰσακούσῃ τῆς φωνῆς μου.


Τὸ πρωῒ παραστήσομαί σοι, καὶ ἐπόψομαι. ὅτι οὐχὶ θεὸς θέλων ἀνομίαν σὺ εἶ.

Οὐδὲ παροικήσει σοι πονηρευόμενος, οὐδὲ διαμενοῦσι παράνομοι κατέναντι τῶν ὀφθαλμῶν σου.

ΨΑΛΤΗΡΙΟΝ

ΠΡΟΦΗΤΟΥ ΚΑΙ ΒΑΣΙΛΕΩΣ

ΤΟΥ ΔΑΥΙΔ.





α.

Μακάριος ἀνήρ, ὃς οὐκ ἐπορεύθη ἐν βουλῇ ἀσεβῶν, καὶ ἐν ὁδῷ ἁμαρτωλῶν οὐκ ἔστη, καὶ ἐπὶ καθέδρᾳ λοιμῶν οὐκ ἐκάθισεν.

Ἀλλ᾽ ἢ ἐν τῷ νόμῳ κυρίου τὸ θέλημα αὐτοῦ, καὶ ἐν τῷ νόμῳ αὐτοῦ μελετήσει ἡμέρας καὶ νυκτός.

Καὶ ἔσται ὡς τὸ ξύλον τὸ πεφυτευμένον παρὰ τὰς διεξόδους τῶν ὑδάτων, ὃ τὸν καρπὸν αὐτοῦ δώσει ἐν καιρῷ αὐτοῦ.

Καὶ τὸ φύλλον αὐτοῦ οὐκ ἀπορρυήσεται, καὶ πάντα ὅσα ἂν ποιῇ κατευοδωθήσεται.

Οὐχ οὕτως οἱ ἀσεβεῖς οὐχ οὕτως, ἀλλ᾽ ἢ ὡς ὁ χνοῦς ὃν ἐκρίπτει ὁ ἄνεμος ἀπὸ προσώπου τῆς γῆς.

Διὰ τοῦτο οὐκ ἀναστήσονται οἱ ἀσεβεῖς ἐν κρίσει, οὐδὲ ἁμαρτωλοὶ ἐν βουλῇ δικαίων.

Ὅτι γινώσκει κύριος ὁδὸν δικαίων, καὶ ὁδὸς ἀσεβῶν ἀπολεῖται.

β.

Ἱνατί ἐφρύαξαν ἔθνη, καὶ λαοὶ ἐμελέτησαν κενά;

Παρέστησαν οἱ βασιλεῖς τῆς γῆς, καὶ οἱ ἄρχοντες συνήχθησαν ἐπὶ τὸ αὐτὸ κατὰ τοῦ κυρίου, καὶ κατὰ τοῦ χριστοῦ αὐτοῦ.

Διαρρήξωμεν τοὺς δεσμοὺς αὐτῶν, καὶ ἀπορρίψωμεν ἀφ᾽ ἡμῶν τὸν ζυγὸν αὐτῶν.

Ὁ κατοικῶν ἐν οὐρανοῖς ἐκγελάσεται αὐτοῖς, καὶ ὁ κύριος ἐκμυκτηριεῖ αὐτοῖς.

Τότε λαλήσει πρὸς αὐτοὺς ἐν ὀργῇ αὐτοῦ, καὶ ἐν τῷ θυμῷ αὐτοῦ ταράξει αὐτούς.

Ἐγὼ δὲ κατεστάθην βασιλεὺς ὑπ᾽ αὐτοῦ ἐπὶ Σιὼν ὄρος τὸ ἅγιον αὐτοῦ, διαγγέλλων τὸ πρόσταγμα κυρίου.

Κύριος εἶπε πρός με, υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά σε.

Αἴτησαι παρ᾽ ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου, καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς.

Ποιμανεῖς αὐτοὺς ἐν ῥάβδῳ σιδηρᾷ, ὡς σκεῦος κεραμέως συντρίψεις αὐτούς.

Καὶ νῦν βασιλεῖς σύνετε, παιδεύθητε πάντες οἱ κρίνοντες τὴν γῆν.



ΝΕΟΝ

ΑΝΘΟΛΟΓΙΟΝ



ΜΕΡΟΣ Β



ΕΝ ΡΩΜΗ α. φ. ϟη.



Inter libros
Josephi Mariæ Parascandolo
Antecessoris Regii
A. L. X.

